Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 6

Lipsiae 1870

J.rom.f. 154 nc-6
urn:nbn:de:bvb:12-bsb10566412-9

I. rom. F.
154 nc

Zachariae

<36620557840011
<36620557840011
Bayer. Staatsbibliothek

357 D

JUS GRAECO-ROMANUM

PARS VI.

PROCHIRON AUCTUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXX.

PROCHIRON AUCTUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXX.

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

PROLEGOMENA.

---

§. 1. Codices MSS.

In bibliothecis, quas per Orientem examinare mihi contigit, ne unum quidem Prochiri aucti exemplar a me repertum est. In bibliothecis Occidentis autem Codices ejus Mss. extant hi:

1. Parisiensis reg. gr. 1263, fragmenta continens titulorum 1—14. 17. 22. 25. 27. 29. 30. 33. 36. exarata manu saec. XV vel XVI. Is codex olim *τῆς ἁγίας ἀναστασίας* prope Thessalonicam fuit.
2. Paris. reg. gr. 1343 saec XV vel XVI in Occidente ut videtur scriptus.
3. Paris. reg. gr. 1351 *A*, maximam partem saec XIV exaratus. Fuit olim *τοῦ ἐντιμοτάτου ἐν ἱεροδιακόνοις κυροῦ θεοδώρου καὶ ῥεφερενδαρίου τῆς μεγάλης ἐκκλησίας* (Thessalonicensis?), deinde *βιβλίον τῆς ἁγίας ἀναστασίας τῆς φαρμακολύτρας ἐν τῷ μεγάλῳ βουνῷ κειμένης.*
4. Paris. reg. gr. 1356 exaratus c. annum 1350. Anno 1478 monasterii *τοῦ βατοπαιδίου* in monte Atho fuit.
5. Paris. reg. gr. 1368, saec. XV vel XVI *ἐγράφη διὰ χειρὸς θεοδώρου τοῦ κριτοπούλου.* Trapezuntinam originem sapit quippe Novellas magnorum Commenorum continens.
6. Vindob. jurid. gr. 6 saec. XIV Constantinopoli allatus a Busbeckio.

7. Marcianus 180 saec. XIV exaratus et Thessalonica allatus.
8. Marcianus 579 fol. 1—67 Prochiri aucti titt. 1—19 manu saec. XV scriptos exhibet.
9. Taurinensis 300 saec. XV.
10. Vaticanus 856 saec. XV. Anno 1545 *Γεωργίου κόμητος τοῦ κορινθίου* fuit.
11. Bienerianus, olim Meerman. 169, hodie Lipsiae in bibl. Universitatis, exaratus Venetiis anno 1541, fragmenta titulorum 8 et 26 praestat.
12. Lipsiensis bibl. Senatus Rep. I no. 66, olim Uffenbachianus, saec. XIV duabus manibus exaratus. A recentioribus ejus libri possessoribus passim notae margini adscriptae sunt variis temporibus, veluti anno a. o. c. 6900, 6975, 7000 et: *ἔτους, ζμδ΄ ἰνδ. θ΄ ἡρέθη εἰς τὴν ἀγορὰν τῆς ἀθίνας πηγὴ κτλ.*

§. 2. Indoles et historia.

Prochirum auctum, quod vocavi, quale sit et cujus aetatis, dixi in libro *Ὁ πρόχειρος νόμος* p. CLV sqq. In quibus nonnulla addenda, alia emendanda esse video.

Scilicet Prochiron auctum l e g e s ac j u r a, quae tum temporis, quum auctor viveret, apud juris studiosos ac judices inprimis auctoritate gauderent, in manuale XL titulorum cum paratitlis digesta praestat. Pro fundamento est Prochiron illud, quod ad Imppp. Basilio, Constantino et Leone publicatum est: locupletatum est tum ex libris legibusve publica auctoritate editis, — Ecloga Leonis et Constantini, Epanagoge cum scholiis, nouellis constitutionibus, — tum ex libris ICtorum in foro civili vel ecclesiastico usitatis, puta Epitome, Synopsi majori Basilicorum, Michaelis Attalensis *πραγματείᾳ*, Photii nomocanone et syntagmate canonum cum commentariis Balsamonis.

Tempus, quo Prochiron auctum confectum sit, ad finem saec. XIII vel ad initium saec. XIV referendum est, ut quasi resuscitatae post recuperatam a Latinis Constantinopolin jurisprudentiae graecae testimonium sit. Quod olim circa a. 1200 hoc opus compilatum esse volui, in hoc me errasse ingenue confiteor. Auctor enim passim sententias synodales Patriarcharum laudat, qui sub

finem saec. XIII thronum occupaverunt. Crediderim tamen ante annum 1306 scripsisse, quoniam Novella Athanasii Patriarchae hoc anno edita et Novellae Andronici de judicibus universalibus anno 1329 publicatae in ipso libri contextu non apparent, sed in omnibus paene Codicibus Prochiri aucti tum ad marginem tum extra titulorum seriem adscriptae habentur.

§. 3. Editionis ratio.

Codices MSS. quos §. 1 recensui, quum ex variis partibus imperii Byzantini ad nos perlati sint, luculenter ostendunt, quam late auctoritas Prochiri aucti apud Graecos patuerit. Propterea dignum esse existimavi, quod typis ederetur. Olim quidem vir qnidam doctus, Jo. Guil. Steinheilius, ejus ex Codice Uffenbachiano edendi consilium cepit: post illum Godofr. Mascovius idem molitus est et specimen editionis typis mandavit: sed et is a proposito rursus destitit, quum inter ipsum et librarium de conditionibus non conveniret. Quod illi non sunt exsequuti, ego nunc tibi, lector benevole, praesto.

Editionis meae fundamentum est Codex Lipsiensis supra §. 1 no. 12 relatus, eumque presse sequutus sum, ut hic illic tantum aperta librarii vitia corrigerem. In notis id potissimum egi, ut fontes indicarem ex quibus auctor hausisse videretur. Quos si comparaveris, quae vitiosa sunt, facile poteris emendare.

PROCHIRON AUCTUM.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

Τίτλοι τοῦ προχείρου νόμου[1].

Τίτλος α'. περὶ συναινέσεως μνηστείας.
Τίτλος β'. περὶ ἀῤῥαβώνων μνηστείας.
Τίτλος γ'. περὶ δωρεῶν μνηστείας.
Τίτλος δ'. περὶ ὅρου καὶ διαθέσεως γάμου.
Τίτλος ε'. περὶ ἀθεμίτου γάμου.
Τίτλος ϛ'. περὶ ἀκριβείας γάμου.
Τίτλος ζ'. περὶ προγαμιαίας δωρεᾶς, περὶ τῆς ἐννόμου ἀπογραφῆς τῶν συνήθως διδομένων τῇ γυναικὶ, περὶ τῆς ἐν αἰγύπτῳ παρανομίας καὶ συγκαταβάσεως βασιλικοῦ διατάγματος ἀπὸ τῆς ὀγδόης διατάξεως.
Τίτλος η'. περὶ κεκωλυμένων γάμων καὶ περὶ συγγενείας καὶ περὶ βαθμῶν.
Τίτλος θ'. περὶ δικαίου προικός.
Τίτλος ι'. περὶ ἐκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς.
Τίτλος ια'. περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.
Τίτλος ιβ'. περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτοῦ.
Τίτλος ιγ'. περὶ τῶν ἐν ζωῇ δωρεῶν.
Τίτλος ιδ'. περὶ ἀνατροπῆς δωρεῶν.
Τίτλος ιε'. περὶ πράσεως καὶ ἀγορασίας.
Τίτλος ιϛ'. περὶ ἐμφυτεύσεως.
Τίτλος ιζ'. περὶ χρέους, περὶ δανείου, τόκου, ἐνεχύρων, καὶ περὶ ἐγγυητοῦ καὶ συμβολαίων.
Τίτλος ιη'. περὶ μισθώσεως καὶ ἐκμισθώσεως.
Τίτλος ιθ'. περὶ παρακαταθήκης καὶ πραγμάτων, ὧν ἡ δεσποτεία φιλονεικεῖται.
Τίτλος κ'. περὶ συστάσεως κοινωνίας.
Τίτλος κα'. περὶ λύσεως κοινωνίας, περὶ πάκτου ἤτοι συμφώνων καὶ διαλύσεως, καὶ περὶ τῶν ἐν προστασίᾳ διδομένων.

---

[1] Paris. 1368 praemittit rubricam: Ἀρχὴ σὺν θεῷ τοῦ προχείρου νόμου. — Lipsiensis titulorum indicis partem initio, partem in fine Codicis praestat. — Rubricae, quae in ipso enchiridio titulis inscribuntur, non ubique conveniunt cum his, quas ὁ πίναξ exhibet.

Τίτλος κβ'. περὶ διαθήκης αὐτεξουσίων.

Τίτλος κγ'. περὶ διαθήκης ὑπεξουσίων καὶ στρατιωτικῶν διαθηκῶν, καὶ τίνες αὐτῶν μαρτυροῦσι, καὶ περὶ κανστρεσίων, καὶ περὶ διαθήκης ῥηγνυμένης ὑπὸ ἀμνημονεύτων παίδων.

Τίτλος κδ'. περὶ διαθήκης ἀπελευθέρων, καὶ περὶ προνομίων πατρώνων, καὶ περὶ διακατοχῶν, καὶ περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι, καὶ περὶ μέμψεως αὐτῆς.

Τίτλος κε'. περὶ ἀνατροπῆς διαθήκης, καὶ περὶ μέμψεως αὐτῆς.

Τίτλος κϛ'. περὶ νόθων καὶ εὐγενῶν, καὶ περὶ ὑπεξουσιότητος καὶ λύσεως αὐτῆς, περὶ αὐτεξουσιότητος, καὶ περὶ υἱοθεσιῶν, καὶ περὶ εὐνούχων.

Τίτλος κζ'. περὶ μαρτύρων εὐπροσδέκτων καὶ κεκωλυμένων, καὶ περὶ τῶν ἀρνουμένων τοὺς ἰδίους συγγενεῖς, ἔτι γε μὴν περὶ ὅρκου, περὶ ἀναψηλαφήσεως ὅρκου, καὶ περὶ ἐπιόρκου.

Τίτλος κη'. περὶ τῆς ἀνωτάτω τριάδος, καὶ περὶ χειροτονίας ἐπισκόπων, καὶ περὶ κληρικῶν καὶ μοναχῶν.

Τίτλος κθ'. περὶ κωδικέλλου.

Τίτλος λ'. περὶ κληρονόμων, καὶ περὶ συστάσεως κληρονομίας καὶ ὑποκαταστάσεως, καὶ περὶ συνεισφορᾶς προικὸς, καὶ διασκέψεως αὐτῶν[1].

Τίτλος λα'. περὶ ἀποκαταστάσεως ἐλαττόνων τῶν κε' ἐνιαυτῶν, καὶ περὶ πληθυντικῆς ὑποκαταστάσεως, καὶ περὶ πεκουλίων αὐτῶν, καὶ περὶ τῆς ἀφηλίκων ἀποκαταστάσεως.

Τίτλος λβ'. περὶ φαλκιδίου καὶ ἀμέτρων δωρεῶν.

Τίτλος λγ'. περὶ ἀποκλήρων.

Τίτλος λδ'. περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων.

Τίτλος λε'. περὶ λεγάτου[2].

Τίτλος λϛ'. περὶ ἐπιτρόπων καὶ κουρατόρων.

Τίτλος λζ'. περὶ τοῦ μὴ ἐνυβρίζεσθαι τὰ λείψανα τῶν τεθνεώτων[3] παρὰ τῶν δανειστῶν, καὶ περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τῶν τελευτησάντων.

Τίτλος λη'. περὶ καινοτομιῶν καὶ νομῆς, ἐν ᾧ καὶ περὶ ἀνακοινώσεως καὶ περὶ παραγγελίας.

Τίτλος λθ'. περὶ ποινῶν, ἐν ᾧ καὶ νεαραὶ περὶ φόνου, περὶ κλεπτῶν[4], περὶ πορνοβοσκῶν, περὶ τοῦ μὴ εἶναι ἰδιωτικὴν φυλακὴν, περὶ εὐνουχιζόντων, περὶ ἀρνήσεως, περὶ δωροδοκηθέντος δικαστοῦ, περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ περὶ δαιμονιζομένων.

Τίτλος μ'. περὶ σκύλων, ἐν ᾧ καὶ περὶ ἐκκλήτου, ἱερωμένων, μοναχῶν, κοσμικῶν, ἔτι γε περὶ δικαιοσύνης νόμου, καὶ μακρᾶς συνηθείας, καὶ περὶ αἱρετῶν δικαστῶν, καὶ περὶ τῶν πεπονθότων ἀπόφασιν καὶ ἀποκαθισταμένων. — περὶ δικαιοσύνης νόμου καὶ μακρᾶς συνηθείας, καὶ περὶ

---

[1] Lips. αὐτῆς. [2] Nonnulli: περὶ λεγάτων προσκαίρων καὶ διηνεκῶν. [3] Verba τῶν τεθνεώτων a nonnullis absunt. [4] Verba περὶ κλεπτῶν Lips. non habet.

ἀγνοίας νόμου ἢ φάκτου, καὶ τίνες βοηθοῦνται ἐξ αὐτῆς[1]. περὶ τῶν ἀπράκτων ἡμερῶν. περὶ δικαιοσύνης νόμων καὶ περὶ ῥημάτων σημασίας καὶ περὶ διαφόρων κανόνων. περὶ συνηγόρων καὶ περὶ ἐντολῆς[2]. — αἱ[3] νεαραὶ τοῦ κυροῦ ῥωμανοῦ τοῦ πρεσβυτέρου καὶ τοῦ βασιλέως κυροῦ κωνσταντίνου περὶ προτιμήσεως. — ἑτέρα[4] νεαρὰ τοῦ βασιλέως κυροῦ ἀλεξίου χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἀνήκοντα παρὰ τῶν πρακτόρων. — αἱ ἐν συνόψει ἀγωγαὶ, καὶ αἱ ῥοπαί[5]. — νεαρὰ ῥωμανοῦ βασιλέως τοῦ γέροντος χάριν τοῦ μὴ εἰσέρχεσθαι δυνατὰ πρόσωπα εἰς ἀγροὺς ἢ καθόλου ἢ μερικῶς. — ἑτέρα νεαρὰ λέοντος τοῦ εὐσεβοῦς βασιλέως περὶ τοῦ μονάζειν δεκαετῆ παῖδα.

Τὰ παράτιτλα.

α΄. περὶ προτιμήσεως ἐπιτρόπων.

β΄. περὶ ἐπιτρόπων, καὶ τίνες δύνανται ἐπιτροπεύειν καὶ τίνες οὐ δύνανται, καὶ πότε καὶ ἐν τίσιν εὐθύνονται, καὶ περὶ τοῦ ποιεῖν αὐτοὺς ἀπογραφὴν, καὶ τίνες δύνανται παραιτεῖσθαι τὴν ἐπιτροπὴν καὶ πότε καὶ τίνες οὐ δύνανται, καὶ πότε εὐθύνονται εἰς τόκους καὶ πότε οὐκ εὐθύνονται.

γ΄. περὶ τῶν μὴ ποιούντων ἀπογραφήν.

δ΄. περὶ παραιτήσεως ἐπιτρόπων.

ε΄. πότε ἀπαιτεῖται τόκου τόκος.

ϛ΄. περὶ διαθηκῶν στρατιωτικῶν.

ζ΄. περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι.

η΄. περὶ τῆς ἀφηλίκων ἀποκαταστάσεως.

θ΄. περὶ τῆς διαδοχῆς τοῦ γνησίους καὶ νόθους ἔχοντος παῖδας.

ι΄. περὶ ἀνταλλαγῆς, καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως.

ια΄. περὶ τῶν διδομένων ἢ δρωμένων ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ οἱᾳδηποτοῦν ὑποθέσει, καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα ἢ οὐκ ἀπαιτοῦνται.

ιβ΄. περὶ ἀπροσφόρου δικαστοῦ.

ιγ΄. περὶ δόλου κακοῦ καὶ καλοῦ.

ιδ΄. περὶ στρατιωτικῶν ἐπιτιμίων.

ιε΄. περὶ ἀποκαταστάσεως.

ιϛ΄. περὶ ἀπόντων καὶ ἀναζητουμένων ὡς ἐπὶ ἐγκλήματι κατηγορουμένων.

ιζ΄. περὶ καταλελειμμένων.

ιη΄. περὶ ἀλληλεγγύων.

---

1 In Vat. 856 et Paris. 1351 A verba *περὶ δικαιοσύνης — ἐξ αὐτῆς* desunt. 2 Lips. et Paris. 1368 verba *π. συνηγ. καὶ π. ἐντ.* non habent. 3 Vatic. 856 et Paris. 1351 A: *τίτλος μα΄. Νεαραὶ τῶν βασιλέων κυροῦ κωνσταντίνου καὶ ῥωμανοῦ τοῦ πρεσβύτου περὶ προτιμήσεως.* 4 Iidem: *τίτλος μβ΄. Πρόσταξις τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου χάριν — πρακτόρων.* Reliqua: *αἱ ἐν συνόψει — παῖδα* non habet. 5 Verba: *καὶ αἱ ῥοπαί* a nonnullis absunt.

ιθ'. περὶ ἐνοίκων.
κ'. περὶ ἐνδίκων, τουτέστιν ὧν ἡ δεσποτεία φιλονεικεῖται.
κα'. περὶ ἐργολάβων.
κβ'. περὶ πράσεως, πράτου, καὶ ἀγοραστοῦ.
κγ'. περὶ τόκου.
κδ'. περὶ δανείου πλατύτερον.
κε'. περὶ χρέους δημοσίου, προικιμαίου καὶ ἰδιωτικοῦ, καὶ περὶ προτιμήσεως αὐτῶν.
κς'. περὶ τοῦ ὡρισμένον εἶναι τὸ μέτρον τῶν συνηθειῶν ἐν παντὶ δικαστηρίῳ.
κζ'. περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν καὶ ληγάτων, καὶ περὶ τῶν ἐξ ἀχαριστίας ἐκπιπτόντων.
κη'. περὶ δανείου ἐγγράφου καὶ ἀγράφου, καὶ τῶν διδομένων ἐπ' αὐτοῖς ἐνεχύρων.
κθ'. περὶ ποινῆς ἀναρχούντων.
λ'. περὶ νόννων, εἰδῶν, καὶ καλανδῶν.
λα'. περὶ ἰνδικτιῶνος.
λβ'. περὶ κινητῶν καὶ ἱερῶν σκευῶν.

Τέλος τῶν παρατίτλων[1].

---

[1] Index titulorum in nonnullis (veluti Paris. 1368 et Vind. 6) hic desinit, in aliis (veluti Vatic. 856 et Paris. 1351 A) aliae adduntur rubricae continuatis paratitlorum numeris, prouti librarius haec vel illa Codici suo adjecit. Denique inter finem hujus indicis et inscriptionem, quae sequitur, quidam Codices (veluti Taurin. 300, Marcian. 180, Paris. 1368) fragmenta juridica licet ad hoc Prochiron non pertinentia interponunt.

Λέοντος[1] *κωνσταντίνου καὶ βασιλείου, τῶν σοφῶν φιλευσεβῶν βασιλέων, ἀπὸ τῶν ἰνστιτούτων, τῶν διγέστων, τοῦ κώδικος, τῶν νεαρῶν τοῦ μεγάλου ἰουστινιανοῦ διατάξεων ἐκλογὴ τῶν νόμων καὶ ἐπιδιόρθωσις ἐκτεθεῖσα εἰς τὸ φιλανθρωπότερον ἐν μηνὶ μαρτίῳ ἰνδ. θ' ἀπὸ κτίσεως κόσμου ἔτει ͵ςσμζ'*[2].

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος αὐτοκράτορες καίσαρες βασίλειος, κωνσταντῖνος καὶ λέων, νικηταὶ, τροπαιοῦχοι, εὐσεβεῖς, ἀεισέβαστοι, πιστοὶ, αὔγουστοι.

Τὸν[3] μέγαν φύσει καὶ ἀληθῆ θεὸν καὶ σωτῆρα ἡμῶν ἰησοῦν χριστὸν διὰ παντὸς ἐπικαλούμενοι σπουδὴν ἐμμελῆ καὶ πόθον ἐγκάρδιον ἔχομεν, ὡς ἂν τὰ πρὸς ὠφέλειαν καὶ λυσιτέλειαν τῶν παρὰ θεοῦ πεπιστευμένων ἡμῖν ὑπηκόων καθεκάστην ἐφευρίσκωμεν, καὶ μάλιστα ἐν οἷς τὸ θεῖον θεραπεύεται, ὧν πάντων ἐστὶ πρῶτον καὶ μέγιστον ἡ δικαιοσύνη, δι' ἣν ἔθνος ὑψοῦται κατὰ τὸν σοφὸν σολομῶντα· δικαιοσύνη γάρ φησιν ὑψοῖ ἔθνος, ὡς δι' αὐτῆς πρόῤῥιζον πάσης ἀδικίας ἐξαιρουμένης κατὰ τὸν ἅγιον ἠσαΐαν· παύσασθε γάρ φησιν ἀπὸ τῶν πονηριῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμενον· κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει κύριος· εἶτα τὸ ἔπαθλον· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χίονα λευκανῶ, καὶ ὅσα ἑξῆς· οὐδενὶ γὰρ οὕτω θεὸς θεραπεύεται ὡς δικαιοκρισίᾳ κατὰ τὸν αὐτόν· ἀπαριθμησάμενος γὰρ νη-

---

[1] Paris. 1351 A praemittit rubricam: *Τῶν τριῶν βασιλέων λέοντος, κωνσταντίνου καὶ βασιλείου.* [2] Paris. 1343 et 1356 et Vind. 6: *͵ςυμζ'*. Taurin. *͵ςτμζ'*. — Lipsiensis inscriptionem et praefationem Eclogae ad Prochiron mutatae a secunda manu praepositam habet, quum ab initio mutilus esset. [3] Paris. 1343 inscribit: *Πρόλογος τοῦ προχείρου νόμου.* — Est autem haec praefatio e prooemio Prochiri epitomata.

στείαν καὶ ταπείνωσιν ψυχῆς ἐπήγαγεν· οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων· ἐπεὶ καὶ νόμον εἰς βοήθειαν ἔδωκεν, ὃν εἴ τις τοῦ ἀνθρωπίνου βίου ἀφέληται, ἔσται πτωχὸς εἰς ἁρπαγὴν καὶ χήρα εἰς προνομὴν, καὶ τί ποιήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς;

Τοιγαροῦν καὶ ἡμεῖς, ἵνα τὰ καθ' ἕκαστον, ὅσα τῇ θείᾳ γραφῇ διηγόρευται περὶ τῶν νόμων, παραδραμόντες τῆς συντομίας φροντίσωμεν, τὴν ἐπ' αὐτῶν ὠφέλειαν ἰδόντες, ὅση τῷ ὄντι τοῖς ἀνθρώποις ἐγγίνηται, ὡς πάντων ἡμῶν τῶν πραγμάτων ἀρχήν τε καὶ τέλος τὸν θεὸν ποιούμενοι, τὸ περὶ τοὺς νόμους ἔργον σπουδαίως ἐπιδέξασθαι προεθυμήθημεν. καὶ γὰρ διὰ τὸ ἄπειρα εἶναι τὰ συμβαίνοντα εἰς πλῆθος ἄπειρον ἡ τῶν νόμων γραφὴ ἐλήλακε, καὶ ὄκνον ἐνεποίει τοῖς πολλοῖς, διότι τινὲς μὲν τὰ πλεῖστα πρὸς τὸ σαφέστερον ἤγαγον, ἄλλοι δὲ καί τινα τῆς προσηκούσης ἠξίωσαν διορθώσεως, τινὰ δὲ καὶ σιγῇ καθυπέβαλον. ἔδοξεν οὖν ἡμῖν λυσιτελές τι περὶ τούτων φροντίσαι, καὶ ἐγκύψαι εἰς τὸ πλῆθος τῶν νόμων, καὶ ἐξ ἑκάστου βιβλίου τὰ χρειώδη καὶ ζητούμενα ἀναλέξασθαι, καὶ κεφαλαιωδῶς ἐν τῷδε τῷ προχείρῳ νόμῳ ἐγγράψαι· καὶ τὸ μὲν πλάτος εἰς συμμετρίαν περιεστείλαμεν, τῶν δὲ ῥωμαϊκῶν λέξεων τὴν συνθήκην εἰς τὴν ἑλλάδα γλῶσσαν μετεποιήσαμεν, τῶν τε παραπεποιημένων νομίμων καινισμὸν ἐθέμεθα, καί τινα δεόμενα διορθώσεως πρὸς κρείττονα λυσιτέλειαν ἠγάγομεν· ἔτι δὲ καὶ περὶ ὧν οὐκ ἐγέγραπτο νόμος καινὴν ποιήσασθαι νομοθεσίαν ἐσπεύσαμεν, ὡς ἂν μετὰ τοῦ σαφοῦς καὶ συμμέτρου ἔχῃ καὶ τὸ ἀνελλιπές. καὶ ταῦτα ἀναλεξάμενοι ἐν ὅλοις τεσσαράκοντα τίτλοις τῆς νομοθεσίας διάκρισιν πεποιήκαμεν. εἰ δέ τι ἐλλιπὲς ἔχει, — καὶ γὰρ ἀδύνατον ἀπείρων βιβλίων νοῦν ἐν βραχεῖ περιληφθῆναι, — ἐγκυπτέτω ὁ φιλοπόνος ἐν τῇ ἀνακαθάρσει τοῦ πλάτους, ᾗ παρ' ἡμῶν πεφιλοτίμηται, καὶ τοῦ ζητουμένου τὴν γνῶσιν μανθανέτω.

Ἐπεὶ δὲ καί τινι τῶν πρὸ ἡμῶν βασιλέων τοιοῦτό τι γέγονεν, εἴποι ἄν τις, ὅτου χάριν μὴ ἐκείνῃ τῇ συντομίᾳ καὶ αὐτοὶ ἐστοιχήσαμεν. εἰδέναι οὖν χρὴ, ὡς οὐκ ἐκλογὴ μᾶλλον ἢ ἀνατροπὴ ὁ καλούμενός ἐστιν ἐγχειρίδιος τῶν καλῶς νομοθετηθέντων κατὰ βούλησιν τοῦ ἐκλεξαμένου, ὅπερ τῇ τε πολιτείᾳ ἦν ἀλυσιτελὲς καὶ τὸ φυλάττειν παράλογον. τίς γὰρ ἂν τῶν εὐφρονούντων δίκαιον κρίνοι μεμνῆσθαι νόμου τοῦ τοσαύτην ἀνατροπὴν ἐργασαμένου νομοθεσιῶν εὐσεβῶν; διὸ

ἀποτρόπαιος ἔδοξε καὶ τοῖς πρὸ ἡμῶν ὁ ἐγχειρίδιος, οὐχ ὅλος μέντοιγε ὁλικῶς, ἀλλ' ὅσος[1] ὤφειλεν. ὁ δέ γε νῦν παρ' ἡμῶν συνταχθεὶς εἴς τε στάσιν[2] τῶν καλῶς νομοθετηθέντων καὶ εὐχέρειαν τῆς αὐτῶν γνώσεως ἐπινενόηται.

Εἰδέναι δὲ χρὴ, ὡς τὴν προμνημονευθεῖσαν ποιούμενοι ἀνακάθαρσιν, ἐν ἑνὶ τεύχει τὰ ἀνῃρημένα ἅπαντα συντεθείκαμεν, ὡς ἂν δήλη πᾶσιν ἡ τούτων ἀργία γνωρίζοιτο· τὰ μέντοι τῶν παλαιῶν νόμων ἐν τῷ οἰκείῳ σχήματι μένοντα ἐν ἑξήκοντα βιβλίοις καθυπετάξαμεν, τοῖς βουλομένοις τὴν τούτων γνῶσιν ἐκ τοῦ πλάτους σπουδῇ ἀναλέγεσθαι καταλιπόντες.

Τῆς μέντοι παρούσης προχείρου πραγματείας ἀρχὴ τέθειται, ὁπόθεν καὶ ἡ καθ' ἡμᾶς φύσις τὴν ἀρχὴν εἴληφεν.

Τίτλος πρῶτος. Περὶ συναινέσεως μνηστείας[3].

1. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων. καὶ ἐγγράφως καὶ ἀγράφως συνίσταται μνηστεία[4].

2. Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσιν. ἀεὶ δὲ συναινεῖν ὁ πατὴρ δοκεῖ τῇ θυγατρὶ, εἰ μὴ ῥητῶς ἐναντιοῦται[5].

3. Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν, οὔτε διαλύει τὴν γενομένην[6].

4. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας[7].

5. Διχονοοῦντος τοῦ ὑπεξουσίου οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ[8].

6. Ὡς ἐπὶ τῶν γάμων, οὕτως καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσιν. τότε γὰρ λέγομεν συνίστασθαι μνηστείαν, ὅτε τοῖς μνηστευομένοις συναινοῦσιν οἱ τούτων γονεῖς. δεῖ οὖν καὶ τοὺς ὑπεξουσίους συναινεῖν. δοκοῦσι δὲ τοῖς γονεῦσι συναινεῖν οἱ μὴ ἀντιλέγοντες. τότε δὲ μόνον ἀντιλέγειν δύνανται, ὅτε τοῖς τρόποις αἰσχροὺς καὶ ἀναξίους αὐτοῖς μνηστεύονται. αἰσχρῶν δὲ καὶ ἀναξίων τῶν προσώπων μὴ ὄντων, κἂν ἀποκλήρους ἑαυτοὺς τὰ τέκνα βούλοιντο ποιεῖν

---

[1] Alii ὅσον. [2] Alii σύστασιν. [3] Lipsiensis, quod sufficiat hoc loco monuisse, in prioribus titulis, qui a secunda manu scripti sunt, titulorum rubricas non praestat. — Caeterum in sequentibus singula capita suis numeris distinxi, licet Codices numeros non adjiciant. [4] Proch. I, 1. 2. [5] Proch. h. t. 3. [6] Proch. h. t. 4. [7] Proch. h. t. 5. [8] Proch. h. t. 7.

ἐπὶ τῷ μὴ τὴν γονικὴν, ἀλλὰ τὴν ἰδίαν γνώμην ἐκνικῆσαι, ἀνίσχυρον αὐτῶν εἶναι θεσπίζομεν διὰ παντὸς τὸ βούλημα. τὰ γὰρ ἐπὶ ἰδίᾳ καταστροφῇ καὶ ἀπωλείᾳ τῶν νέων ὁρμήματα παντὶ τρόπῳ κωλύειν οἱ νόμοι ἐγνώκασιν. διχονοούντων δὲ τῶν γονέων πρὸς ἀλλήλους περὶ τῆς ἐκλογῆς ἡ τοῦ πατρὸς γνώμη κρατεῖ[1].

7. Καὶ ψιλῇ συναινέσει συνίσταται μνηστεία, καὶ μεταξὺ ἀπόντων, ἐὰν μέντοι γινώσκωσιν οἱ ἀπόντες ἢ δεκτὸν ἡγήσωνται[2].

8. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ζ′ ἐτῶν. τοῦτο ἀνετράπη διὰ τῆς τοῦ κυροῦ ἀλεξίου τοῦ βασιλέως νεαρᾶς[3] διοριζομένης τελείων ιβ′ χρόνων εἶναι τὴν μνηστευομένην, καὶ τὴν οὕτω γινομένην μνηστείαν ἔχειν τὸ ἄλυτον· ἐξ ὧν ὁ τέλειος λύεται αἰτιῶν, ἐκ τούτων λύεσθαι τὴν αὐτήν. εἰ μέντοι τῆς μνηστείας γεγενημένης ἔσωθεν τοῦ ιγ′ χρόνου τολμήσειέ τις τοῖς μνηστευσαμένοις τὴν λεγομένην εὐλόγησιν ἢ τὸ στεφάνωμα περιθεῖναι, ὡς τῶν θείων νόμων παραβαθέντων αὐτίκα ἡ μὲν προαπελθοῦσα μνηστεία ἅμα τῇ δοκούσῃ συναφείᾳ διαλύεται, καὶ τὰ παρ᾽ ἑκατέρου μέρους ἐν τῇ μνηστείᾳ συμβληθέντα πρόστιμα ὑπὲρ τοῦ τολμήματος ζημίαν ὑπέχοντες τῷ δημοσίῳ εἰσκομίζουσι· μηδὲ τοῦ τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ παρεῖναι πράξει ἀνευθύνου καθεστηκότος, ἀλλὰ τῇ αὐστηρίᾳ τῶν ἱερῶν κανόνων ὑποκειμένου[4].

9. Ὁ μνηστευσάμενος κόρην ἔφηβον, καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγῃ, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπέρθηται χωρὶς εὐλόγου αἰτίας, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι[5].

10. Μνηστείας ἡγησαμένης, ἐξ εὐλόγου αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται ὁ τῶν ἐφήβων γάμος, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς, ἢ θάνατον γονέων, ἢ διὰ κεφαλικὰ ἐγκλήματα, ἢ μακρᾶς ἀποδημίας ἐξ ἀνάγκης γενομένης[6].

11. Μνηστεύεταί τις καὶ παρὼν δι᾽ ἑαυτοῦ, καὶ διὰ μέσου, καὶ δι᾽ ἐπιστολῆς[7].

---

[1] Epanag. XIV, 10. [2] Epanag. h. t. 3. [3] Coll. IV Nov. 24. [4] Epanag. h. t. 11. [5] Epanag. h. t. 12. [6] Epanag. h. t. 13. [7] Proch. h. t. 11.

12. *Οὐ δύναται ὁ ἐπίτροπος τὴν ἐπιτροπευθεῖσαν παρ' αὐτοῦ λαμβάνειν εἰς θυγατέρα*[1].

13. *Ὁ γενόμενος ἐπίτροπος οὐ δύναται γαμεῖν τὴν ὀρφανὴν ἢ ἀνήλικον, οὔτε παιδίον αὐτοῦ ταύτῃ ζευγνύναι. τὸ αὐτὸ καὶ περὶ μνηστείας ἐπικρατεῖ*[2].

14. *Ἐπίτροπος, ὁ ἀντὶ πατρὸς καὶ μητρὸς τῆς ἐπιτροπευομένης παιδὸς ὤν, φθορεὺς ἀναφανεὶς ἐξορίζεται καὶ τῆς ὑπάρξεως αὐτοῦ ἀποστερεῖται. τοῦτο δὲ ἡ νεαρὰ*[3] *καινίζει, τὸ μὴ τὸ δημόσιον τὴν ὕπαρξιν ἐγκολποῦσθαι τοῦ φθορέως*[4].

15. *Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν· ἐπιγινομένη δὲ οὐ λύει τὴν συστᾶσαν*[5].

16. *Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι*[6].

17. *Οἱ τῶν μαινομένων παῖδες, κἂν ὑπεξούσιοι ὦσιν, οὐ δέονται τῆς τῶν πατέρων αὐτῶν συναινέσεως γάμον συναλλάσσοντες· δηλονότι καὶ μνηστείαν. ἀλλ' ἐν μὲν κωνσταντινουπόλει ἐπιφανῶν μὲν τῶν προσώπων ὄντων γνώμῃ τῆς ἡμετέρας βασιλείας, ταπεινοτέρων δὲ κρίσει τοῦ ἐπάρχου τῆς πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις κρίσει τοῦ ἄρχοντος ἢ τοῦ ἐπισκόπου, παρουσίᾳ τοῦ κουράτορος τοῦ ἰδίου πατρὸς, τὸν γάμον ἀποτελοῦσιν*[7].

18. *Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας, ἧς ἄρχουσι, μνηστεύεσθαι· εἰ δὲ τοῦτο ποιήσουσιν, ἀπόλλουσι τοὺς ἀῤῥαβῶνας, οὓς δεδώκασιν*[8].

19. *Ἐὰν εἷς τῶν μνηστευσαμένων τελευτήσῃ μηδὲν ἐμποδίσας τῷ γάμῳ, ἀναδίδοται ἀνελλιπῶς ὁ δοθεὶς ἀῤῥαβών. ὡς γάρ φησιν ἡ ε' διάτ. τοῦ παρόντος τί. καὶ ε' διάτ. τοῦ γ' τί*[9]. *ἐὰν ἐμπόδιον ἐποίησε τῷ γάμῳ ὁ τελευτήσας, ζημιοῦται τὸ κατ' αὐτὸν μέρος τοὺς ἀῤῥαβῶνας*[10].

20. *Οἱ τῶν αἱρετικῶν παῖδες, ἐὰν γένωνται χριστιανοὶ, ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν, καὶ προῖκα ἢ προγάμου δωρεὰν ὑπὲρ αὐτῶν διδόναι κατὰ τὸ μέτρον τῆς οὐσίας αὐτῶν*[11].

21. *Καὶ ἡ μὴ συναφθεῖσα τῷ ἀνδρὶ ἀλλ' ἔτι παρθένος*

---

[1] Hoc caput in aliis sequenti postponitur. [2] Epanag. h. t. 9. [3] Coll. II Nov. 34. [4] Epanagoge aucta XL, 13. [5] Epanag. h. t. 14. [6] Proch. h. t. 12. [7] Proch. h. t. 13. [8] Mich. Attal. XIX, 3. Plerique MSS. hoc caput hoc loco omittunt. [9] Cod. V, 1, 5 et V, 3, 15. Itaque posteriori loco *ιε' διάτ.* scribendum. [10] Cf. Epit. XX, 21. [11] Proch. h. t 14.

οὖσα πενθεῖν χρεωστεῖ τὸν ἄνδρα. τοῦτο νόησον ὡς ἐν γάμῳ τὴν γυναῖκα καὶ οὐχὶ ἐν μνηστείᾳ[1].

22. Μνηστῆς πορνευθείσης δύναται ὁ ἀνὴρ μοιχείαν κατηγορεῖν[2].

23. Μνηστείας μὴ γενομένης, κἂν ἐπερωτηθῶσι διδόναι προῖκα ὑπὲρ τῆς κόρης, τοῦτο μνηστείαν οὐ ποιεῖ, ὅτι ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴ οὐ τίκτεται[3].

24. Σημείωσαι τὰ περὶ γάμων δεσμωτικὰ ἔγγραφα, εἰ μὲν παρὰ μόνων τῶν μελλόντων συναφθῆναι γεγόνασιν, εἰσὶν ἀνίσχυρα ὅσον εἰς τὸ ποινὴν ἐκ παραβασίας τούτων ἀπαιτηθῆναι. εἰ δὲ παρ᾽ ἑτέρων τινῶν, ἔχουσι τὸ ἰσχυρόν[4].

25. Γίνωσκε δὲ ὅτι πολλάκις ἐζητήθη, εἰ δύναται ὁ δεσμωτικὰ τοιαῦτα περὶ γάμων θέμενος μετά τινος γυναικὸς ἔγγραφα[5] ἢ τὴν παράνομον μνηστείαν, λαβεῖν ἑτέραν γυναῖκα καὶ εἰς πρεσβυτέρου τόπον ἀναχθῆναι. σὺ γοῦν εἰπὲ, ὡς εἰ μὲν τὸ πρόσωπον τὸ κατεγγυηθὲν τῷ θέλοντι ἱερωθῆναι μετὰ τὴν ἀθέτησιν τῶν δεσμωτικῶν ἐγγράφων ὑπερέβη τὸν ἕκτον χρόνον, οὐ παραχωρηθήσεται ὁ τὰ ἔγγραφα ἐκθέμενος ἢ καὶ τὴν παράνομον μνηστείαν ἑτέρᾳ συναφθῆναι γυναικὶ καὶ οὕτως ἱερωθῆναι, ὡς δίγαμος λογιζόμενος διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸ εἶναι δεκτικὴν ἔρωτος τὴν γυναῖκα. εἰ δὲ ἧττον τῶν ἓξ χρόνων ἦν τὸ τοιοῦτον πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν συμφώνων ἐγένετο, ἐνδυνάμως καὶ ἑτέρᾳ γυναικὶ ὁ τοιοῦτος συζευχθήσεται καὶ ἔκτοτε ἱερωθήσεται. κατασκεύασον δὲ ταῦτα καὶ ἀπὸ τῆς νεαρᾶς τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, τῆς διοριζομένης ἀλύτους εἶναι τὰς μνηστείας ἐννόμους οὔσας. καὶ ἀνάγνωθι ταύτην καταστρωθεῖσαν εἰς τὸν δ´ τίτλον[6].

26. Λύεται ἡ μνηστεία, ἐὰν μετὰ ταύτην ἡ γυνὴ φωραθῇ ἐγκυμονοῦσα ἐκ προϋποδοχῆς ἀλλοτρίων σπερμάτων κατὰ τὴν ϛγ´ νεαρὰν τοῦ σοφοῦ βασιλέως κυροῦ λέοντος[7].

27. Ἡ ἄλλῳ μνηστευθεῖσα καὶ ἄλλῳ γαμηθεῖσα μήπω τῆς μνηστείας διαλυθείσης ἀτιμοῦται, ἀλλὰ καὶ ἀπὸ τοῦ ϛη´ κανόνος τῆς ϛ´ συνόδου τῷ περὶ μοιχείας ἐγκλήματι ὑπόκειται.

28. Ἐρώτησις[8]. Ἐμνηστεύσατό τις κόρην οὐ μετὰ τῶν

---

[1] Epit. XX, 15. [2] Epit. ib. 16. [3] Epit. ib. 17. [4] Balsamon ad Phot. XIII, 4. [5] Nempe propter ὁμοιοτέλευτα exciderunt haec: ἢ καὶ γαμήλια ἐπὶ μνηστείᾳ ἀσυστάτῳ, μετὰ τὸ ἀθετῆσαι τὰ δεσμωτικὰ ἔγγραφα. [6] Bals. cit. [7] Bals. ad c. 98 syn. sextae. [8] Capita 28 et 29 continent quaestiones Constantini Cabasilae, archiepiscopi Dyrrhachiensis: cap. 30 et 31

συνήθων ἱερῶν εὐχῶν, ἀλλὰ διὰ συναινέσεως μόνης καὶ συμβολαίων γραφῆς. ἔξεστιν αὐτῷ συζευχθῆναι τῇ αὐταδέλφῃ τῆς τοιαύτης κόρης ὡς τεθνηκυίας, ἢ οὔ;

29. Ἕτερος δέ τις τὸν αὐτὸν τρόπον γυναῖκα μνηστευσάμενος ἄλλην ἠγάγετο, θανούσης ἐκείνης. ἆρα οὖν οὗτος ὡς δίγαμος λογισθήσεται, ἢ οὔ;

30. *Λύσις.* Περὶ ὧν ἡ ἐρώτησις, ὁ μὲν πρῶτος, εἰ μὲν ἑπταετὴς ἦν ἡ κόρη ἢ ἐπέκεινα, ὁπότε κατὰ συναίνεσιν μόνην ἡ μέσον τούτων προέβη μνηστεία, κωλυθήσεται τὴν αὐταδέλφην αὐτῆς κατὰ τὸν νόμον εἰς γυναῖκα λαβεῖν, θανούσης δηλονότι ἐκείνης. εἰ δὲ ἔλαττον ἐτύγχανε τῶν ἑπτὰ, (ἐν τοιαύτῃ γὰρ ἡλικίᾳ οὐδὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη ἐπιγινώσκεται,) ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσεται. τοὺς χρονικοὺς γὰρ ὅρους τῶν νόμων οὔτε καινίζειν οὔτε ὑπερβαίνειν δυνάμεθα.

31. Ὁ δέ γε δεύτερος, ἐπειδὴ τῇ συναινέσει τῆς μνηστείας ἡ συνήθης ἱεροτελεστία, ὡς ἡ ἀφήγησις, οὐκ ἐπηκολούθησεν, οὐδαμῶς ὡς δίγαμος λογισθήσεται. γάμον γὰρ οὐ λογοπραγία συνίστησιν, ἀλλ᾽ οὐδὲ φανερὰ ἢ λαθραία συνάφεια· πορνεία γάρ ἐστιν αὕτη· εὐχῶν δὲ ἱερῶν ἐπῳδαὶ καὶ τὰ ταύταις ἀκόλουθα. πῶς δὲ καὶ λογισθήσεται δίγαμος ἢ ὀνομασθήσεται ὁ μὴ γάμου πεπειραμένος τοιούτοις προνομίοις ἐγκοσμουμένου; καθόλου δὲ τὰ τῶν συναινέσεων μόνων ὡς ἐν κεφαλαίῳ εἰπεῖν ἐπί τε συστάσει μνηστείας καὶ ἐπὶ γάμου λύσει τὸ ἄπρακτον ἐκ τῶν διαληφθεισῶν νεαρῶν διατάξεων ἀπηνέγκαντο, εἰ καὶ ἐπὶ τῶν πρεσβυτέρων νομοθεσιῶν τὸ κράτος ἐκέκτηντο.

32[1]. Κόρη τὶς πέμπτον ἄγουσα ἔτος τῆς ἐν ἀνηβότητι ἡλικίας μνηστεύεταί τινι ἀνδρὶ, ὃς καλῶς ποιῶν διὰ τὴν τῆς μνηστευθείσης ἀνηβότητα ἀφίσταται αὐτῆς. ἡ δὲ πάλιν ἐν τῷ ἑβδόμῳ χρόνῳ τῆς ἡλικίας αὐτῆς μνηστεύεται ἀνδρὶ ἑτέρῳ, ὃς δὴ πάλιν τὰ ἶσα τῷ προτέρῳ φρονήσας ἀποῤῥήγνυται αὐτῆς. εἶτα τί; τρισκαιδέκατον ἐλαύνουσα χρόνον βούλεται νομίμως ἀνδρὶ ἑτέρῳ συναφθῆναί τε καὶ ἱερολογηθῆναι. ταῦτα διηγηματικῶς ἐκθεὶς ἐζήτεις μαθεῖν, εἰ κεκώλυται ἢ μὴ κεκώλυται.

sequuntur ad eas responsiones Joannis episcopi Citri. Videsis *Σύνταγμα τῶν κανόνων* ex ed. Rhalli et Potli V p. 419 sq.

[1] Hoc et quod sequitur caput continet responsionem Eliae metropolitae Cretensis ad interro gationem monachi cujusdam Dionysii. Vide *Σύνταγμα* l. c. p. 381.

33. *Καὶ λέγομεν μὴ κεκωλύσθαι ταύτην, διά τε τὸ παρ' ἡλικίαν μνηστευθῆναι, καὶ μὴ συναριθμεῖσθαι ὅλως τὰς τοιαύτας μνηστείας ταῖς ἐγνωσμέναις τῇ νεαρᾷ νομοθεσίᾳ*[1] *μνηστείαις, καὶ προσέτι δὲ διὰ τὸ τοὺς προηγησαμένους μνηστῆρας, — εἴγε μνηστῆρας δεῖ καλεῖν τοὺς τὴν κλῆσιν διαψευσαμένους διὰ τὸ ἔκθεσμον, — δικαίως ἤδη*[2] *διαστῆναι αὐτῆς. καίτοι εἰ καί τις ἐκείνων τῆς μνηστείας ἀντεποιεῖτο, ἱκανὸν τῇ κόρῃ βοήθημα πρὸς ἀθέτησιν ἐκείνου τὸ μὴ δοκεῖν συναινεῖν διὰ τὴν ἀνηβότητα.*

34. *Κόρη τὶς δ' ἢ ε' ἐτῶν κατηγγυήθη ἀνδρὶ, ὅς καὶ μὴ ἀναμείνας τὸν ἔνηβον αὐτῆς χρόνον ἑτέρᾳ συνεζύγη· ἡ δὲ κόρη τὴν ἔννομον φθάσασα ἡλικίαν ἀνδρὶ συνήφθη ἑτέρῳ, ὅς καὶ ἱερωθῆναι ζητήσας ἐπετράπη παρὰ τῆς συνόδου, μηδοπωσοῦν ἐμποδισάσης τῆς ἐν παντελεῖ ἀνηβότητι κατεγγυήσεως τῆς κόρης, ὡς εἴρηται.*

35. *Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται πέμπειν διαζύγιον καὶ λύειν τὴν μνηστείαν. εἰ δὲ μετὰ τὴν μνηστείαν αὐτεξουσία γέγονεν ἡ θυγάτηρ, οὐ δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην καταλύειν μνηστείαν. ὅθεν κἄν τινα λόγῳ προικὸς ἐπιδέδωκεν ἐν τῇ τοιαύτῃ μνηστείᾳ, οὐδὲ ταῦτα ἀναλαμβάνεσθαι δύναται αὐτεξουσίας ὡς εἴρηται γενομένης τῆς κόρης. μετὰ γὰρ τὴν αὐτεξουσιότητα καὶ τελειότητα ἡ κόρη κατ' οἰκείαν πράττουσα γνώμην καὶ τῷ μνηστευσαμένῳ συναπτομένη πρὸς γάμον προῖκα τὰ ἐπιδοθέντα ποιεῖ, καὶ ἀποπαύει τὸν πατέρα ταῦτα ἀναλαμβάνεσθαι*[3].

36. *Συνίσταται μνηστεία ἐπὶ τοῖς ἐν πρώτῃ ἡλικίᾳ ἀπὸ ἑπταετοῦς χρόνου καὶ τῶν ἄνω ἔκ τε τῆς τῶν μνηστευομένων ἀρεσκείας καὶ τῆς ἐκ γονέων καὶ συγγενῶν αὐτῶν συναινέσεως, ἐὰν οἱ συναλλάσσοντες νομίμως συναλλάσσωσι καὶ μὴ ὦσιν ἐκ τῶν κεκωλυμένων, τουτέστι δι' ἀῤῥαβώνων ἢ ὑποβόλων ἢ δι' ἐγγράφων. εἰ δὲ δόξει τὸν διδόντα τὸν ἀῤῥαβῶνα διαστρέψαι καὶ μὴ συναλλάξαι, ἀπόλλει αὐτὸν τὸν ἀῤῥαβῶνα. εἰ δὲ τῆς κόρης τὸ μέρος θελήσει διαστρέψαι, τὸ αὐτὸ μέτρον, ὅπερ ἐκεῖνος ἐγγράφως ὡμολόγησε, παρεχέτω τῷ μνηστευσα-*

---

[1] Scil. Coll. IV Nov. 24 [2] Lips. *ἔχειν*. [3] Basil. XXVIII, 1, 8. — In hoc capite omnes desinunt, praeter unum Lipsiensem. Scilicet in Codicibus MSS. fere in fine cujusvis tituli spatium in albo relictum est, ut possent pro lubitu aliunde quaedam adscribi. Hac venia data librarius Codicis Lipsiensis fragmenta quaedam ex Ecloga Leonis et Constantini subjecit.

μένῳ μετὰ καὶ τῆς παρ' αὐτοῦ γενομένης ὁμολογίας καὶ ἀπαλλασσέτω[1].

37. Εἰ δέ τις ἁρμόσηται κόρην καὶ ἴσως διὰ μύσος[2] ἢ τρόπον οἱονδήποτε ὑπερτίθεται ποιῆσαι τὸν γάμον, ἕως δύο ἐτῶν ὑποκεῖσθαι τὴν κόρην ἐκδέχεσθαι αὐτόν· καὶ μετὰ τοῦτο ἵνα διαμαρτύρηται αὐτὸν τὸ μέρος τῆς κόρης τοῦ ποιῆσαι τὸν γάμον, καὶ εἰ μὲν καταδέξηται, [καλῶς εἶναι·] ἐπείτοιγε ἄδειαν ἔχειν τὴν κόρην συζευχθῆναι ᾧτινι βούλεται, ἐγκρατοῦσαν καὶ ἅπερ ἔλαβεν ἐκ τοῦ μνηστευθέντος αὐτῇ[3].

38. Εἰ δέ εἰσι παῖδες μὴ ἔχοντες γονεῖς εἴτε ἄῤῥην εἴτε θήλεια, καὶ ἐξ ὑποβολῆς τινων ἐποίησαν μνηστείαν καὶ ὕστερον μετενόησαν, ἕως τοῦ ιε' ετοῦς χρόνου ἄδειαν ἔχειν ἀναλύσαι τὸ συνάλλαγμα ἀζημίως, ὡς ὀρφανῶν αὐτῶν ὄντων καὶ μὴ γινωσκόντων τὰ συμφέροντα αὐτοῖς. εἰ δὲ εἰς ἡλικίαν ἔλθωσιν, ὡς φρόνησιν ἔχοντες, εἴ τι ποιήσουσιν, οὐκ ἔχουσιν ἄδειαν τοῦ λοιποῦ διαστρέψαι[4].

Τίτλος β'. Περὶ ἀῤῥαβώνων μνηστείας.

1. Ἐὰν ἀῤῥαβὼν ἐν οἱῳδήποτε συναλλάγματι δοθῇ, ὡς ἀτελοῦς ὄντος τοῦ συναλλάγματος, ἐξ ἀγνωμοσύνης μὲν τοῦ δεδωκότος ἐν κέρδει γινέσθω τοῦ λαβόντος ὁ δοθεὶς ἀῤῥαβών· ἐκ διαστροφῆς δὲ τοῦ δεξαμένου τὸν ἀῤῥαβῶνα ἀναδιδόσθω μετὰ καὶ ἄλλου τοσούτου ποσοῦ τῷ δεδωκότι αὐτόν[5].

2. Ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ἵνα, εἰ μὲν ὁ λαβὼν τὸν ἀῤῥαβῶνα παραιτήσεται, διπλάσιον ὅπερ ἔλαβεν ἀποδῷ· εἰ δὲ ὁ δεδωκώς, ἵνα ἐκπέσῃ τῶν ἀῤῥαβώνων. ἀῤῥαβώνων δὲ ἐπ' ὀνόματι μνηστείας δοθέντων, ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ τελευτήσῃ, τὰ δοθέντα κελεύομεν ἀποκατασταθῆναι, εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ μὴ ἐπιτελεσθῆναι τὸν γάμον τὸ τελευτῆσαν πρόσωπον ἤδη παρέσχεν[6].

3. Ἐὰν δὲ μὴ παρ' αἰτίαν τοῦ ἀνδρὸς ἢ μηδὲ παρ' αἰτίαν τῆς γυναικὸς λυθείη ἡ μνηστεία, ἀλλ' εἷς ἐκ τῶν δύο τελευτήσῃ, οὐκ ἀπόλλυται ὁ ἀῤῥαβὼν, ἀλλὰ μόνον αὐτὸ τὸ δοθὲν ἀποκαθίσταται, εἰ μὴ ἄρα τὸ τελευτῆσαν πρόσωπον προβῆναι τὸν γάμον παρενεπόδισεν ἐξεπίτηδες[7].

---

[1] Ecloga I, 1. 2. [2] Lege μῖσος. [3] Ecl. I, 3. [4] Ecl. I, 4. [5] Ecl. IX, 2. [6] Proch. II, 1. [7] Epan. XV, 2 c. scholio α. — Paris. 1351 A addit §. Ἐάν τις τῶν μνηστευσαμένων τελευτήσῃ κτλ. Cf. tit. I §. 18.

4. *Τῇ τελευτῇ τοῦ μνηστῆρος ἀναδίδοται ὁ ἀῤῥαβών.*

5. *Οἱ συγγνώμην ἡλικίας αἰτήσαντες οὔτε ἐκποιοῦσιν οὔτε ὑποτίθενται κινητὸν ἢ ἀκίνητον πρᾶγμα χωρὶς δεκρέτου*[1].

6. *Κἄντε αὐτεξουσία ᾖ κἄντε ὑπεξουσία, κἄντε ἐλάττων οὖσα τῶν κε΄ ἐνιαυτῶν, ἐὰν ἄρα ᾔτησε συγγνώμην ἡλικίας καὶ ἀῤῥαβῶνας ἔλαβε καὶ παρῃτήσατο τὸν γάμον, εἰς τὸ διπλάσιον ὃ ἔλαβεν ἀναστρέφεται. εἰ δὲ ὁ δεδωκὼς ἐμποδίσει τὸν γάμον, ἐκπίπτει τῶν ἀῤῥαβώνων*[2].

7. *Ὁ διὰ τὸ μονάσαι λύων τὴν μνηστείαν ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας ἀζημίως, κἂν μνηστή ἐστι κἂν μνηστήρ*[3].

8. *Ἐὰν ὁ μνηστὴρ ἢ καὶ μνηστὴ μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας ἢ καὶ δοῦναι τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας, ἡ δὲ μνηστὴ οὓς ἔλαβεν ἀναδίδωσι μόνον καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρασχεῖν. τὸ αὐτὸ καὶ ἐπὶ προστίμων*[4].

9. *Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν ἀῤῥαβῶνα δεξαμένη παραιτήσῃσαι τὸν γάμον, διπλοὺς διδότω τοὺς ἀῤῥαβῶνας. εἰ δὲ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε*[5] *καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω*[6].

10. *Πολλάκις ὁ πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀῤῥαβῶνα τελευτᾷ μήπω γενομένων τῶν γάμων, εἶτα μετὰ τὸν ἐκείνου θάνατον ἢ ἐπίτροπος ἢ κουράτωρ παρασκευάζει διαλυθῆναι τὴν μνηστείαν. λέγει οὖν ἡ διάταξις, ὅτι οὐ χρὴ τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ συναρέσαντα παραχαράττεσθαι, ἵνα μηδὲν ἐκ τούτου πρόκριμα τῇ κόρῃ γένηται*[7].

11. *Ἐὰν ἡ μνηστὴ παραιτῆται τὸν γάμον διὰ τὸ τῆς πίστεως διάφορον, εἰ μὲν προῄδει τὴν αἰτίαν ἡ γυνὴ [ἢ] οἱ γονεῖς αὐτῆς, ὑπόκεινται· εἰ δὲ ἠγνόουν, ἢ καὶ μετὰ τὸ λαβεῖν τοὺς ἀῤῥαβῶνας ἡ αἰτία συνέβη, τὸ ἁπλοῦν ἀναδίδοται*[8].

12. *Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας τοῖς μὲν ἀνδράσιν ἀπὸ κ΄ χρόνου ἕως κε΄, ταῖς δὲ γυναιξὶν ἀπὸ ιη΄ μέχρις τοῦ κε΄ ἔτους. αἰτοῦνται δὲ βασιλέα ἀπώσασθαι τοὺς κουράτορας αὐτῶν ὡς αὐτοὺς μόνους τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα, ὑπολήψεως ἀγαθῆς δηλαδὴ μαρτυ-*

---

[1] Epit. XX not. 38. — In Paris. 1351 A alius ordo §§ est: scilicet quae nobis est §. 8, intercalatur inter §. 4 et 5. [2] Epit. XX, 26. [3] Epit. XX, 23. [4] Proch. II, 9. [5] Lips. *οὐκ ᾔτ.* [6] Proch. II, 4. [7] Proch. II, 4. Epan. XV, 3. [8] Phot. XII, 13.

ρουμένους· καὶ τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων, οὐ μέντοιγε χωρὶς δεκρέτου ἐκποιοῦνταί τι τῶν αὐτοῖς προσόντων [1].

13. Εἰ δὲ καὶ πατὴρ κόρης ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν, ἢ πάππος περὶ ἐγγόνης, τελείας οὔσης τῆς ἡλικίας, καὶ αὐτοὶ εἰς τὸ διπλάσιον κατεχέσθωσαν, εἴπερ δυνάμενον προβῆναι τὸν γάμον παραιτοῦνται ποιῆσαι. εἰ δὲ καὶ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοί. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι᾽ εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοῖς ἐγκαλείτωσαν διότι τὸν τοιοῦτον ἐμνηστεύσαντο· εἰ δὲ ἠγνόουν ἢ πολλάκις μετὰ τὴν μνηστείαν ἡ αἰτία συνέβη, τότε ἁπλοῦν ἀποδιδόσθω. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτησαμένου [2].

14. Εἰ καὶ [3] τοῖς νόμοις ἀπηγορευμένοι εἰσὶν οἱ ἐλπισθέντες γάμοι, μετὰ δὲ τοὺς δοθέντας ἐπὶ μνήστροις ἀῤῥαβῶνας ἡ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν ἢ τὴν τῆς θρησκείας ἢ τὴν τοῦ δόγματος διαφορὰν παραιτεῖται, ἢ διὰ τοῦτο ὅτι ὡς ἀνὴρ συνάφειαν ἐξ ἧς γονῆς ἐλπὶς τίκτεται ποιεῖν οὐ δύναται, ἢ δι᾽ ἄλλην εὔλογον παραιτήσεως αἰτίαν, εἰ μὲν ἀποδειχθείη πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀῤῥαβῶνας τοῦτο αὐτὸ τὴν γυναῖκα ἢ τοὺς αὐτῆς γονεῖς ἐγνωκέναι, ἑαυτοὺς ὀφείλουσιν ἐγκαλεῖν. ἐὰν δὲ ταῦτα ἀγνοοῦντες τοὺς ἐπὶ τῇ μνηστείᾳ ἀῤῥαβῶνας ἐδέξαντο, ἢ μετὰ τοὺς δοθέντας ἀῤῥαβῶνας αἰτία τὶς εὔλογος μεταμέλου παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων περὶ τῆς τοῦ ἄλλου ἁπλῆς τιμωρίας ἐλεύθεροι φυλαττέσθωσαν [4].

15. Ἐὰν ὁ ἐπίτροπος ἢ ὁ γενόμενος κουράτωρ υἱοθετήσηται τὸν ἄνδρα τῆς ἐπιτροπευθείσης ἢ κουρατορευομένης ἢ τὸν πατέρα αὐτῆς, ἡ θέσις ἄκυρός ἐστιν, οὐ μὴν ὁ γάμος λύεται, ὥσπερ λύεται ἡνίκα τὶς τὸν ἴδιον γαμβρὸν υἱοθετήσηται [5].

16. Ἔχων τὶς αὐτεξούσιον παῖδα καὶ νύμφην αὐτῷ ἀγαγόμενος μετὰ τὴν τοῦ γάμου σύστασιν ἤδη παίδων τεχθέντων ἀπὸ τῆς νύμφης ὠνομάσθη κουράτωρ τῇ ἰδίᾳ νύμφῃ, ὁ δὲ τούτου παῖς ὁ τῆς νύμφης ἀνὴρ εὐλαβηθεὶς μήποτε ἀσύστατος ὁ γάμος γένηται προφάσει τῆς τοῦ πατρὸς κουρατορείας,

---

[1] Proch. II, 5. [2] Proch. II, 6. [3] Lips. εἰ δὲ μή. [4] Proch. II, 7.
[5] Bals. ad Phot. XIII, 2.

ἐδεήθη βασιλέως. καὶ ἀντιγράφει, τὸν μὲν γάμον ἐῤῥῶσθαι, πλὴν παύσασθαι τὸν πατέρα τῆς κουρατορείας, καὶ ἄλλου καταστάθέντος λογοθετηθῆναι ὑπ' αὐτοῦ τὸν πατέρα[1].

17. Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσθαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτορσι παραιτεῖσθαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας. εἰ δὲ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος. τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν καὶ ἐκγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαθέδρων καὶ ἐπὶ πάντων οἰκείων αὐτοῦ, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο. σημείωσαι οὖν τότε κωλύεται τὸ συνάλλαγμα, ὅτε ὁ τὸ ὀφφίκιον χειρίζων δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης, ὡς εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δ' ἱκανὸς φοβῆσαι τοὺς τῆς κόρης γονεῖς, οὐ κεκώλυται ἡ μνηστεία[2].

18. Ἐὰν ἡ γυνὴ ἀνδρὶ μνηστευθεῖσα τελευτήσῃ ἄγαμος, ἀποκερδαίνει τὸ ἥμισυ τοῦ θεωρέτρου καὶ μετὰ θάνατον.

19. Ἐὰν ἐφίλησε τὴν μνηστὴν ὁ μνήστωρ ἐν τῷ τῆς μνηστείας καιρῷ καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. εἴτε γὰρ ὁ μνηστὴρ ἀπέθανε, κατέχει τὸ ἥμισυ τῆς δωρεᾶς ἡ μνηστευθεῖσα καὶ τὸ ἥμισυ δίδωσι τοῖς ἐκείνου κληρονόμοις· εἴτε αὐτὴ ἡ μνηστὴ ἀποθάνοι, τὸ ἥμισυ δίδοται τῷ μνηστῆρι, τὸ δ' ἕτερον ἥμισυ μένει παρὰ τοῖς κληρονόμοις τῆς γυναικός. φιλήματος δὲ μὴ γενομένου, εἰ ὁ μνηστὴρ τελευτήσει εἴτε ἡ μνηστὴ, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεὰ, ἢ τῆς μνηστῆς τελευτησάσης τῷ μνηστῆρι ἢ τοῦ μνηστῆρος τελευτήσαντος τοῖς κληρονόμοις αὐτοῦ. ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι, καὶ συνέβη ἕνα τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεὰ τοῦ τελευτήσαντος, μὴ ζητούντων ἡμῶν εἴτε γένηται εἴτε μὴ γένηται φίλημα[3].

20. Γίνωσκε ὅτι πρὸ μὲν τῆς βασιλείας τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἄλλως ἐγίνοντο αἱ μνηστεῖαι· κατὰ δὲ τὸν ἰούλιον μῆνα τῆς ζ' ἰνδ. τοῦ ͵ϛφϛβ' ἔτους ἀπελύθη νεαρὰ νομοθεσία τοῦ αὐτοῦ βασιλέως, ἥτις καὶ ὑπηγορεύθη παρὰ βάρδα κουροπαλάτου πρωτασηκρῆτις τοῦ ἱκανάτου[4], οὕτως ἔχουσα· Ἡ μὲν παλαιὰ καὶ πρεσ-

---

[1] Bals. ad Phot. XIII, 2. [2] Proch. II, 8. [3] Bas. XXVIII, 3, 16.
[4] Haec verba: ἥτις καὶ — ἱκανάτου in aliis desunt.

βυτέρα νομοθεσία πόῤῥω τὰ τῆς μνηστείας καὶ γάμου ὁρίσματα ἔθετο καὶ μᾶλλον τούτων τὸ μέρος ἤπερ τὰ μυσῶν καὶ φρυγῶν ἡ παροιμία ἐγνώρισεν. ἡ δὲ ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυροῦ ἰωάννου τοῦ ξιφιλίνου συνοδικῇ διασκέψει συντελεσθεῖσα σημείωσις, ἣ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος νικηφόρος ὁ βοτανειάτης διὰ χρυσοβούλλου γράμματος τὸ κῦρος εὑρίσκεται χαρισάμενος, τὰ διεστῶτα χωρὶς ἀλλήλων εἰς ἓν συνάπτουσα φαίνεται. κἀντεῦθεν ὅπερ ἐπὶ τῶν γάμων ὁ συνοδικὸς ἐθέσπισε τόμος, τοῦτο ἐπὶ τῆς μνηστείας διαῤῥήδην αὐτὴ ἀποφαίνεται, δύο ἀδελφοὺς ἐξαδέλφαις δυσὶ μὴ ἐφιεῖσα μνηστεύεσθαι. καὶ ὁ μὲν πολὺς ἄνθρωπος ἀνεξετάστως τῷ πράγματι ἐπιβάλλων, καὶ βάπτειν ὅλως μὴ ἐξικνούμενος εἰς τὸν νοῦν τῆς συνοδικῆς διαγνώσεως, ἀσυλλογίστως ἐπλάζετο, ὅ τι ποτε μνηστεία ἐστὶ καὶ ὅπως ἔχει μᾶλλον τὸ ἀσφαλὲς διακριβοῦν μὴ δυνάμενος, καί που τάχα τὸ τῆς ἰδίας ἀνεπίσκεπτον διανοίας κατὰ τῆς ἐκκλησιαστικῆς ἐπεγράφετο ἀκριβείας. ἡ δὲ τῆς ἡμετέρας βασιλείας εὐσέβεια ἐπιστατικώτερον ἐπιβαλοῦσα τῇ διασκέψει, καὶ τῇ ἐναντιώσει καλῶς διαιτήσασα, ἀρίστην τὴν συμφωνίαν διὰ τῆς παρούσης νομοθεσίας ἐξεύρηκεν. ἐπειδὴ γὰρ ὁ παλαιὸς νόμος τὴν μνηστείαν ἐν μόνῃ τῇ τῶν συναλλαττόντων ὁρίζει βουλήσει, καὶ πλέον οὐδὲν συναινέσεως καὶ συμβολαίων καὶ μνήστρων περιεργάζεται· ἡμῖν δὲ θεοῦ χάριτι πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τὰ τοῦ βίου ἐπιληλύθασι πράγματα, κἀντεῦθεν οὐχ ὁ γάμος μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ μνηστεία ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχει παρ᾽ ἑαυτῇ· καὶ καιρὸς ὡρισμένος διὰ νεαρωτέρου θεσπίσματος τοῦ σοφωτάτου βασιλέως κυρίου λέοντος ἐπὶ τῇ πρώτῃ τῶν συμβάντων συναρμογῇ ἐξετέθη, ἤγουν ἐπὶ μὲν ἀῤῥένων ὁ πεντεκαιδέκατος τῆς ἡλικίας ἐνιαυτὸς, ἐπὶ δὲ θηλειῶν ὁ τρισκαιδέκατος, ὃν δήπου χρόνον καὶ πρὸς γαμικὴν συναυλίαν ἀποχρώντως ἔχειν τελείαν ὁ παλαιὸς νόμος ἐπέσκηψε· δεῖν ἔγνω διὰ τοῦ παρόντος θεσπίσματος τὸ ἡμέτερον κράτος ἀσφαλῶς ἀποφήνασθαι, ἐκείνας εἶναι κυρίως μνηστείας καὶ ἀτεχνῶς ἰσοδυναμούσας τῷ γάμῳ κατὰ τὴν τῆς συνοδικῆς ἀκριβείας διάσκεψιν, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως κυρίου λέοντος νομοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ᾽ ἑαυταῖς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν, καὶ ἐπ᾽ ἐκείνων τὴν τοῦ συνοδικοῦ τόμου ὀφείλειν κρατεῖν παρατήρησιν. εἰ γὰρ καὶ θάτερον ἴσως τῶν συμβαλλόντων μερῶν θα-

νάτῳ ἢ περιστάσει τύχης ἑτέρᾳ ἢ γνώμης μεταβολῇ ἀποδιαστῆναι συμβαίη καὶ πρὸς ἑτέρου βίου συγκλήρωσιν μετατάξασθαι, οὐκ ὀλίγον ἐνταῦθα τὸ ἄτοπον ἀποσύρεται, τὰς προεισοδίους τῶν γάμων εὐχὰς ἐπὶ μνηστείᾳ συντελεσθείσας ὥς τι τῶν εἰκαίων καὶ συμπεφορημένων λογίσασθαι, καὶ ἀδιαφόρως ἐκλαβέσθαι τόδε τὸ πρᾶγμα, ὥσπερ ἂν εἰ μὴ θεὸς μέσον τῶν συναπτομένων προσώπων διὰ τῆς μνηστείας εἰσήγετο. διὰ τοῦτο γὰρ καὶ ὁ προμνημονευθεὶς βασιλεὺς εὐεπηβόλως ἀκολουθήσας τῷ τῆς ἁγίας καὶ καθολικῆς ἕκτης συνόδου κανόνι, ὃς τὴν μνηστευσαμένην ἔτι τοῦ μνηστῆρος ἐν ἀνθρώποις ὄντος πρὸς γαμικὴν ὁμιλίαν ἑτέρῳ συνέρχεσθαι ἀπεκώλυσε, μοιχείαν τὸ πρᾶγμα διορισάμενος σαφῶς, πρὸς τὴν ἐμφαινομένην τοῦ παλαιγενοῦς ἐναντίωσιν νόμου καλῶς συνεβίβασεν. ὅτι καὶ ἡ μετὰ τὴν τοῖς μνηστῆρσι γενομένην εὐλογίαν διάστασις, τοῦτό ἐστι κατὰ τὴν ἐκείνου φωνὴν μνηστείας ἀληθοῦς λύσις· εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τῶν πολλῶν συνήθειαν ἀκολούθως ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρὸς, καθ᾽ ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἰώθει γίνεσθαι, καὶ οὐδὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀληθεῖς, ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν, μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, μήτε μὴν τὴν συνοδικὴν σημείωσιν κατὰ τούτων ἔχειν τὸ ἐνεργὸν, ὡς ἁπλῶς δὲ ἀρέσκειαν ἀνθρώπων δι᾽ ἐπερωτήσεων κατησφαλισμένην τὸ ἐνεργὸν ἀποφέρεσθαι καὶ τὴν παλαιὰν ἔχειν νομοθεσίαν ἐπὶ τούτων τὸ πάγιον. τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ πρεσβυγενὴς φυλαχθήσεται νόμος ἀκέραιος, ὃς ἐπὶ τῶν μνηστειῶν τὸ πρὶν ἐξεφωνήθη, καὶ ἡ τῆς συνόδου διάγνωσις ἀθιγὴς καθόλου καὶ ἀνεπιχείρητος συντηρηθήσεται, νοουμένη καὶ ἑρμηνευομένη κατὰ τὴν ἐνταῦθα παρατήρησιν. ἐπειδὴ δὲ οὕτω ταῦτα, καὶ μνηστεῖαι μὲν ἀληθεῖς ἐτυπώθησαν, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας καὶ κατὰ τὸν ὡρισμένον καιρὸν συντελεσθεῖσαι γνωρίζονται, αἱ δὲ κατὰ τὴν πρεσβυτέραν νομοθεσίαν γινόμεναι ὡς ἀνθρώπων ἀρέσκειαι κατησφαλισμέναι δι᾽ ἐπερωτήσεων τὸ ἐνεργὸν ἔχειν ἀφείθησαν, καὶ μόνος ὁ παλαιγενὴς ἀφείθη νόμος ἐπὶ τούτων κρατεῖν, ὃς ὡρισμένα τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα διετάξατο· δεῖ καὶ νῦν προσθεῖναι τῷ παρόντι θεσπίσματι τῆς χριστιανοῖς πρεπούσης εὐκοσμίας ἐχόμενον. ἐπεὶ γὰρ οὐ κατὰ τὸν ἀκριβῆ καὶ προσήκοντα λόγον τὰ τῆς πα-

λαιᾶς τε καὶ νέας νομοθεσίας ἐπράττετο, ἀλλ' ὁ μὲν πολὺς ὄχλος τῆς πρεσβυτέρας τῶν νόμων αὐθεντίας ἐχόμενος μετὰ τὸν ἑπταετῆ χρόνον τελεσιουργῶν τὰς μνηστείας ἀνυποστόλως ἐτύγχανε, καὶ ἀδεῶς ἐπὶ τὰς μνηστευομένας εἰσήρχοντο ἕκαστοι τῇ συνεχεῖ συνηθείᾳ καὶ τῷ ἐλευθερίῳ τῆς εἰς ὁμιλίαν συνόδου τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσανακαίοντες, ἡ δὲ ἱερωτέρα μερὶς τῇ νεαρᾷ τοῦ βασιλέως ἀκολουθοῦσα διαταγῇ διαστολὴν μὲν μνηστείας καὶ γάμου ἐτίθετο, τὰς ἐπὶ τοῖς μνήστροις εὐχὰς πρῶτον καὶ οὕτω τὰς ἐπὶ τῷ γάμῳ τοῖς συναπτομένοις ἐπᾴδουσα· ταῦτα δὲ ἡνωμένως ἅμα καὶ κατὰ ταὐτὸν ἐτελεῖτο, καὶ μνηστεία καὶ γάμος ἑνὶ διαστήματι χρόνου περιεγράφετο ἀκαριαίως τινὸς ἐν τῷ μεταξὺ συνεμπίπτοντος· διορθουμένη τοῦτο ὡς ἀβασανίστως γινόμενον ἡ ἡμετέρα εὐσέβεια θεσπίζει διὰ τοῦ παρόντος γενικοῦ διατάγματος, τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον καὶ εἰς τὰ ἑξῆς ἄχρι τοῦ ιδ΄ ἢ τοῦ ιβ΄ τῆς ἡλικίας ἐνιαυτοῦ γινόμενα ὡς ἐν τύπῳ μνηστείας σύμβολα μὴ τάξιν ὅλως μνηστείας ἐννόμου ἀσφαλῶς ἀποφέρεσθαι, ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὴν φύσιν τῶν ἄλλων συναλλαγμάτων, καὶ οὕτως αὐτὰ παρὰ πᾶσι τοῖς ὑφ' ἡμᾶς πολιτεύεσθαι· τοῦ παλαιοῦ νόμου, ὃς ἐπὶ τῶν μνηστειῶν ἐξεφωνήθη, τὸ ἐνεργὸν εἰς τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα ἔχειν ὀφείλοντος τέλεον διὰ τὸ περιούσιον τῆς παρὰ χριστιανοῖς πρεπούσης ἐμπολιτεύεσθαι καταστάσεως. εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν ἔχειν μνηστείας δοκεῖ τὸ πραττόμενον, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεσθαι ἄρχεται, πολὺ ἂν εἴη τὸ εὔλογον, τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις ἔχειν τὸ κώλυμα, καὶ μηδένα θαῤῥεῖν νεανιεύεσθαι ἀναιδῶς, ὡς εἰς γυναῖκα λαμβάνειν ἀποτολμᾷν, ἣν ὁ παλαιὸς νόμος μνηστήν τινος γενομένην οὐκ ἀφῆκεν ἑτέρῳ λυομένων τῶν μνήστρων κατὰ γάμον συνέρχεσθαι. ἱκνουμένου μέντοι τοῦ χρόνου, ὃν εἰς μνηστείαν ἅμα καὶ γάμον ἁρμοδίως εἶναι γνωρίζομεν (ἤγουν τῆς μὲν θηλείας τὸν δωδεκαετῆ χρόνον διατρεχούσης, τοῦ ἄῤῥενος δὲ τὸν τεσσαρεσκαιδέκατον ὑπερβαίνοντος), τηνικαῦτα τὴν μνηστείαν πρώτως μετὰ τῆς ἱερᾶς τῶν εὐχῶν ἐπῳδῆς ἐκτελεῖσθαι καὶ τῶν συνήθων ταύτης παρατηρήσεων, ἤγουν τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλίου τοῖς μνηστῆρσι φιλήματος· καὶ οὕτω βραχέος ἢ πλείονος καιροῦ διαλείποντος, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσιν, ἀπαραιτήτως καὶ τὸν

ἔννομον γάμον προβαίνειν, καὶ μὴ κατὰ ταὐτὸν συμπίπτειν ἐν ἡμέρᾳ μιᾷ ἢ πολλάκις καὶ ὥρᾳ πραγμάτων διῃρημένων ἐκ πλείονος ἀποτέλεσμα. οὕτω γὰρ τῆς ἀκολουθίας προβαινούσης ἐν γάμοις ὅ τε παλαιὸς νόμος φυλαχθήσεται, ὃς κεκωλυμένων προσώπων ἀπαρίθμησιν ἐποιήσατο, μὴ ἐφιεὶς ταῦτα εἰς τὴν ἀποζευχθεῖσαν μνηστὴν τοῦ ἐγγίζοντος προσώπου εἰσέρχεσθαι· καὶ τὸ νεαρὸν τοῦ φιλοσόφου διάταγμα κοσμίως ἐν ἅπασι δόξει κρατοῦν καὶ πολιτευόμενον· καὶ τὰ συμβάλλοντα πρόσωπα τῶν ἀώρων καὶ ἀπρεπῶν κωλυόμενα συνελεύσεων ἁγνεύουσαν ποιήσονται τὴν ἀναστροφὴν ἐν εὐθέτῳ καιρῷ μεθ᾽ ἱερᾶς ἐπικλήσεως εἰς ἄλληλα συνερχόμενα, ὁπηνίκα δέοι μνηστείαν καὶ γάμον αὐτοῖς καταρτίζεσθαι. καὶ εἴ τις παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει τολμήσειε διαπράξασθαι μνηστείαν, καὶ μὴ ταύταις γενικῶς καὶ κατὰ πάντων ἐκφωνηθείσαις καὶ εἰς τὸ ἑξῆς ὀφειλούσαις κρατεῖν φανείη ἑπόμενος ἐπ᾽ αὐτῆς τῆς πρώτης ἡμέρας τοῦ εἰσιέναι μέλλοντος Ἰουλίου μηνὸς τῆς ἐνεστώσης ζ′ ἐπινεμήσεως τοῦ ,ϛφϛ,β′ ἔτους, καὶ ἀῤῥαβῶνας πρὸ τοῦ νενομισμένου καιροῦ καὶ τῆς ἱερᾶς εὐλογίας τολμήσειε διαπράξασθαι, ἢ καὶ εἰς θέαν ἀλλήλοις ἐφήσει τὰ συναλλάττοντα συνέρχεσθαι πρόσωπα καὶ ἀδιαφορίαν ἔχειν ἐν ἑαυτοῖς· ὁ μὲν συμβολαιογράφος ὁ τὸ ἀῤῥαβωνικὸν συμβόλαιον ἐκτιθέμενος τῆς ἰδίας στατίωνος μετακινηθήσεται, οἱ δὲ τὴν μνηστείαν πρὸ ὥρας κατεργαζόμενοι ἀνθρωπίνῳ καὶ θείῳ ἴστωσαν ἑαυτοὺς ἐνοχοποιοῦντες μηνίματι. ὁ μὲν γὰρ δημόσιος διὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν τὸ τοῖς συμβολαίοις ἐγκείμενον ἐξ ἐπερωτήσεως πρόστιμον ἐφ᾽ ἑκάστῳ αὐτῶν εἰσπράξεται καθ᾽ ὁλόκληρον διὰ τὴν τοῦ παρόντος διατάγματος περιφρόνησιν· πιστεύομεν δὲ καὶ αὐτὸν τὸν θεὸν κατὰ τούτων διαναστήσεσθαι, ὅτι πορνείαν κατὰ προαίρεσιν ἄντικρυς ἐπὶ μέσον τῶν νέων εἰσαγαγεῖν οὐκ ἐνάρκησαν. εἰ γὰρ ὁ παλαιὸς νόμος κατήργηται καὶ μνηστείας τελείας οὐ δύναται καταπράξασθαι, τὰ δὲ τῆς νεωτέρας νομοθεσίας εἰς ἔργον ἐξαγαγεῖν οἱ συναλλάττοντες ἀπαναίνονται, τί ἄλλο ποιοῦσιν, ἢ ἀνθρώπους οὐδὲν ἀλλήλοις κατὰ νόμους προσήκοντας ἑαυτοῖς συγχωροῦσι παρὰ τὸν νόμον συμφθείρεσθαι, ἔρωτας ἀσελγεῖς ταῖς τῶν νέων ψυχαῖς διὰ τῆς ἀνιέρου κατεργαζόμενοι συναναστροφῆς[1];

21. Ὡσαύτως ἀπελύθη καὶ ἑτέρα νεαρὰ τοῦ αὐτοῦ βα-

---

[1] Bals. ad Phot. XIII, 2.

σιλέως χάριν τῆς αὐτῆς νομοθεσίας οὕτω δυνάμεως ἔχουσα· Ἴσμεν κατὰ τὸν ἰούλιον μῆνα τῆς ζ′ ἰνδ. τοῦ ͵ϛφϛβ′ ἔτους νομοθετήσαντες περὶ γάμου τε καὶ μνηστείας, ὅσα τῇ τε τοιαύτῃ νομοθεσίᾳ καὶ τῇ ἀναφορᾷ περιείληπται, καὶ τούτων οὐδὲν παρακινηθῆναι ἀνεχόμεθα, ἀλλὰ μένειν ἀπαρεγχείρητα βουλόμεθα καὶ ἀναλλοίωτα μέχρι παντὸς, καὶ τήν τε σύστασιν τῆς μνηστείας καὶ τοῦ γάμου ὥσπερ εἴρηται γίνεσθαι, τόν τε χρόνον τηρεῖσθαι ἀκαινοτόμητον, καὶ τῶν συναρμοζομένων τὸν μὲν τῶν ιδ′ ἐτῶν εἶναι μείζονα, τὴν δὲ τῶν ιβ′. ἐπεὶ δὲ οὐδὲν τότε διατετύπωται, εἴτε λυόμεναι προστίμων ἔσονται καταβολαῖς αἱ τοιουτοτρόπως συνιστάμεναι μνηστεῖαι εἴτε καὶ ἀδιάλυτοι μένουσι τὸ παράπαν, καὶ διὰ τοῦτο καὶ περὶ τούτου αὐτὸς ἠρώτησας, θεσπίζομεν, τὰς τοιαύτας μνηστείας, αἳ κυρίως μνηστεῖαι τυγχάνουσι, ἀμετακινήτους μένειν καὶ ἀμεταπτώτους καὶ τὸ ὅλον ἀλύτους, ἅτε θεοῦ μέσον τῶν συναπτομένων εἰσαγομένου καὶ τὴν τοιαύτην συναρμογὴν διὰ τῆς τῶν εὐχῶν ἱεροτελεστίας κρατύνοντος, καὶ μηδέποτε ταύτας προστίμων ἀναλύεσθαι δόσεσιν, ἅτε οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν ἐγγραφήσονται, ὅτι μηδὲ παρ᾽ αὐτῶν αἱ μνηστεῖαι κρατύνονται ἀλλὰ διὰ τῆς τοῦ θεοῦ ἐπικλήσεως, αἵπερ καὶ ἄλυτοι τὸ παράπαν μενοῦσι μόνοις λυόμεναι ταῖς αἰτίαις αἷς καὶ οἱ γάμοι, οἷς ἰσοδυνάμους εἶναι ταύτας νενομοθέτηται. καὶ τὰ κεκωλυμένα δὲ συγγενικὰ πρόσωπα πρὸς γάμον ἢ μνηστείαν κατὰ τὸ δόξαν ἕξει τὴν κώλυσιν, καὶ παρὰ τὰ διηγορευμένα τῇδε τῇ διατάξει ὑπ᾽ οὐδενός τι διαπραχθήσεται, εἰ μήπου βασιλεὺς οἰκονομικῷ τινι λόγῳ τήν τε μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συναρμογὴν ἐντὸς τῶν ὁρισθέντων ἐτῶν ἐπιτρέψειε· βασιλεῦσι γὰρ ἔξεστιν ὑπέρτερον ἢ κατὰ νόμους οἰκονομεῖν, ὥσπερ ὁ σοφός τε εἴρηκε βασιλεὺς καὶ τῶν νομοθεσιῶν αἱ πρεσβύτεραι. καὶ αὐτοί τε τὸν χρόνον συντέμνοντες οὐχὶ καὶ τὴν φυσικὴν ἐφήσουσι σύνοδον, ἕως τῶν συναρμοζομένων ὁ μὲν τὸν ιδ′ ἐνιαυτὸν, ἡ δὲ τὸν ιβ′ ὑπερβῇ· τῶν γονέων ἐπιμελῶς τίθεσθαι φυλακὴν ὀφειλόντων τοῦ μήτι πρὸ τοῦ ῥηθέντος πραχθῆναι χρόνου, ὡς τοῦ τε διαπραξομένου τὴν ἄωρον μίξιν καὶ τῶν γεννητόρων αὐτῶν τοῖς κατὰ τῶν φθορέων νόμοις ὑποκειμένων. καὶ ὅτε δὲ βασιλεὺς μνηστείας ἢ γάμου κοινοτομοίη καιρὸν, εἰ θανάτῳ διασταῖεν οἱ ἁρμοζόμενοι πρὸ τοῦ ὁρισθέντος τῷ πράγματι χρόνου, ἕξει καὶ οὕτω τὴν κώλυσιν τὰ κωλυόμενα πρόσωπα, καὶ οὐκ ἔσται τούτοις εὐάφορμον πρὸς τὸ τολμᾷν τὰ ἀτόλμητα τὸ πρὸ τοῦ δοκοῦντος ταῖς ἡμετέραις διατάξεσι χρόνου τὴν μνη-

στείαν ἢ τὸν γάμον τὴν λύσιν θανάτῳ δέξασθαι. τὸ γὰρ ἐλλεῖπον τοῦ τελείου χρόνου τῆς μνηστείας ἢ τοῦ γάμου ἡ τοῦ βασιλέως ἀναπληροῦσα οἰκονομία ἀπαράβατον τηρήσει τοῖς κεκωλυμένοις τὴν κώλυσιν, καὶ οὐδαμῶς θήσουσι συνάλλαγμα κωλυόμενον, ἀλλ' ὅσα ἐξ ἀκριβοῦς μνηστείας ἢ τελείου γάμου κωλύονται συναλλάγματα, ταῦτα καὶ ὑπὸ τῶν ἐντὸς τοῦ νενομισμένου χρόνου τὴν σύστασιν οἰκονομικῶς καὶ τὴν λύσιν φυσικῶς δεξαμένων εἰρχθήσονται[1].

22. Καὶ τὰ μὲν τῶν νεαρῶν ταῦτα. γίνωσκε δὲ, ὅτι τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακίου σημείωμα κατέστρωται τοῦ ἁγίου πατριάρχου ἐκείνου κυροῦ νικολάου, τάδε κατὰ ῥῆμα διαλαμβάνον· Μηνί. προκαθημένου. συνεδριαζόντων ἀρχιερέων καὶ τὰ λοιπά. Ὁ θεοφιλέστατος μητροπολίτης κυζίκου συμεὼν συνεδριάζων τῇ ἡμῶν μετριότητι εἶπεν, ὡς κληρικὸς τῆς κατ' αὐτὸν μητροπόλεως, ἰωάννης διαβατηνὸς ὀνομαζόμενος, ἐμνηστεύσατο μαρίαν τινὰ τοῦ θεοφίλου καλουμένην, ἡλικίας οὖσαν ἑπταετοῦς. μαθὼν δὲ τὴν μνηστείαν εἶναι παράνομον διὰ τὴν τῆς μνηστῆς ἀνηβότητα τότε μὲν ἀπόστη ταύτης· μετὰ δὲ χρόνους η' νομίμως ταύτην πρὸς γάμον ἠγάγετο. καὶ ταῦτα λέγων ἤθελε τὸ ποιητέον ἐπὶ τῷ κληρικῷ μαθεῖν. ἤκουσεν οὖν ἀπὸ τῆς ἡμῶν μετριότητος καὶ τῆς συνεδριαζούσης ἀδελφότητος, ὡς οὐκ ἐπὶ μόνου τοῦ γαμικοῦ συναλλάγματος ἀῤῥαβῶνας νενόμισται δίδοσθαι, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν συναλλαγμάτων, πλὴν οὐκ ἠναγκασμένως ἀλλ' αὐθαιρέτως. ὥσπερ τοίνυν ἐπὶ τῶν ἄλλων συναλλαγμάτων οὐ λέγομεν ἄκυρον εἶναι τὸ γεγονὸς μὴ δοθέντων ἀῤῥαβώνων, οὕτω καὶ ἐπὶ τοῦ γαμικοῦ συναλλάγματος, κἂν ἀῤῥαβὼν ἤτοι μνηστεία οὐ προβῇ, βέβαιον ἔσται καὶ ἀδιάσπαστον. τῆς γοῦν προβάσης μνηστείας ὡς εἴρηται μέσον τοῦ κληρικοῦ καὶ τῆς μαρίας οὔσης ἀνυποστάτου, ἐσεῖται ὁ κληρικὸς ἔχων ἀδιασείστως τὴν διὰ μόνης γαμικῆς ἱερολογίας ἁρμοσθεῖσαν αὐτῷ σύζυγον ὡς διείληπται. πρὸ γάμου δὲ δωρεὰ, δι' ἣν καὶ τὴν μνηστείαν νενομοθέτηται γίνεσθαι μέσον τῶν ὁμοζύγων ἢ τῶν μερῶν αὐτῶν, οὐ τρακταϊσθήσεται, ἀλλ' ὥσπερ εἰ μηδὲ προέβη μνηστεία μηδὲ πρὸ γάμου παρηκολούθησε δωρεὰ, βέβαιος ὁ γάμος ἔσται καὶ ἀδιάῤῥηκτος[2].

23[3]. Μνηστείας μεταξύ τινων κατὰ νόμον γενομένης εἴτε

---

[1] Bals. ad Phot. XIII, 2. [2] Bals. ad Phot. XIII, 2. [3] Cap. 23. 24 in plerisque deest.

ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθῃ, ἀναλαμβανέτω τὰ ὑπὲρ τῆς μνηστείας ἀῤῥαβώνων ὀνόματι δεδομένα, εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξηται, ἐκεῖνα μόνον ἀποδιδότω, ἅτινα ὁμοίως ἀῤῥαβώνων ὀνόματι ἔλαβε, τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης[1].

24. Ἐάν τις γαμετὴν ἔχων ἀπατήσῃ γυναῖκα ἑτέραν ὡς δῆθεν οὐκ ἔχων γαμετὴν, καὶ μνηστεύσηται αὐτὴν καί τινα λόγῳ μνήστρων ἐπαγγείληται αὐτῇ διδόναι καὶ δῷ, μὴ παρακολουθούντων τῶν γάμων οὐ δύναται ταῦτα ἐπαναλαβεῖν. εἰ μὲν γὰρ μνηστεία συνέστη, ὁ δὲ γάμος οὐκ ἐγίνετο, χώραν ἐλάμβανεν ἡ τῆς ἀπαιτήσεως ἀγωγή· νῦν δὲ ἡ τοῦ πράγματος αἰσχρότης οὐ συνεχώρησε τὴν μνηστείαν συστῆναι, καὶ ὡς αἰσχρᾶς οὔσης τῆς τοῦ δεδωκότος αἰτίας· δέδωκε γὰρ ἐπὶ παρανόμῳ γάμῳ, ἐπὶ παρανόμων δὲ γάμων οὐ τρακταΐζεται ἀπαίτησις[2].

Τίτλος γ΄. Περὶ δωρεῶν μνηστείας.

1. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούληται τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ μελλούσῃ αὐτῷ γαμεῖσθαι, εἰ μὲν δωρήσεται αὐτῇ πράγματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξεται αὐτὰ παρ᾽ αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν ὡς πρὸ τοῦ γάμου γινομένη, καὶ ἡ προῖξ συνίσταται ὡς ἐπιδόσεως προελθούσης. ἐὰν δὲ γράψῃ μόνον ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν αὐτῷ ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων πραγμάτων[3].

2. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους, ταῦτα μὴ γενομένων τῶν γάμων ἀναδίδοται αὐτῷ[4].

3. Γυνή τις μέλλουσα γαμεῖσθαι δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν προῖκα, μηδὲν μὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικὸς, καὶ διὰ τοῦτο ὁ ἀνὴρ ψιλῶς ἐπηγγείλατο ἢ καὶ ἐπερωτήθη λόγῳ μνήστρων δοθῆναι τῇ γυναικὶ ποσότητα φανερὰν τυχὸν διακοσίων ὑπερπύρων. ἐπὶ τούτοις συνέστη ὁ γάμος, καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελφῷ κληρονόμῳ. ἡ γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κλη-

[1] Basil. XXVIII, 2, 5. [2] Basil. XXVIII, 3, 5. [3] Proch. III, 1.
[4] Proch. III, 2.

ρονόμου τοῦ ἀνδρὸς ἀπαιτοῦσα αὐτὸν τὰ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. ἀντιγράφει τοίνυν ἡ διάταξις οὕτω πρὸς τὸν ἀδελφόν· τὴν γὰρ ἐπαγγελίαν ἀπὸ τοῦ ποτε σοῦ ἀδελφοῦ μνήστρων ἕνεκα γενομένην ἢ καὶ εἰς ἐπερώτησιν κατενεχθεῖσαν ἐπιζητεῖ ἡ γυνή, διὰ τοῦτο οὐκ ὀφείλει παρασχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν[1].

4. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν, εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν· εἰ δὲ καὶ συνεφώνησε, μὴ ὑπὲρ τὴν κ΄ μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν[2].

5. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται[3].

6[4]. Οἱ δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα πράγματα παρ᾿ αὐτοῦ ἀποσπᾶν[5].

7. Ἡ πενθερὰ δύναται δωρήσασθαι τῷ ἰδίῳ γαμβρῷ ἢ τῷ μνηστῆρι τῆς ἰδίας θυγατρός. κἂν διαλυθῇ ὁ γάμος, οὐκ ἀνατρέπεται ἡ δωρεά[6].

8. Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ ἐφ᾿ ᾧ ὅτε προβῇ ὁ γάμος τότε δύνασθαι αὐτῶν γενέσθαι δέσποιναν, ἄχρηστός ἐστιν ἡ δωρεά. συναπτομένου γὰρ τοῦ γάμου ὁ ἀνὴρ γίνεσθαι δεσπότης τῶν πραγμάτων ὀφείλει τῆς γυναικὸς διαφερόντων[7].

9. Ἐάν τις γυναῖκα ἔχων καὶ ἐπὶ ἀπάτῃ μνηστεύηται ἄλλην καὶ δωρήσηται μὴ παρακολουθοῦντος τοῦ γάμου, οὐ δύναται ταῦτα ἐπαναλαμβάνειν[8].

10. Ἐάν τις πρὸ γάμου δωρεὰν διδοὺς συνεφώνησεν, ἵνα ἐὰν παρὰ γνώμην αὐτοῦ λυθῇ ὁ γάμος, ἀποδοθῶσιν αὐτῷ ἅπερ ἔμελλε δωρεῖσθαι, δύναται θανάτῳ αὐτοῦ ὁ κληρονόμος αὐτοῦ καὶ μὴ γενομένων τῶν γάμων ἀναλαβεῖν τὴν δωρεάν[9].

11. Ἡ παρὰ τοῦ μνηστῆρος γενομένη δωρεὰ οὐκ ἔῤῥωται προφάσει ὡς παρὰ πολεμίων αὐτὸν αναιρεθῆναι[10].

---

[1] Proch. III, 3. [2] Proch. III, 4. [3] Proch. III, 6. [4] Paris. 1351 A paragraphos 6 et 7 inter §. 10 et §. 11 collocatas habet. Pariss. autem 1343. 1356 et 1368 cum Lips. faciunt. [5] Proch. III, 7. [6] Basil. XXVIII, 3, 12. [7] Lips. διαφερούσης. — Epit. XXI, 6. [8] Epit. XXI, 7. [9] Epit. XXI, 8. [10] Epit. XXI, 9.

12. Ὁ μνηστὴρ καλῶς δωρεῖται τῇ ἰδίᾳ μνηστῇ πρὸ γάμου δωρεάν. εἴρηται δὲ πρὸ γάμου δωρεὰ διὰ τὸ πρὸ τῆς συστάσεως τοῦ συνοικεσίου γίνεσθαι αὐτήν. καθόλου γὰρ πᾶσα δωρεὰ γινομένη συνεστῶτος τοῦ γάμου μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται[1].

13. Ἐπεὶ δὲ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ τῇ γαμετῇ, ἐζητεῖτο, ἆρα ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν. λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν ποῦ τῆς γυναικὸς ῥύσης ἡ δωρεὰ γέγονεν, ἵνα εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι· εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετήν[2].

14. . . . . . εἴτε δι᾿ εὐλογίας εἴτε διὰ στεφανώματος ἢ διὰ συμβολαίου. τὰ δὲ παρὰ ταῦτα γενόμενα ὡς μηδὲ γεγονότα λογίζεσθαι[3].

15. Ὁ ἥττων τῇ ἰδίᾳ μνηστῇ παρουσίᾳ τοῦ κουράτορος καλῶς δωρεῖται καὶ οὐκ ἀνατρέπει δι᾿ ἀποκαταστάσεως[4].

16. Ἔτι γὰρ μνηστὴ λέγεται. μετὰ δὲ τὴν ἥβην, τουτέστι τὸ πέρας τοῦ ιβ′ ἐνιαυτοῦ, τότε καὶ γαμετὴ καλεῖται καὶ προτελευτῶντος τοῦ ἀνδρὸς τὸ ὑπόβολον ἀπαιτεῖται, ὥσπερ καὶ ὁ ἀνὴρ τότε τὴν ὑποσχεθεῖσαν προῖκα[5].

17. Τὸ ὑπόβολον ἄλλη ἐστὶ δωρεὰ παρὰ τὰς περιεχομένας τῷ παρόντι τίτλῳ καὶ ἄλλην ἔχει τὴν φύσιν· τὸ γὰρ ὑπόβολον καὶ προγαμιαία δωρεὰ καλεῖται. αἱ δὲ τοῦ παρόντος τίτλου δωρεαὶ οὐχὶ καὶ ὑπόβολον λέγονται. καὶ ἐκεῖνο μὲν ἰσόμετρον τῇ προικὶ ὑποβάλλεται. αἱ δὲ παροῦσαι δωρεαὶ πρὸς τὴν γνώμην τοῦ δωρουμένου ποσοῦνται.

18. Ἰστέον ὅτι τὸ πρὸς μνηστὴν διδόμενον θεώρετρον καὶ δωρεὰν ὁ νόμος καλεῖ.

19. Ἄλλο ἐστὶ τὸ θεώρετρον τὸ καὶ πρὸς μνηστὴν διδόμενον, καὶ ἄλλο ἡ γινομένη δωρεὰ ἢ πρὸς τὴν νύμφην παρὰ τοῦ ἀνδρὸς καὶ τῶν γονέων αὐτῆς, ἢ πάλιν πρὸς τὸν ἄνδρα ὁμοίως, καὶ ἄλλο προγαμιαία δωρεά, ἥτις καὶ ἰδικὸν νόμιμον ἔχει. λέγεται γὰρ προγαμιαία δωρεὰ ἡ διὰ τὸν γάμον γενομένη, ἥτις καὶ ἀντὶ ὑποβόλου ἐν τοῖς γαμικοῖς συναλλάγμασι

---

[1] Epit. XXI, 18. [2] Proch. III, 5. [3] Epanag. XVI, 1. [4] Epit. XXI, 17. [5] Paris. 1351 A contra quam Lips. et reliqui Parisienses, paragraphos 16—19 post §. 22 collocat.

συνεφωνεῖτο παρὰ τοῦ ἀνδρός. τὴν σήμερον δὲ οὐκ ἐνεργεῖται τοῦτο. λαμβάνει δὲ ἡ γυνὴ μετὰ τὴν ἱκάνωσιν τῆς προικὸς ἐκ τῶν τοῦ ἀνδρὸς πραγμάτων τὸ τρίτον αὐτῆς, ὅπερ καταχρηστικῶς καὶ ἔντριτον καλεῖται.

20. Γυνή τις μέλλουσα γάμῳ προσομιλεῖν ἐλπίδι μεγάλης προικὸς ἐπήγγειλεν ὡς δῆθεν ἀπατῶσα τὸν ἄνδρα μεγάλης δωρεᾶς ἐπερώτησιν καὶ διὰ τοῦτο ἴσως καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς εἰ καὶ ἐπερωτήθη λόγῳ μνήστρων δοθῆναι τῇ γυναικὶ ποσότητα. οὐδὲν ὠφελεῖ αὐτὴν διὰ τὸ εὑρεθῆναι τὸν γάμον αὐτῆς ἀνυπόστατον ἐν τῇ τελευτῇ τοῦ ἀνδρὸς κατὰ τὸν κανόνα τὸν λέγοντα· ἡ μηδοτιοῦν δοῦσα μὴδοτιοῦν λαμβανέτω, καὶ λοιπὸν πρὸς τὸ ποσὸν τῆς προικὸς κανονίζεται ἡ δωρεά[1].

21. Εἰ γαμετῇ τις ἐχαρίσατο καὶ παρέδωκεν αὐτῇ τὰ δωρηθέντα, εἰ μὴ ἐπιμείνοι τῇ αὐτῇ βουλήσει μέχρι τέλους [τῆς] ζωῆς αὐτοῦ, ἐκ μεταμελείας ἀνατρέπεται ἡ δωρεά[2].

22. Ὁ δωρησάμενος τῇ μνηστῇ πρὸ τῆς μνηστείας τέλειος ὢν καὶ παραδοὺς τὴν σχολάζουσαν νομὴν οὐκέτι δύναται περιὼν ἐκποιεῖν ἢ τελευτῶν καταλιμπάνειν τινὶ τὸ πρᾶγμα[3].

Τίτλος δ'. Περὶ ὅρου καὶ διαθέσεως γάμου[4].

1. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης ζωῆς θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία[5].

2. Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν, ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις[6].

3. Δεῖ δὲ τὸν ἄνδρα καὶ τὴν γυναῖκα μὴ μόνον ὑπὸ τοὺς αὐτοὺς εἶναι νόμους, ἀλλὰ καὶ τῆς αὐτῆς εἶναι θρησκείας καὶ αἱρέσεως καὶ ἐπίσης σέβειν τὸ θεῖον. καὶ ὅτι οὐδὲ πρὸς τὸν οἱονδήποτε ἑτερόδοξον συνίσταται γάμος, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν[7].

4. Οὐ πᾶσα συνάφεια γάμον ποιεῖ πρὸς τὴν μὴ ἔχουσαν ἡλικίαν γάμου. ἀλλ' ἡ παρανόμως γαμηθεῖσα δύναται διαλύειν τὸν γάμον, καὶ γαμεῖ ἄλλῳ ὕστερον[8].

---

1 Epit. XXI, 15. 2 Basil. XXVIII, 3, 1. 3 Basil. XXVIII, 3, 8. — Caeterum Paris. 1351 A in fine hujus tituli paragraphum addit, quam Lips. tit. II §. 24 adjecerat. 4 In Paris. 1351 A paragraphi 61—63 hujus tituli omissae sunt, reliquarum autem ordo plane diversus est. Cum Lipsiensi vero in universum consentiunt reliqui Parisienses. 5 Proch. IV, 1. 6 Proch. eod. 17. 7 Epit. XXIII, 1. 8 Epit. ib. 13.

5. Ὅτι ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ ιγ′ χρόνου δίδωσι τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχόμενος τῇ φθαρείσῃ κόρῃ[1].

6. Οὐ γίνεται ὁ γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους[2].

7. Οὐ δύναται ὁ ὑπεξούσιος ἢ ἡ ὑπεξουσία νομίμως γαμεῖν ἄνευ γνώμης τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους[3].

8. Ὁ δίχα τινὸς εὐλόγου αἰτίας τοὺς ὑπεξουσίους αὐτοῦ παῖδας κωλύων, τοὺς μὲν υἱοὺς λαμβάνειν γαμετὰς, τὰς δὲ θυγατέρας ἀνδράσι συνάπτεσθαι, ἢ καὶ μὴ βουλόμενος προῖκα διδόναι, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν[4].

9. Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου ἢ δι᾽ ἐπιστολῆς γαμεῖν, εἰς τὸν οἶκον αὐτοῦ τῆς γυναικὸς ἀνιούσης. εἰ δὲ ἡ γυνὴ ἀπολιμπάνεται, οὐ δύναται τοῦτο γίνεσθαι. δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα. καὶ ἐὰν ἀποθάνῃ πρὶν ἢ ἐπανέλθοι, θρηνεῖται παρὰ τῆς γυναικὸς, καὶ συμβαίνει παρθένον ἔχειν προῖκα καὶ περὶ προικὸς ἀγωγήν[5].

10. Ἡ ἥττων τῶν ιβ′ ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ τὰ ιβ′ ἔτη πληρώσει[6].

11. Ἐὰν ὁ πάππος μαίνηται, ὁ πατὴρ συναινεῖ. εἰ δὲ ὁ πατὴρ, ἀρκεῖ ὁ πάππος συναινῶν, εἰ φρονεῖ[7].

12. Εἴσω τριετίας τοῦ αἰχμαλώτου μὴ ὑποστρέφοντος ὁ υἱὸς αὐτοῦ δύναται γαμεῖν[8].

13. Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται, ποῦ διάγει, καὶ εἰ περίεστι, δύνανται οἱ ἑκατέρας φύσεως αὐτοῦ παῖδες νομίμως γαμεῖν· εἰ δὲ πρὸ τῆς τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσουσι, καὶ δῆλόν ἐστι ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, οὐκ ἔῤῥωται ὁ γάμος[9].

14. Ἡ τῶν γάμων χρησιμότης δημοσία ἐστίν. ἀλλ᾽ ἡ πρὸ τῆς αἰχμαλωσίας γεγαμημένη[10] μοι, εἰ καὶ ὑποστρέψω ἀπὸ τῶν πολεμίων, οὐκ αὐτομάτως γίνεταί μου γαμετὴ, ἀλλὰ καινῇ διαθέσει ἀνανεοῦται ὁ μεταξὺ ἡμῶν γάμος[11].

15. Ἐὰν αἰχμάλωτος γένηται ὁ πάτρων[12], οὐ δύναται ἡ ἀπελευθέρα ἑτέρῳ γαμεῖσθαι. διὰ γὰρ τὴν τιμὴν τοῦ πάτρω-

---

[1] Epit. XXIII, 13. [2] Proch. IV, 4. [3] Bals. ad Phot. XIII, 9. [4] Basil. XXVIII, 4, 11. [5] Proch. IV, 6. [6] Proch. eod. 5. [7] Proch. eod. 7. [8] Proch. eod. 8. [9] Proch. eod. 9. [10] Cod. Lips. γεγενημένη. [11] Epit. XXIII, 27. [12] Cod. Lips. πατήρ.

νος μένει ὁ γάμος αὐτῶν. εἰ δὲ ἄλλως ὁ πάτρων καταδουλωθῇ, λύεται ὁ γάμος. ἡνίκα δὲ ἑαυτὸν πράσῃ πρὸς τὸ μετασχεῖν μέρος τῆς τιμῆς αὐτοῦ. ἐπειδὴ κανών ἐστιν ὁ λέγων· δεπορτατίων γάμον οὐ λύει, τουτέστιν ἐξορία. δουλεία δὲ ἐπιγενομένη θανάτῳ ἔοικε καὶ γάμον λύει. λαμβάνει δὲ ἡ γυνὴ ὥσπερ ἀπὸ τελευτῆς τὸν κάσσον[1].

16. *Οἰκείᾳ γνώμῃ γαμεῖν ἡ ὀρφανὴ δύναται. ἡ γὰρ τῶν πραγμάτων διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτορος φέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς*[2].

17. *Ἡ τοῦ φάκτου ἄγνοια, οὐ μὴν ἡ τοῦ νόμου συγγινώσκεται, τουτέστιν ὁ ἐν ἀγνοίᾳ τοῦ μήπω τὸν χρόνον παραδραμεῖν τῇ τοιαύτῃ συναφθεὶς συγγινώσκεται, καὶ ὡς ἔργον καὶ οὐ νόμον ἀγνοήσας οὐκ ἀτιμοῦται*[3].

18. *Ὁ αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ*[4].

19. *Τὰ πένθη τῶν ἀνιόντων οὐκ ἐμποδίζει τοῖς γάμοις τῶν πενθούντων*[5].

20. *Τὸ πένθος τῶν γονέων καὶ τῶν παίδων οὐκ ἐμποδίζει τῷ γάμῳ*[6].

21. *Ἡ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν καὶ ἄκοντος τοῦ πατρὸς νομίμως συνάπτεται ἀνδρί*[7].

22. *Ἔχει*[8] *δὲ λʹ ἡμέρας πενθεῖν ἡ γυνὴ τοὺς ἰδίους γονεῖς κατὰ τὸν μωσαϊκὸν νόμον.*

23. *Οὐ δύναταί τις τὴν ὑπὸ ἄλλου ἐλευθερωθεῖσαν γαμεῖν ματριμόνισσαν τουτέστιν ἀπελεύθερον· δούλη γὰρ μένει. λέγει ὁ νόμος, τὴν ἀπελεύθερον τὴν γαμηθεῖσαν ἤδη τῷ πάτρωνι μὴ δύνασθαι παρὰ γνώμην τοῦ πάτρωνος ἑτέρῳ γαμεῖσθαι πάτρωνι. εἰ δὲ μνηστευθῇ, δύναται, ὡς βι. βʹ τί. ζʹ*[9].

24. *Καὶ παλλακὴ γενομένη τοῦ ἰδίου πάτρωνος ἡ ἀπελευθέρα καὶ ἄκοντος αὐτοῦ ἀποστᾶσα οὐ δύναται νομίμως ἑτέρῳ γαμηθῆναι, ὡς βι. κεʹ τί. ζʹ διγ. αʹ*[10].

25. *Ἡ διάθεσις γάμον οὐ ποιεῖ, οὔτε ἐκ τοῦ μὴ γενέσθαι συμβόλαια ἀνατρέπεται ὁ γάμος οὔτε ἐκ τοῦ γενέσθαι ἰσχύει ὁ μὴ ὢν νόμιμος γάμος*[11].

26. *Ὅσα διὰ τὸν γάμον δοθῶσι, τῶν γάμων μὴ γενομένων ἀντιστρέφονται τῷ δεδωκότι*[12].

---

[1] Epit. XXIII, 28. [2] Proch. IV, 11. [3] Cf. Basil. XXI, 2, 11, et schol. 2 in fine. [4] Proch. IV, 12. [5] Proch. eod. 13. [6] Basil. XXI, 2, 11. [7] Proch. IV, 15. [8] Paris. 1357 A: Ὀφείλει. — Epit. XXIII, 27. [9] Epit. eod. 29. [10] Epit. eod. 30. [11] Epit. eod. not. 17. [12] Attal. XIX, 5.

27. Ὁ ἀδίκως κωλύων γαμεῖν ἢ γαμεῖσθαι τοὺς ἰδίους ὑπεξουσίους, ἢ μὴ διδοὺς προῖκα, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν καὶ προικίζειν. κωλύειν δὲ δοκεῖ μὴ ζητῶν μνηστείαν[1].

28. Ἐὰν ἡ ἐπιτροπευθεῖσα παρά τινος λόγους λάβῃ τῆς διοικήσεως καὶ ὑπερβῇ τὸν κε´ ἐνιαυτὸν, δύναται αὐτὴν ὁ τοῦ ἐπιτροπεύσαντος υἱὸς ἀγαγέσθαι[2].

29. Ὁ γάμος καὶ χωρὶς προικῴων συμβολαίων συνίσταται, δηλονότι φυλαττομένης τῆς τοῦ νόμου παρατηρήσεως[3].

30. Ἐὰν ἡ ὀρφανὴ πληρώσῃ τὸν κε´ ἐνιαυτὸν καὶ ἕτερον ἕνα χρόνον καὶ δώσῃ τοὺς λόγους ὁ ἐπίτροπος, οὕτω δύναται ταύτην γαμεῖν[4]. καὶ εἰ ὁ πατὴρ τῆς κόρης τελευτῶν τοῦτο ᾔτησεν, ὥστε συναφθῆναι τὴν κόρην τῷ τοῦ ἐπιτρόπου παιδί, καὶ οὗτος ὁ γάμος ἔῤῥωται.

31. Ὅτε περὶ τοῦ γάμου τῆς ἀνήβου καὶ ὀρφανῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρίνειν[5].

32. Ἡ ἐλάττων τῶν κε´ ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω· εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. εἰ δὲ ἐναντιοῦνται ἑαυτοῖς, ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα, ἐὰν ἴσοι ὦσι γένει καὶ τρόποις οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται καὶ ὃν ἡ γυνὴ ἐπιλέγηται, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις[6].

33. Ὁ πατὴρ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι, οὐ μὴν ἐκ τῶν ὑποκτηθέντων παρὰ τῶν παίδων. ὅθεν εἰ πράγματα ἔχοι ὁ παῖς ἀπροσπόριστα, μένουσι σῷα, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν, ὡς ἐκ τούτων τὴν προῖκα ἢ τὴν πρὸ γάμου δωρεὰν ἐποιησάμην. ἐχρῆν γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως ταῦτα προειπεῖν[7].

34. Ὁ πατὴρ πρὸ τῶν γάμων τῆς ἐμαγκιπάτου τουτέστι τῆς αὐτεξουσίας προῖκα ἐπιδιδοὺς καλῶς συμφωνεῖ ἀπαιτηθῆναι ἣν ἐπερωτήθη προῖκα. ἐὰν δὲ μὴ συνεφώνησε τῷ γάμῳ αὐτῆς ἀναδίδοσθαι τὴν προῖκα, καὶ οὕτω καλῶς συμφωνεῖ, τουτέστιν ἀπαιτεῖ καὶ προβαινόντων καὶ μὴ προβαινόντων τῶν γάμων[8].

---

[1] Proch. IV, 10. [2] Epan. XVI, 18. [3] Proch. IV, 14. [4] Proch. ib. 16. Adde Epit. XXIII, 17 in fine. [5] Proch. ib. 18. [6] Proch. ib. 19. [7] Proch. ib. 20. [8] Epit. XXI, 5.

35. *Οἱ τοῦ ἄφρονος καὶ οἱ τοῦ μαινομένου παῖδες οἱασδήποτε φύσεως ὄντες δύνανται γάμοις ὁμιλεῖν, τῆς ὑπὲρ αὐτῶν προικὸς ἢ πρὸ γάμου δωρεᾶς κρίσει τοῦ ἐπάρχου τῆς πόλεως ἢ τοῦ κοιαίστορος ἢ τοῦ κατὰ τόπον ἄρχοντος ἢ τοῦ ἐπισκόπου παρὰ τοῦ ἰδίου κουράτορος διδομένης*[1].

36. *Τὰς εὐτελεῖς καὶ ὁ μεγάλης οἱασδήποτε ὢν ἀξίας μετὰ προικῴων γαμείτω*[2]. *ὁ δὲ μὴ ὢν ἀξιωματικὸς ἀπὸ διαθέσεως μόνης γαμείτω*[3].

37. *Ἐὰν ἐμαγκίπατος ὢν ὁ υἱὸς τουτέστιν αὐτεξούσιος παρὰ γνώμην τοῦ πατρὸς ἄσεμνον καὶ αἰσχρὰν ἀγάγηται γαμετὴν, ὥστε ὕβριν καὶ ἀκοσμίαν καὶ ἑαυτῷ καὶ πατρὶ*[4] *αὐτοῦ ἐκ τοῦ τοιούτου γάμου περιγίνεσθαι, γνήσιοι μὲν γίνονται τῷ πάππῳ οἱ ἐκ τοῦ τοιούτου ἔκγονοι, εὐλόγως δὲ ποιεῖ αὐτοὺς ἐξνερεδάτους τουτέστιν ἀποκλήρους. ὁ γὰρ περὶ μέμψεως δικαστὴς οὐ μόνον τῶν ἐκγόνων τὸ πρόσωπον ἐξετάζει, ἀλλὰ καὶ τὸ τοῦ πατρὸς αὐτῶν, ὅστις ἐλύπησε τὸν ἴδιον πατέρα οὕτως ἄσεμνον γαμετὴν ἀγαγόμενος*[5].

38. *Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας ἢ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδωκότων*[6].

39. *Ὁ αἰχμάλωτον ἀγοράσας καὶ ταύτῃ μιγεὶς ὡς γυναικὶ, ὡς προλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα, εἰς τὴν φυσικὴν εὐγένειαν αὐτὴν ἀνατρέχειν συγχωρεῖ, καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας νομίμους ἔχει*[7].

40. *Ὁ ἐλευθερώσας δούλην δύναται αὐτὴν ἀγαγέσθαι γνησίας μὴ ὑπούσης αὐτῷ γονῆς, καὶ οἱ τεχθέντες παῖδες νόμιμοί εἰσιν. ἀλλὰ καὶ γονῆς ὑπούσης, ἐὰν γένωνται προικῷα κατὰ τὴν νεαράν*[8].

41. *Ἐάν τις τὴν ἰδίαν ἐλευθερώσας δούλην γυναῖκα νόμιμον αὐτὴν προσλάβηται, οὐ δύναται αὐτὴ ῥεπουδίῳ καταλύσαι τὸν γάμον ἢ ἄκοντος αὐτοῦ ἑτέρῳ γαμεῖσθαι. ἡ γὰρ τοιαύτη συνάφεια πορνεία ἐστὶ, καὶ οὐ γάμος*[9].

42. *Ὁ ἔχων γαμετὴν οὐ δύναται παλλακὴν ἔχειν. εἰ τις δὲ πολλαῖς συμφθειρόμενος κατὰ ταὐτὸν γυναιξὶ παῖδας σχοίη, οὔτε γνησίους οὔτε νόθους ἕξει τούτους, οὔτε κληρονομεῖται παρ᾽ αὐτῶν*[10].

---

1 Epanag. XVI, 21. 2 Codd. *καὶ μεγάλας οἱασδηποτοῦν ἀξ.* — *γαμείτωσαν.* 3 Epit. XXIII, 10. 4 Cod. *καὶ αὐτῷ τῷ πατρί.* 5 Epit. eod. 9. 6 Proch. IV, 21. 7 Proch. V, 4. 8 Epanag. XVI, 20 et schol. c. 9 Athanas. X, 2. Cf. Nomoc. Pseudo-Joannis p. 653. 10 Athanas. XI, 4.

43. Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων. ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι σωφρονιζέσθω τιμωρούμενος, δηλονότι τοῦ ἱερέως, ὡς ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν[1].

44. Πρὸς τούτοις δὲ κἀκεῖνο νομοθετῆσαι συνείδομεν, ὥστε εἴ τις υἱὸν ἢ θυγατέρα ἔχων ἐξ ἐλευθέρας γυναικὸς, μεθ' ἧς γάμος συνίστασθαι δύναται, εἴποι ἐν συμβολαίῳ εἴτε ἀγοραίῳ εἴτε ἰδίᾳ χειρὶ συγγεγραμμένῳ, ἔχοντι ὑπογραφὰς τριῶν μαρτύρων ἀξιοπίστων, εἴτε ἐν διαθήκῃ, εἴτε ἐπὶ πράξεως ὑπομνημάτων, τοῦτον ἢ ταύτην υἱὸν αὐτοῦ εἶναι ἢ θυγατέρα, καὶ μὴ προσθῇ φυσικὸν ἢ φυσικὴν, τοὺς τοιούτους παῖδας γνησίους εἶναι κελεύομεν καὶ μηδεμίαν ἀπόδειξιν ἑτέραν παρ' αὐτῶν ζητεῖσθαι[2].

45. Ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιός ἐστιν[3].

46. Υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος μὴ παραιτείσθω γαμεῖν[4].

47. Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι ῥωμαῖοι, ἡνίκα τὰ περὶ τὸν γάμον τοῖς νόμοις διηγορευμένα φυλάξουσι[5].

48. Δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικὰς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸν ιδ' χρόνον, τὰς δὲ μείζους εἶναι τῶν ιβ' ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι οἱ πρὸς γάμον συνιόντες[6].

49. Ἐρώτησις. Ἐὰν μετὰ τὸν καλῶς συστάντα γάμον συμφθαρῇ τις μετὰ τῆς οἰκείας πενθερᾶς ἤ τινος ἄλλου προσώπου συγγενικοῦ τῆς γαμετῆς αὐτοῦ, λυθήσεται ὁ γάμος ἢ οὔ; Λύσις. Οὐχὶ, ἀλλ' ἐπιτιμηθήσονται κανονικῶς, μᾶλλον δὲ κολασθήσονται νομίμως οἱ τὴν αἱμομιξίαν ποιησάμενοι. φησὶ γὰρ ὁ νόμος ἐν βι. β' τί. γ' κεφ. πε' ταῦτα· τὰ ἐξ ἀρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται. εἰ δὲ οὐκ ἔφθασε γενέσθαι τελεία ἱερολογία, ἀλλὰ μόνη μνηστεία παρηκολούθησε, καὶ μετὰ ταῦτα συνεφθάρη ὁ γαμβρὸς τῇ πενθερᾷ ἢ ἑτέρῳ συγγενικῷ προσώπῳ τῆς μνηστῆς αὐτοῦ, ἐμποδισθήσεται ὁ γάμος διὰ τὸν κανόνα τὸν λέγοντα· [θέμα περιϊστὰν] εἰς τάξιν, ἐξ ἧς τὴν ἀρχὴν οὐκ ἠδύνατο συστῆναι,

1 Proch. IV, 27. 2 Attal. XIX, 12. 3 Proch. IV, 22. 4 Proch. ib. 23. 5 Proch. ib. 2. 6 Proch. ib. 3.

ἄκυρόν ἐστι, καὶ διὰ τὸ μὴ παραχωρηθῆναι ἐν εἰδήσει αἱμομιξίαν[1].

50. Τὰ ἐξ ἀρχῆς ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγενομένων ἰσχὺν λαβεῖν οὐ δύνανται[2].

51. Ουτος ὁ κανὼν διὰ πάντων οὐκ ἀληθεύει· ἐπὶ μὲν γὰρ τῆς μνηστῆς τῆς ἥττονος οὔσης τῶν ζ' χρόνων προστιθέμενος ὁ δωδέκατος ἐνιαυτὸς καὶ μὴ ὑπό τινος περικοπεὶς γάμον ἀπετέλεσε, καὶ ἐν τούτῳ ἁμαρτάνει ὁ κανών· ὅπου δὲ ἐξεφωνήθη, ἐκεῖσε καὶ κρατεῖ· οἷον ἐπὶ ἀνήβου τοῦ ὄντος μέχρι ιδ' ἐτῶν καὶ ὑπεξουσίου καὶ δούλου· τούτων γὰρ καὶ διαθήκην ἐκτιθεμένων, κἂν ὁ μὲν μετὰ ταῦτα ἡβήσῃ, ὁ δὲ αὐτεξούσιος γένηται, ὁ δὲ ἐλευθερωθῇ, οὐκ ἰσχύουσιν αἱ διαθῆκαι αὗται διὰ τὸ ἐξ ἀρχῆς ἀνυπόστατον. καὶ ὁ ἐλεύθερος διαπωλούμενος, κἂν πολὺς ἐν μέσῳ παραδράμῃ χρόνος, οὐ κατέχεται ἐν δουλείᾳ διὰ τὸ ἐξ ἀρχῆς ἀνυπόστατον.

52. Καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις γέγραπται νόμος, ὡς ἡ ὑπερβᾶσα τὸν κε' χρόνον τῆς ἡλικίας δύναται ἐπιῤῥίπτειν ἑαυτὴν ᾧτινι βούλεται, μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ ταύτης πατρός γράφειν ταύτην ἀπόκληρον. διὰ τοῦτο θεσπίζομεν, ἵνα, εἰ καὶ ὁ πατὴρ αὐτῆς περὶ τὸν γάμον ταύτης ἐῤῥᾳθύμησεν, μὴ ἐξεῖναι αὐτῇ ᾧτινι βούλεται ἑαυτὴν ἐπιῤῥίπτειν, ἀλλὰ μηνυέτω ἐν μὲν κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστορι, ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς αὐτῶν γονεῖς ταύτας ἐκγαμίζειν καὶ προικίζειν κατὰ τὴν τῆς περιουσίας αὐτῶν δύναμιν[3].

53. Ἐπεὶ δέ τινες εἶπον, ὅτι πορνεύσασα μὲν ἡ θυγάτηρ μετὰ τὸν κε' ἐνιαυτὸν οὐκ ἀποκληρωθήσεται, γαμηθεῖσα δὲ νομίμως παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς δύναται, λέγει, ὅτι ἐπεὶ ἰουστινιάνειος νεαρὰ, ἡ τὰς αἰτίας ἀπαριθμουμένη δι' ἃς δύνανται οἱ γονεῖς τοὺς παῖδας ἀποκληροῦν, διορίζεται ἀποκληροῦσθαι τὸν υἱὸν παρὰ τοῦ πατρὸς μετὰ μίμων ἢ κυνηγῶν συναναστρεφόμενον, ὀφείλομεν λέγειν καὶ τὴν πορνείαν καὶ τὸν γάμον ποτὲ μὲν συγγνωστέαν εἶναι ποτὲ δὲ ἀσύγγνωστον. εἰ μὲν γὰρ ἡ θυγάτηρ κατὰ νόμον γάμου συζευχθῇ, εἴτε πρὸ τῆς τελείας ἡλικίας αὐτῆς εἴτε μετὰ ταῦτα μετὰ ἀνδρὸς ἀνεπιψόγου, ὥστε μὴ τραχέως διὰ τοῦ γάμου ὑβρισθῆναι τὸν πατέρα, ὁ μὲν γάμος λυθήσεται ἐκ προσελεύσεως τοῦ πατρὸς ὡς ἀνυπόστατος, ἡ δὲ θυγάτηρ οὐκ ἀποκληρωθήσεται·

---

[1] Bals. ad Phot. XIII, 2. [2] Cf. Proch. XXV, 5 in fine. [3] Proch. IV, 24.

ὅπερ δὴ γενήσεται καὶ ἐὰν ὁμοίως πορνεύσῃ. εἰ δὲ τραχεῖαν ὕβριν ἐπαγάγῃ τῷ πατρί, εἴτε γαμουμένη εἴτε πορνεύσασα, ἀποκληρωθήσεται. τὸ αὐτὸ γενήσεται καὶ ἐπὶ υἱοῦ. τὰ δὲ τῆς πορνείας μετὰ διακρίσεως συζητηθήσεται· ἄλλη γάρ ἐστι ἡ πολυχρόνιος, καὶ ἑτέρα ἡ πρόσκαιρος[1].

54. Ἤδη μὲν οὖν τοῖς ἀρχαίοις γέγραπται νόμος καὶ πρόσγε παρὰ τοῦ εὐσεβεστάτου ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι τετάρτου γάμου παρεκτείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια· ἴσως καταστοχαζομένου, ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν τῷ ταχέως τὸ συνοικοῦν πρόσωπον αὐτοῖς ἀποβάλλεσθαι, ἢ καὶ νέοις ἔτι τοῦτο παθεῖν, καὶ οὐδὲ ἀνθίστασθαι πρὸς τὰς τῆς φύσεως ὁρμάς, ὥστε τούτοις συμβαίνειν τὸν σώφρονα μὲν γάμον ἀποτρέπεσθαι, φοιτᾷν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. ἐχρῆν δὲ καὶ ἡμᾶς ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις. ἀλλ' ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ πρὸς τέταρτον συνοικέσιον ἀφικέσθαι τινά, ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς παραπέμπει κανόσιν. ὥστε τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ τρίτου συνοικεσίου, ὁπόσα καὶ ἐπὶ τοῦ δευτέρου. ἔστω νῦν ἅπασι δῆλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες παῖδες γνήσιοι γνωρισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσεται, ἀπ' ἀλλήλων δηλονότι τῶν τοιούτων προσώπων διϊσταμένων[2].

55[3]. Ὁ δὲ τόμος τῆς ἑνώσεως ὁ γεγονὼς ἐπὶ κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ βασιλεοπάτορος ἐμπρέποντος ἀξιώματι, ἐν ἔτει ,ςυκη' καὶ ἀναγινωσκόμενος ἐπ' ἄμβωνος κατὰ τὸν ἰούλιον μῆνα τάδε περὶ τὸ τέλος φησί· καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει, ἀπόγε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἑξακισχιλιοστὸν τετρακοσιοστὸν εἰκοστὸν ὄγδοον, τέταρτον γάμον μηδενὶ ἐξεῖναι τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν

---

1 Bals. ad Phot. XIII, 9. 2 Proch. IV, 25. 3 Paris. 1368 hic in margine adscripta habet fragmenta duo: alterum incipit Ὁ ν' κανὼν τοῦ ἁγίου βασιλείου — alterum Ὁ δὲ θεόλογος γρηγόριος —.

εἴτις ἐπὶ τοιοῦτο ἐλθεῖν συνοικέσιον προθυμηθῇ, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένῃ τῷ τοιούτῳ συνοικεσίῳ. τοῦτο μὲν γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι. καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν. ἀλλ' οὕτω μὲν περὶ τοῦ τετάρτου γάμου. ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ καὶ τοῦ τῶν χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν. καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ [παρίδῃ] πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ ὅτε χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχον εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαῖνον λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸν, ὥσπερ αἶσχος οὐκ ἐν γωνίᾳ παρεῤῥιμμένον ἀλλ' ἐπὶ τῆς οἰκίας ἐξηπλωμένον οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. καὶ τῇ ἀνθρωπίνῃ συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος μήτε τῆς ὀφειλομένης χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας ἥττων γενόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ χριστοῦ ἐκκλησίᾳ εἶναι ἢ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἀλλ' ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν. ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην

ἄγεσθαι προῃρημένοις γυναῖκα. ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. λίαν γάρ ἐστιν ἄδικον, τῶν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλές τε καὶ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως. καὶ εἴ τις δὲ τριακονταετὴς ὢν καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους ἔσται καὶ τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ἀπὸ ἀκρασίας κινούμενος καὶ τοῦ δοῦλος εἶναι τῆς σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως· ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν καὶ τὸ ἐκ ταύτης ὄφελος. εἰ δὲ παῖδες μὴ παρείησαν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξαρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου. οὐ μὴν ἀλλ' οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμους καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς οὐ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι, (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις,) τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν· δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώνητον προϊσταμένου μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους. ἀλλὰ ταῦτα μέν, ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασι-

λευσάντων ἐπράχθησαν. νῦν δὲ τῇ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος εὐδοκίᾳ καὶ χάριτι καὶ ταῖς τῆς πανάγνου θεομήτορος καὶ τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείαις τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκα τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν ῥωμανοῦ καὶ κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο. ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς ἔργον καὶ ἀξιόλογον πεπληρωκότας[1].

56. Ἐπειδὴ δὲ καὶ παρὰ τοῖς παλαιοῖς ἀνειμένην εὕρομεν τὴν κοινωνίαν τῆς παλλακῆς πρὸς τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι ταύτην τὴν νομοθεσίαν, ἵνα μὴ καταχραίνηται ἡμῶν ἡ πολιτεία γάμοις οὐκ εὐπρεπέσιν. ὅθεν κελεύομεν ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν παλλακίδα ἐν τῷ ἰδίῳ κατέχειν οἴκῳ. μικρὸν γὰρ ἢ οὐδὲν διαφέρειν αὐτὸν ἀπὸ τῆς πορνείας νομίζομεν. ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω πρὸς αὐτὴν συνάλλαγμα κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. εἰ μέντοιγε ἀναξίαν αὐτῷ ταύτην κρίνειε γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς αὐτὴν κατὰ συνουσίαν ἐχέτω κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω καὶ λαμβανέτω ἣν ἂν ἑαυτῷ κρίνοι λυσιτελές. εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκταῖον καὶ ἡμῖν τοῦτο[2].

57. Ὥστε οὖν ἡ δίχα τοιαύτης παρατηρήσεως συναπτομένη τοιούτῳ ἀνδρὶ οὐ γνησία γυνὴ ἔσται, ἀλλὰ παλλακὴ, καὶ οἱ ἐξ αὐτῆς οὐ γνήσιοι παῖδες, ἀλλὰ νόθοι· καὶ ἀποδιωχθήσεται ὑπὸ τοῦ ἀνδρὸς, κατὰ μὲν τοὺς παλαιοὺς εἴγε βούλοιτο ἐκεῖνος, κατὰ δὲ τὸ νῦν καὶ εἰ μὴ βούλοιτο. καὶ παίδων μὲν γνησίων τῷ ἀνδρὶ ὄντων, οὐδὲν λήψεται αὕτη σὺν τοῖς αὐτῆς παισὶν ἐκ τῆς ἐκείνου ὑποστάσεως ἐξ ἀδιαθέτου· ἀπὸ διαθήκης δὲ, παῖδας μὲν ἔχουσα, μίαν οὐγκίαν λήψεται σὺν αὐτοῖς, αὐτὴ δὲ μόνη οὖσα ἡμιούγκιον. γνησίων δὲ παίδων οὐκ ὄντων τῷ ἀνδρὶ, ἐξ ἀδιαθέτου μὲν διούγκιον σὺν τοῖς παισὶ λήψεται, αὐτὴ δὲ μόνη οὖσα οὐδέν. ἀπὸ διαθήκης δὲ, πατέρων μὲν ὄντων τῷ ἀνδρὶ, αὐτὴ σὺν τοῖς παισὶν ἢ καὶ μόνη τὸ ὀκταούγκιον λήψεται, μὴ ὄντων δὲ ἀνιόντων, εἴγε βούλοιτο ἀνὴρ, καὶ τὸ δωδεκαούγκιον ἢ σὺν τοῖς παισὶν ἢ καὶ ἄπαις οὖσα λήψεται αὕτη μόνη. τοῦτα γάρ εἰσιν ἐπί τε παλλακῶν

---

[1] Bals. ad c. 4. S. Basilii. [2] Proch. IV, 26.

καὶ νόθων παίδων. εἰ μέντοι τὰ πάλαι προικῷα τῶν ἄρτι γαμικῶν στεφάνων καὶ εὐλογιῶν εἴτε κυριώτερα εἴτε ἀσθενέστερα πρὸς σύστασιν γνησίου γάμου, τοῦτο νομοθετικῆς ἐπικρίσεώς τε ὁμοῦ καὶ δυνάμεως ἀποφήνασθαι[1].

58. *Τριτογαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ γάμος τρίτος οὐκ ἔγνωσται. τὰ μὲν τοιαῦτα ὡς ῥυπάσματα τῆς ἐκκλησίας ὁρῶμεν, δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα. ὅθεν ὡς ἀκάθαρτον οὖσαν τὴν τριτογαμίαν ἐξωθοῦμεν τοὺς ταύτην ἀσπαζομένους ὡς ἀναξίους τῆς τοῦ χριστοῦ ἐκκλησίας*[2].

59. *Οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς ἢ ἐκγόνης ἢ προεκγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικὸν ἢ υἱὸν σκηνικοῦ*[3].

60. *Ὁ συγκλητικὸς καὶ πᾶς ἁπλῶς τίμιος ἄνθρωπος οὐδὲ διὰ βασιλικῆς κελεύσεως δύναται νομίμους ποιῆσαι οὓς ἔσχεν ἐξ ἀτίμων γυναικῶν ἢ εὐτελῶν.*

61. *Ἰστέον γὰρ καὶ εἰ τοῖς τοιούτοις παισὶ δώσει τινὰ οἱαδήποτε, διεκδικοῦσι αὐτοῦ οἱ νόμιμοι υἱοί· εἰ δὲ παῖδας νομίμους οὐκ ἔχει, φισκοῦται τὰ δοθέντα*[4].

62. *Ἐάν τις οἱανδήποτε πράττων ἀρχὴν πειραθείη γῆμαι κόρην ἑκοῦσαν ἢ ἀκόντων τῶν γονέων τὴν οἱανδήποτε, ι΄ λιτρῶν χρυσίου πρόστιμον ὑπὲρ αὐτῆς τῆς ἐγχειρήσεως διδότω*[5].

63. *Ὁ ἐν ἐπαρχίᾳ χειρίζων ὀφφίκιον οὐ δύναται γαμεῖν τὴν ἐν αὐτῇ γεννηθεῖσαν ἢ τὴν οἴκησιν ἔχουσαν ἐκεῖ· μνηστεύεσθαι δὲ οὐ κωλύεται. καὶ ἐὰν ἡ γυνὴ μετὰ τὴν ἀπόθεσιν τοῦ ὀφφικίου μὴ θελήσῃ γαμῆσαι, μόνους τοὺς ἀῤῥαβῶνας ἀποδίδωσι. τὴν δὲ προμνηστευθεῖσαν δύναται λαβεῖν*[6].

Τίτλος ε΄. Περὶ ἀθεμίτου γάμου.

1. *Σημείωσαι τοῦ ἀθεμίτου γάμου τοῦ παρανόμου καὶ τοῦ κατακρίτου. καὶ ἀνάγν. βι. κη΄ τί. ϛ΄ κεφ. α΄ διοριζόμενον, μὴ μόνον διασπᾶσθαι τὸν ἀθέμιτον γάμον ἤτοι τὸν μετὰ συγγενοῦς, καὶ τὸν παράνομον τὸν μετὰ τῆς ἐπιτροπευομένης, καὶ τὸν κατάκριτον δηλονότι τὸν μετὰ τῆς εἰς τὸν θεὸν ἀνατεθειμένης, ἀλλὰ καὶ δημεύεσθαι τοὺς συναλλάξαντας καὶ ἐξορίζεσθαι. εὐτελεῖς δ᾽ ὄντας καὶ μαστίζεσθαι.*

---

[1] Epanag. XVI sch. d. [2] S. Basilii c. 50. [3] Epit. XXIII, 10. [4] Cf. Cod. V, 27, 1. [5] Basil. XXVIII, 5, 39. Cf. Bals. ad Phot. XIII, 2. [6] Basil. XXVIII, 4, 20. Cf. Bals. ibid.

2. Ὁ ἀθέμιτος γάμος οὐ βεβαιοῦται, καὶ διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή[1].

3. Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἀθεμίτου γάμου δίδωσι συγγνώμην ἡ φύσις καὶ ἡ ἐπανόρθωσις τοῦ σφάλματος, καὶ μάλιστα εἰ μήπω τὶς αὐτῶν κατηγόρησεν[2].

4. Θεσπίζομεν, εἴ τις ἀθέμιτον καὶ ἐναντίον τῇ φύσει, ὃν ὁ νόμος ἀθέμιτόν τε καὶ παράνομον καὶ κατάκριτον καλεῖ, συναλλάξειε γάμον, εἴπερ οὐκ ἔχει παῖδας ἐκ προτέρων γνησίων τε καὶ ἀμέμπτων αὐτῷ γεννηθέντας, εὐθὺς μὲν αὐτῷ τὴν τῶν οἰκείων πραγμάτων ἔκπτωσιν ἐπικεῖσθαι, ἀλλὰ δὲ καὶ τῶν ὀνόματι προικὸς ἐπιδιδομένων αὐτῷ μηδενὸς ἀπολαύειν, ἀλλὰ πάντα τῷ ταμείῳ προσκυροῦσθαι. ἀνθότου γὰρ ἐξὸν γαμεῖν νενομισμένα παρανόμων ἐρᾷ, καὶ συγχεῖ μὲν γονὰς, ἀδικεῖ δὲ τὰ γένη, πράττει τε ἀσεβῆ καὶ ἀνόσια, καὶ τοιαῦτα δὲ ἐπιθυμεῖ, ὁποῖα πολλὰ καὶ τῶν ἀλόγων ἀποσείεται ζώων. καὶ ἔσται γε αὐτῷ ποινὴ μὴ δήμευσις μόνον, ἀλλὰ καὶ ζώνης ἀφαίρεσις καὶ ἐξορία, καὶ εἴγε εὐτελὴς εἴη, καὶ τοῦ σώματος αἰκισμὸς, ὅπως ἂν μάθῃ σωφρονεῖν καὶ εἴσω τῆς φύσεως μένειν, ἀλλὰ μὴ τρυφᾶν τε καὶ ἐρᾶν ὑπερόρια καὶ τῶν παραδεδομένων ἡμῖν ἐκ τῆς φύσεως καθαυθαδιάζεσθαι νόμων. καὶ τῆς γυναικὸς δὲ, εἰ τὸν νόμον ἐπισταμένη τούτου μὲν ἀμελήσει, ἀθεμίτοις δὲ ἑαυτὴν ἐπιδοίη γάμοις, ὑπὸ τὴν αὐτὴν γενομένης ποινήν. εἰ μέντοι τύχοιεν ἐκ προτέρων γάμων ἀμέμπτων παῖδες ὄντες αὐτῷ ἢ ἔγγονοι τυχὸν ἢ καὶ περαιτέρω, τὴν πατρῴαν αὖθις ἐκεῖνοι λήψονται διαδοχήν· αὐτεξούσιοι μὲν τῇ τοῦ πατρὸς τιμωρίᾳ γενόμενοι, τρέφοντες δὲ αὐτὸν καὶ τὰ ἄλλα τῶν ἀναγκαίων παρέχοντες· εἰ γὰρ καὶ τῶν νόμων ὑπερόπτης ἢ καὶ ἀσεβὴς, ἀλλὰ πατὴρ ὅμως ἐστίν[3].

5. Ἐπὶ τῶν ἀθεμίτων γάμων οὔτε προῖξ οὔτε τὰ ἐπιδοθέντα δοκεῖ, καὶ διὰ τοῦτο πᾶν ὅπερ ἐκ τῶν ἐπιδοθέντων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνὴρ ἀφαιρεῖται παρ᾽ αὐτοῦ, κἂν τὰ μάλιστα καρποὺς ἔτυχεν εἰληφώς[4].

6. Νόθος παῖς γενόμενος γνήσιος μόνου τοῦ πατρὸς αὐτοῦ γίνεται γνήσιος, οὐκέτι δὲ καὶ τῶν κατιόντων ἢ καὶ τῶν ἀνιόντων ἢ καὶ τῶν ἐκ πλαγίου συγγενῶν τοῦ πατρὸς, οὐδὲ κληρονομεῖται ἐξ αὐτῶν χωρὶς διαθήκης. καὶ σημ. ξένον νόμιμον. ὡς νεα. πθ´[5].

---

[1] Bas. LX, 37, 39. Bals. ad c. 26 syn. Trull. [2] Bas. ib. Bals. l. c. [3] Basil. XXVIII, 6, 1 th. 2. 3. [4] Basil. XXVIII, 4, 22. Bals. ad Phot. XIII, 2. [5] Codices νθ´. Est autem ex Theod. Nov. 89 §. 10.

7. Ὁ ἔλαττον ἐπὶ προφανῆ γάμον ἁμαρτάνων, ἐὰν ἀποστῇ τοῦ τοιούτου γάμου, συγγινώσκεται. μοιχείαν δὲ ἁμαρτάνων οὐ συγγινώσκεται[1].

8. Ἐάν τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λάβῃ καὶ παιδοποιήσῃ ἐξ αὐτῆς, εἶτα λύσας τὸ πρὸς αὐτὴν συνοικέσιον ἄλλην ἀγάγοιτο μετὰ προικῴων συμβολαίων καὶ ἐκ τῆς δευτέρας ὁμοίως παιδοποιήσῃ, μηδὲν γενέσθω πρόκριμα περὶ τὴν πατρικὴν κληρονομίαν τοῖς ἐκ τοῦ δευτέρου[2] γάμου παισὶν, ἀλλ᾽ ἐπίσης τοῖς ἐκ τῆς δευτέρας τῆς μετὰ προικῴων συναφθείσης εἰς τὸν τοῦ πατρὸς καλείσθωσαν κλῆρον. τὸ αὐτό ἐστιν, εἰ καὶ τὸ ἀνάπαλιν τῇ μὲν πρώτῃ μετὰ προικῴων συνήφθη, τῇ δευτέρᾳ δὲ ἐκ μόνης διαθέσεως[3].

9. Ὁ τὸν ἐξ ἐλευθέρας υἱὸν ἐν ἀγοραίῳ ἰδιοχείρῳ συμβολαίῳ ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων ἢ ἐν διαθήκῃ ἢ ἐπὶ πράξεως ὑπομνημάτων υἱὸν ἀποκαλέσας, μὴ προσθεὶς φυσικὸν, καὶ αὐτὸν ἅμα τοῖς ἄλλοις παισὶ, κἂν νόθοι εἶεν, γνήσιον καὶ τὸν γάμον νόμιμον ποιεῖ[4].

10. Ὁ ἐν τάξει γαμετῆς ἀγαγόμενος γυναῖκα μετὰ ὅρκου, δόσεως προικὸς μὴ παρακολουθησάσης, ἐὰν ἀλόγως αὐτὴν ἐξωθήσῃ, διδότω πρὸς αὐτὴν τὸ δ΄ τῆς ἰδίας περιουσίας[5].

11. Ὁ συνήθειαν ἔχων πρὸς ἐλευθέραν γυναῖκα, μὴ κεκωλυμένων αὐτῶν παρὰ τοῦ νόμου γαμεῖσθαι, ἐὰν σχῇ παῖδας ἐξ αὐτῆς, καὶ μετὰ ταῦτα ποιήσῃ προικῷον συμβόλαιον, οὐ μόνον οἱ μετὰ ταῦτα τικτόμενοι γνήσιοι νοοῦνται, ἀλλὰ καὶ οἱ πρὸ τούτου τεχθέντες[6].

Τίτλος ς΄. Περὶ ἀκριβείας γάμου.

1. Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους ἔχειν τὰς γυναῖκας. ὁμοίως καὶ οἱ ψάλται καὶ οἱ ἀναγνῶσται δύνανται νομίμως γαμεῖν, οἱ δὲ ὑποδιάκονοι καὶ διάκονοι καὶ οἱ πρεσβύτεροι καθάπαξ κεκώλυνται. ὅθεν εἰ παρὰ ταῦτα γάμῳ κοινωνήσουσιν, ἐκπίπτουσι τῆς ἱερωσύνης καὶ τῆς ἀξίας αὐτῆς γυμνοῦνται[7].

2. Ἡ κατὰ γνώμην τοῦ πατρὸς συναλλάξασα γάμῳ δύναται καὶ παρὰ γνώμην τοῦ πατρὸς ἐπιμένειν τῷ γάμῳ, καὶ οὐ δοκεῖ προσκροῦσαι εὔλογον αἰτίαν παρεχομένη[8].

---

[1] Epit. XXIV edit. p. 270. [2] Lege πρώτου. [3] Epit. l. l. [4] Epit. XXIV edit. p. 271. [5] Epit. l. l. [6] Cod. V, 27, 10 ex Epitome. [7] Proch. V, i. 2. [8] Proch. h. t. c. 3.

3. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα αὐτοῦ ὑπὲρ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς προικὸς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασα ἤγουν κατέχουσα, οὐ δύναται ταῦτα ἐκποιεῖν, ἀλλ᾽ ἐξ αὐτῶν ἀναγκάζεται τὸν ἄνδρα καὶ τοὺς παῖδας ἐκτρέφειν[1].

4. Ἰστέον ὅτι σιωπηρῶς ὑπόκεινται τῇ γυναικὶ τὰ ἀνδρῷα πράγματα ἀπὸ τοῦ καιροῦ τοῦ γάμου, καὶ ἐὰν συμβῇ ἐκποιηθῆναι τὰ γυναικεῖα πράγματα παρὰ τοῦ ἀνδρὸς, ἀναδίδονται αὐτῇ[2].

5. Εἴ τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβῃ καὶ ταύτης προτελευτήσῃ, εἰ μὲν ἄχρι τριῶν ἔχοι παῖδας ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει, οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τὴν τῶν ρ΄ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, τοσοῦτον ἐκ τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει, οὕτῳ δηλαδὴ ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν δεσποτείας δικαίωσιν ἔχειν αὐτὴν εἰς τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν περιῆλθον[3].

6. Εἰ δὲ λεγάτον αὐτῇ καταλειφθῇ ἐξ αὐτοῦ τοῦ ἀνδρὸς, ἀναπληρούσθω τὸ δ΄ μέρος, λογιζομένων αὐτῇ τῶν ἀπὸ τοῦ λεγάτου εἰς αὐτό. τὸ λεχθὲν κρατεῖ καὶ ἐπὶ τοῦ ἀνδρὸς ἕδνον μὴ ὁμολογήσαντος· καὶ αὐτὸς γὰρ ἀπορῶν λήψεται τὸ [δ΄] κατὰ τὴν νεαρὰν νγ΄[4].

7. Εἰ γὰρ εὐπορεῖ ὁ ἀνὴρ ἢ[5] γυνὴ οὐ λήψεται τὸ δ΄ τὸ εἰρημένον, ἀλλ᾽ ἐάν τις ἐξ αὐτῶν[6] τίποτε [τῷ] ἄλλῳ καταλείψῃ ἐν λεγάτῳ ἢ ἐνστάσει, τὸ ἐαθὲν μόνον λαμβάνουσι[7].

8. Περὶ τῆς ἀπροίκου γυναικὸς, εἴτε εὔπορος εἴτε ἄπορος εἴη, τελευτήσαντος τοῦ ἀνδρὸς θεσπίζομεν τοὺς ἐκ τῶν τοιούτων συνοικεσίων παῖδας τεχθέντας νομίμους εἶναι καὶ εἰς τὴν πατρῴαν καλεῖσθαι κληρονομίαν, τὴν δὲ γυναῖκα, εἰ μὲν ἄχρι τριῶν ἔχοι παῖδας ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνειν κατά τε χρῆσιν καὶ δεσποτείαν. εἰ δὲ πλείονες

[1] Proch. h. t. c. 5. [2] Proch. editionis meae p. 36 not. 9. [3] Proch. h. t. 6. [4] Theod. Nov. 53 §. 11. [5] Cod. ἡ. [6] Cod. αὐτοῦ. [7] Theod. l. l.

εἴησαν οἱ παῖδες, τοσοῦτον λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει. οὕτω δηλαδὴ ὥστε χρῆσιν μόνον ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δὲ δεσποτείαν ἐκείνοις φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ κατὰ δεσποτείας δικαίωσιν ἔχειν αὐτὴν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐλθεῖν διὰ τοῦ παρόντος ἐκελεύσαμεν νόμου. κληρονομεῖν δὲ καὶ τοὺς παῖδας ἀδιαθέτους τελευτῶντας. τὸν δὲ ἄπορον ἄνδρα ἐπὶ τῶν τοιούτων θεμάτων τὸ τέταρτον μέρος κατὰ τὸν πρότερον ἡμῶν νόμων ἐκ τῆς οὐσίας τῆς γυναικὸς λαμβάνειν πᾶσι τρόποις κωλύομεν. κληρονομεῖν δὲ τοῦτον τοὺς ἰδίους παῖδας, εἴτε πρὸς δεύτερον ἔλθοι συνοικέσιον εἴτε καὶ μή, ὁμοίως τοῖς εὐπόροις ἀνδράσι κελεύομεν. ὃ δὲ περὶ τῶν προειρημένων εἴρηται γυναικῶν κρατεῖν κελεύομεν, ἐπειδὰν μὴ δευτέροις ὁμιλήσωσι γάμοις. ἐὰν δέ τις τούτων δευτερογαμήσῃ, εἰ μὲν πρὸ τοῦ πενθίμου ἐνιαυτοῦ, μηδὲν ἔχειν τὸ σύνολον ἐκ τῆς τοῦ ἀνδρὸς ὑποστάσεως, καὶ εἰ συμβῇ παῖδας ἔχειν ἐξ αὐτοῦ, μηδὲ τούτους κληρονομεῖν ὁρίζομεν, πλὴν εἰ μὴ φιλανθρωπότερον καὶ αὐτοὶ διατεθέντες καταλιπεῖν τι τῆς ἰδίας ὑποστάσεως αὐτῇ βουληθῶσιν. εἰ δὲ μετὰ τὸν πένθιμον χρόνον πρὸς δεύτερον ἔλθοι γάμον, παίδων μὲν μὴ ὑπόντων, ὅπερ καὶ αὐτῇ ἐδωρήθη τέταρτον, τούτου τῆς κυριότητος μὴ ἐξίστασθαι· προσόντων δὲ παίδων, τὸ μὲν ἥμισυ μέρος τῆς ὡρισμένης αὐτῇ μοίρας τοῖς παισὶ παραπεμφθήσεται, τοῦ δὲ λοιποῦ ἡμίσεος μέρους αὐτὴ τὴν δεσποτείαν ἕξει· καί τινος τῶν παίδων τελευτῶντος, τὴν ἐκείνου ὑπόστασιν τοῖς λοιποῖς παισὶ συμμερισθήσεται· μὴ καταλιπομένου δὲ τοῦ συμμεριζομένου αὐτὴ τὸ ὁλόκληρον κληρονομεῖ[1].

9. Ὁ πένθιμος χρόνος συναπτός ἐστι καὶ τρέχει τοῖς ἀγνοοῦσιν. ὅθεν ἡ μετὰ τὴν αὐτοῦ συμπλήρωσιν ἐγνωκυῖα τὸν θάνατον τοῦ ἀνδρὸς, ἐν αὐτῇ τῇ ἡμέρᾳ καὶ λαμβάνει καὶ ἀποτίθεται τὰ πένθιμα[2].

---

[1] Epanag. XIX, 9 cum additamento ex Proch. h. t. 6. [2] Basil. XXI, 2, 8.

Τίτλος ϛ΄. Περὶ προγαμιαίας δωρεᾶς.

1. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. οἱ μέντοι πρὸ τοῦ γάμου ληφθέντες καρποὶ τῆς προικὸς γίνονται, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη[1].

2. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προῖξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή[2].

3. Τῆς δευτερογαμούσης γυναικὸς τὴν δωρεὰν ἤτοι τὰ γαμικὰ κέρδη οἱ παῖδες λαμβάνουσι κατὰ δεσποτείαν, μὴ δυναμένης αὐτῆς τινα τῶν παίδων προτιμᾶν περὶ αὐτῶν ὧν ἔχει μόνην τὴν χρῆσιν[3]. εἰς δὲ τὰ γαμικὰ κέρδη τουτέστιν εἰς τὸ ἐξ ἀπαιδίας ὡς θέλει διανέμει τοῖς παισὶ τὸ κερδαῖνον αὐτὰ πρόσωπον[4].

4. Τῶν ἁρμοζόντων τοῖς παισὶ καθ᾽ οἱονδήποτε τρόπον προσκτήσεως ἡ μὲν χρῆσις τῷ πατρὶ αὐτῶν ἀνήκει καὶ δευτερογαμοῦντι, ὑπεξαιρουμένων τῶν καστρισίων πεκουλίων, ἡ δὲ δεσποτεία αὐτοῖς τοῖς παισὶ φυλάττεται[5].

5. Δευτερογαμῶν ὁ πατὴρ ἀπαιτεῖται ὑπὸ τοῦ ἰδίου παιδὸς λεγαταρίου ὄντος τὴν ἱκανοδοσίαν. εἰ γὰρ μὴ δευτερογαμήσει, οὐκ ἀπαιτεῖται τὴν τοιαύτην ἀσφάλειαν[6].

6. Οἱ γονεῖς ἐπὶ παισὶ δευτερογαμοῦντες χρῆσιν μόνην ἔχουσιν ὧν κερδαίνουσιν ἀπὸ τοῦ πρώτου γάμου, μήτε βεβαίως ἐκποιοῦντες αὐτά. εἰ γὰρ ἐκποιήσονταί τι αὐτῶν, ἐκδικεῖται, εἰ μὴ ἄρα λ΄ ἔτη παρῆλθε, ψηφιζομένου τοῦ χρόνου ἀφ᾽ οὗ γεγόνασιν αὐτεξούσιοι οἱ ὀφείλοντες ταῦτα διοικεῖν παῖδες ἢ ἔγγονοι[7].

7. Ἡ μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν καὶ μέρος κατὰ δεσποτείαν ἑνὸς παιδός· τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ οὐ διαζυγίῳ λυομένων γάμων. τοῖς δὲ παισὶν ἁρμόζει πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως κατὰ δεσποτείαν, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων κερδῶν ἔχουσι τρέφοντες τοὺς αὐτῶν παῖδας[8].

8. Ἡ μὴ δευτερογαμοῦσα γυνή, εἴτε παίδων ὑπόντων αὐτῇ

---

[1] Epanag. XVIII, 3. [2] Epan. XVIII, 4 sive Proch. VIII, 8. [3] Theod. Nov. 2 c. 1. [4] Theod. Nov. 22 c. 28 in fine. [5] Theod. Nov. 22 c. 36. [6] Theod. Nov. 22 c. 43. [7] Theod. Nov. 22 c. 27. [8] Proch. VI, 1.

εἴτε καὶ μή, τῆς πραγαμιαίας δωρεᾶς κατά τε χρῆσιν καὶ δεσποτείαν κυρία καθίσταται· οὐ μόνον δὲ ἀλλὰ καὶ παίδων μὲν μὴ ὑπόντων, τὸ ἐξ ἀπαιδίας μέρος ἤτοι τὸ τέταρτον τοῦ προικοϋποβόλου εἰς κέρδος αὐτῆς ἀναδέχεται· τοῦτο δὲ δηλονότι λήψεται οὐκ ἐξ αὐτοῦ τοῦ προικοϋποβόλου, ἀλλ᾽ ἐκ τῆς ὑπολοίπου πάσης ἀνδρῴας ὑποστάσεως· ὑπόντων μέντοι παίδων, μετὰ τὸ τὸν τελευταῖον παῖδα εἰς τὸν εἰκοστὸν καταντῆσαι χρόνον, τῶν δύο τὸ ἕτερον αἱρεῖσθαι· ἢ τὴν χρῆσιν ἔχειν πᾶσαν τῆς ἀνδρῴας ὑποστάσεως καὶ μόνον, ἤ, εἰ μὴ τοῦτο βούλοιτο, παιδὸς ἑνὸς μοῖραν κατὰ τελείαν δεσποτείαν εἰς οἰκεῖον ἀφαιρεῖσθαι κέρδος. δῆλον δὲ ὡς καί τινος τῶν παίδων τελευτῶντος ἢ καὶ πάντων ἀτέκνων ἢ ἀδιαθέτων, εἰς αὐτὴν ὁ τούτων κλῆρος ἀναδραμεῖται[1].

9. Τὸ προνόμιον, ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐπὶ τῇ ἀπαιτήσει τῆς προικός, εἰς κληρονομίαν αὐτῶν διαβαίνει, εἴπερ ἔχουσι παῖδας ἀπὸ τοῦ τοιούτου γάμου[2]. ἀλλ᾽ ἢ μόνον ἑνὸς παιδὸς μοῖραν[3].

10. Ἡ πρὸ τοῦ πενθίμου χρόνου εἰς δεύτερον ἑαυτὴν συνοικέσιον ἐπιῤῥίψασα, [ὡς] εἰς αὐτὰς [τὰς] γονὰς καὶ κοίτην ἀνδρῴαν ἐξυβρίσασα, τῆς προγάμου δωρεᾶς τῆς τε δεσποτείας καὶ τῆς χρήσεως ἀπελαθήσεται, καὶ πολλῷ μᾶλλον δηλονότι ὡς οὐδὲ ἐκ τῆς ἄλλης ἀνδρῴας ὑποστάσεως οἱονδήποτε λήψεται. οὐ μόνον δὲ ἀλλὰ καὶ παίδων αὐτῇ προσόντων, ἀτέκνων τούτων καὶ ἀδιαθέτων τελευτώντων, οὔτε καθ᾽ ὅλων τῶν κλήρων οὔτε κατὰ μέρος τινὰ τούτων κληρονομήσει. εἰ μέντοιγέ τινες τῶν παίδων φιλανθρωπότερον περὶ τὴν ἐξυβρίσασαν μητέρα[4] διατεθῆναι βουληθῶσι καὶ καταλιπεῖν τι θελήσωσιν αὐτῇ τῆς ἰδίας αὐτῶν ὑποστάσεως, κρεῖσσον μᾶλλον λογιζόμεθα τῇ τῶν τέκνων φιλανθρωπίᾳ τὴν μητέρα παραμυθεῖσθαι ἢ τοιαύτην εἰσάγειν ὠμότητα, ὥστε μηδὲ βουλομένων τῶν παίδων πρὸς ἔλεον τῆς μητρὸς ἀφορᾶν, ταύτην τινὸς τυγχάνειν φιλανθρωπίας[5].

11. Ἡ μετὰ τὸν πένθιμον χρόνον ἤγουν μετὰ τοὺς ιβ΄ μῆνας δευτερογαμοῦσα τῆς πρὸ γάμου δωρεᾶς κατὰ τὸ ἥμισυ μέρος κυρία καθίσταται, τοῦ ἑτέρου ἡμίσεος μέρους τοῖς ἐκ τοῦ προτέρου ἀνδρὸς αὐτῆς παισὶ φυλαττομένου. εἰ δὲ παῖ-

---

[1] Epan. XIX, 5. — In Paris. 1351 A subjicitur §. 11. Reliqui Parisienses cum nostro faciunt. [2] Cf. Basil. IX, 9, 8. [3] Haec ultima aliunde irrepserunt. [4] Cod. παῖδα. [5] Epanag. XIX, 6.

δες μὴ ὕπεισιν αὐτῇ, τῆς ὅλης προγαμιαίας δωρεᾶς κυρία ἔσται. ἐκ μέντοι τῆς ἄλλης ἀνδρῴας ὑποστάσεως ὄντων παίδων καὶ μὴ ὄντων οὐδὲν ἕτερον αὕτη παρακερδαίνει. τινὸς μέντοι τῶν παίδων τῶν ἐκ τοῦ προτέρου γάμου ἀτέκνου καὶ ἀδιαθέτου τελευτῶντος, τὴν τούτου ὑπόστασιν μετὰ τῶν ὑπολοίπων παίδων ἐξ ἴσου μερίζεται· εἰ δὲ μὴ εἴη τὶς ὁ ταύτην συμμεριζόμενος, ὁλοκλήρου τῆς ὑποστάσεως αὐτὴ κυρία λογισθήσεται[1].

12. Ὁ μὴ δευτερογαμῶν ἀνὴρ, μὴ προσόντων μὲν παίδων, τὸν ἐξ ἀπαιδίας κάσσον ἤτοι τὸ δ' τοῦ προικοϋποβόλου λαμβάνει· παίδων δὲ προσόντων, οὓς ἐκτρέφειν καὶ παιδαγωγεῖν ἀνάγκη, μετὰ τὸ φθάσαι τὸν τελευταῖον παῖδα εἰς τὸν κ' χρόνον ἄδειαν ἐχέτω, ἢ τὴν χρῆσιν, ἣν καὶ πρῶτον εἶχε, παρακατέχειν ἕως τέλους μὴ λαμβάνων ἀδελφικὴν μοῖραν εἰς οἰκεῖον κέρδος, ἢ λαμβάνειν μὲν ἀδελφικὴν μοῖραν, ἐξίστασθαι δὲ τῆς χρήσεως παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. κληρονομεῖ δὲ καὶ οὗτος ὁλοκλήρως τοὺς ἰδίους παῖδας ἀτέκνους ἢ ἀδιαθέτους τελευτῶντας. ὁ μέντοιγε δευτερογαμῶν ἐκτρέφειν μὲν καὶ αὐτὸς καὶ παιδαγωγεῖν φυσικῷ τε καὶ γραπτῷ καταναγκάζεται νόμῳ τὰ τέκνα, καὶ ἐν ᾧ καιρῷ ταῦτα παιδαγωγεῖ καὶ ἀνατρέφει, μετέχει κἀκεῖνος τῆς χρήσεως καὶ παρὰ τοῦτο πλέον οὐδέν· ἀναγραφῆς δηλονότι τῆς τῶν παίδων ἐξ ἀρχῆς ὑποστάσεως ἀκριβοῦς γεγενημένης, ἧς ἐκεῖνος ὀφείλει τὸν λόγον ὑπέχειν μετὰ τὸ φθάσαι τὸν ἔσχατον τῶν παίδων εἰς τὸν κ' χρόνον, ὅτε καὶ αὐτῆς παντελῶς ἐξίσταται τῆς χρήσεως, μηδὲν ἄλλο παρακερδαίνων ἐκ τῆς εἰς αὐτοὺς ἀπὸ μητρὸς ἢ ἀλλαχόθεν περιελθούσης ὑποστάσεως. τινὸς δὲ τῶν παίδων τελευτῶντος ἀτέκνου καὶ ἀδιαθέτου, καὶ ἡ ἐκείνου ὑπόστασις τοῖς ὑπολοίποις παισὶ μερισθήσεται· μηδενὸς δὲ τοῦ συμμεριζομένου καταλειπομένου, εἰς ὁλόκληρον αὐτὸς ταύτην ἀναδέξεται. καὶ ταῦτα μὲν παίδων προσόντων· παῖδας μέντοι μὴ ἔχων ὁ δευτερογαμῶν οὐδὲν ὅλως ἐκ τῆς ὑποστάσεως τῆς προτέρας γυναικὸς εἰς οἰκεῖον κέρδος λήψεται[2].

13. Ἐν τῇ πρὸς δευτέρους ἄνδρας ἢ γυναῖκας συμβολῇ καὶ ἐπερωτήσει οὐδὲν ἄλλο τὸν δευτερογαμοῦντα ἄνδρα ἢ τὴν δευτερογαμοῦσαν γυναῖκα ἐπιδιδόναι ἀνεχόμεθα τῷ δευτέρῳ ὑπεισιόντι προσώπῳ, εἰ μὴ ἑνὸς παιδὸς ἐξισουμένην μοῖραν, κἄντε πρὸς φαλκίδιον ἔλθωσιν οἱ παῖδες ἢ ὁ παῖς παρὰ τῶν γο-

---

[1] Epan. XIX, 7. [2] Epan. XIX, 8.

νέων καταδικαζόμενοι, κἄντε πρὸς πλείω ἢ καὶ ἐλάττονα τοῦ φαλκιδίου μοῖραν. εἰ δέ τι πλέον δοῦναι τολμήσαιεν, τοῦτο μὲν τὸ πλέον ἀφαιρεῖται τοῦ λαβόντος καὶ δίδοται τοῖς πρώτοις παισὶν ἐξ ἴσου αὐτὸ συμμεριζομένοις, καὶ ὁ τὸ ἔλαττον δὲ λαβὼν παῖς ἐκ πάσης ἀνάγκης τὸ τοῦ φαλκιδίου μέρος ἔχειν ὀφείλει. εἰ δὲ εἰς τὸ ἔλαττον παρὰ θατέρου τῶν τεκόντων ἀποστῇ, εἰς ἐκεῖνο μὲν συνελαθήσεται καὶ ὁ πατρωὸς ἢ ἡ μητρυιά, καὶ εἴ τι δὲ πλεῖον θατέρῳ τῶν προσώπων παρὰ θατέρου πεφιλοτίμηται, ἐξ αὐτοῦ μὲν πρῶτον ἀναπληρωθήσεται ὁ παῖς εἰς ὁλόκληρον τὸ φαλκίδιον, καὶ εἴ τι ἄλλο ἐκ τῆς φιλοτιμίας ὑπολιμπάνεται, μόνοι τοῦτο οἱ παῖδες οἱ ἐκ τοῦ πρώτου γάμου πάντες ἐξίσου διαμερίσονται[1].

14. Θεσπίζομεν τἄλλα πάντα πράγματα τὰ μετὰ τὴν πρὸ γάμου δωρεὰν εἰς τοὺς παῖδας ἀφιγμένα, εἰ μὲν ὁ παῖς ἄῤῥην ἢ θήλεια τυχὸν διάθοιτο κατὰ τὸν νόμον, χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους· ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων δικαίων, εἴγε ὁ παῖς αὐτὴν παραλίποι ἢ καὶ ἀλόγως ἀπόκληρον ποιήσαιτο, φυλαττομένων· εἰ δὲ ἀδιάθετος τελευτήσειε, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχοι παῖδας ἰδίους, ἐπ᾽ ἐκείνους ἀφικνουμένους, εἰ δ᾽ οὐκ ἔχοι μὲν παῖδας ἰδίους, εἴη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης καὶ τοῦτον ἰσχυρῶς ἐχούσης, εἴτε δευτέροις ὁμιλήσειε γάμοις εἴτε καὶ μή. τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον μηδὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς ἀπολαβέτω. ἀλλὰ τοῦτο τῶν παίδων μόνων ἔσται κέρδος, αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ᾽ ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβάλλον τὴν φύσιν[2].

15. Ἀνὴρ[3] τῆς ἰδίας γυναικὸς νοσησάσης ἀνάλωσε περὶ τὴν νόσον αὐτῆς· μετὰ τοῦτο δὲ τελευτησάσης αὐτῆς καὶ περὶ τὴν ταφὴν αὐτῆς ἐδαπάνησε· καὶ συνέβη τελευτησάσης τῆς γαμετῆς αὐτοῦ τὸν πατέρα αὐτῆς σῶαν ἐπαναλαβεῖν[4] τὴν προῖκα. ἦν γὰρ ἐκ τοῦ πατρὸς δοθεῖσα ἡ προίξ. προσῆλθε τοίνυν οὗτος ὁ ἀνὴρ βασιλεῖ ἀναλαβεῖν βουλόμενος ἅπερ ἀνάλωσε περὶ τὴν νόσον καὶ περὶ τὴν ταφὴν τῆς γαμετῆς αὐτοῦ. καὶ

[1] Epan. XIX, 10. [2] Proch. VI, 3. [3] Hanc §. hoc loco omittit Paris. 1351 A, sed habet tit. X. [3] Lips. συνεπαναλ.

ἀντέγραψεν ὁ βασιλεὺς οὕτως· ἅτινα εἰς τὴν γαμετήν σου νοσήσασαν ἀνάλωσας, οὐκ ἀπὸ τοῦ πενθεροῦ τοῦ σοῦ ἀπαιτεῖν, ἀλλὰ τῇ διαθέσει τῇ σῇ ὀφείλεις καταλογίσασθαι. εἰς τὴν ταφὴν δὲ αὐτῆς δηλαδὴ εἴ τι τούτου ἕνεκα ὡς μέλλων ἀναλαμβάνειν ἀνάλωσας, τὸν πατέρα πρὸς ὃν ἡ προὶξ ἐπανῆλθε, νόμιμον μεθοδεύεις[1].

16. Ὅτι[2] κἂν δευτέρῳ γάμῳ προσομιλήσῃ ὁ πατὴρ ἢ ἡ μήτηρ, κληρονομοῦσι τὸν υἱὸν αὐτῶν, δηλονότι εἰς τὴν ἰδίαν αὐτῶν[3] περιουσίαν τουτέστιν εἰς τὰ ἔξωθεν τῶν ἕδνων ἢ τῆς προικός. ἐκεῖθεν γὰρ οὐδὲν λήψονται, εἰ μὴ τὸ ἐξ ἀπαιδίας. τὰ δὲ εἰρημένα κρατεῖ, κἂν μεθὸ κληρονομήσωσι δευτερογαμήσωσιν[4].

17. Οἱ γονεῖς δύνανται ἐκποιεῖν τὰ κερδανθέντα, ἐὰν οἱ παῖδες αὐτῶν προετελεύτησαν, δηλονότι μὴ ἔχοντες ἄλλους κληρονόμους ἢ διαδόχους. εἰ γὰρ ἔχουσι, τὸ ἐξ ἀπαιδίας μόνον ἐκποιοῦσιν[5].

18. Ἑνὸς τῶν παίδων τελευτῶντος ἄπαιδος, ὁ μὲν περιὼν γονεὺς δευτερογαμήσας δηλονότι μόνον τὸ ἐξ ἀπαιδίας μέρος λαμβάνει, τὸ δὲ λοιπὸν εἰς τοὺς διαδόχους τοῦ ἀδελφοῦ[6] αὐτοῦ ἐλεύσεται[7].

19. Ἰστέον δέ, ἐὰν παραλειφθῇ ἡ μήτηρ ὑπὸ τοῦ αὐτῆς παιδὸς διαθεμένου ἢ ἀλόγως ἀπόκληρος γένηται, ἔχει κατὰ τῆς διαθήκης τὸ περὶ μέμψεως. δεῖ γὰρ νόμιμον μέρος αὐτῇ καταλειφθῆναι[8].

20. Ἡ μήτηρ δευτερογαμοῦσα λαμβάνει τὸ ὑπὸ τοῦ ἰδίου παιδὸς ἐαθὲν αὐτῇ ἐν διαθήκῃ[9].

21. Ἡ μήτηρ δευτερογαμοῦσα συγκληρονομεῖ τοῖς ἰδίοις τέκνοις, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσι, τῶν τελευτησάντων αὐτῆς μὲν τέκνων, ἐκείνων δὲ ἀδελφῶν, ἑνὸς ἀδελφοῦ μέρος λαμβάνουσα[10].

22. Ἰστέον δὲ τὸν περὶ ἀχαριστίας νόμον, ὅτι ἀχάριστος ἀδελφὸς νοεῖται ὁ ἐπιβουλεύων τῇ ζωῇ ἢ τῇ οὐσίᾳ τοῦ ἀδελφοῦ αὐτοῦ ἢ ἐγκληματικῶς αὐτὸν κατηγορῶν. τοῦ γὰρ τοιούτου ἀδελφοῦ τὸ μέρος συγκληρονομεῖ μετὰ τῶν ἀδελφῶν αὐτοῦ τῶν λοιπῶν ἡ μήτηρ[11].

---

[1] Basil. XVII, 2, 13. [2] Paris. 1351 A paragraphos 16—23 inferius collocat inter §. 36 et 37. Reliqui Parisienses cum nostro faciunt. [3] Lege αὐτοῦ. [4] Theod. Nov. 2 c. 5. [5] Theod. Nov. 22 c. 29. [6] Lege τοὺς ἀδελφούς. [7] Theod. Nov. 22 c. 30. [8] Theod. Nov. 2 c. 4. [9] Theod. Nov. 22 c. 46. [10] Theod. Nov. 22 c. 50. [11] Theod. Nov. 22 c 48.

23. Ἐάν τις ἀδιάθετος τελευτήσῃ ἐπὶ δευτερογαμησάσῃ μητρὶ καὶ ἀδελφοῖς, τῶν μὲν πατρῴων αὐτοῦ πραγμάτων ἤτοι τῶν ἕδνων ἡ μήτηρ ἐχέτω τὴν χρῆσιν· τελευτησάσης δὲ αὐτῆς καὶ ἡ χρῆσις τῶν τοιούτων πραγμάτων τοῖς περιλιμπανομένοις παισὶν ἁρμόζει· εἰ δὲ προτελευτήσουσιν οἱ παῖδες, λαμβάνει ἀπὸ τῶν ἕδνων τὸ ἐξ ἀπαιδίας καὶ κατὰ δεσποτείαν[1].

24. Ταῦτα τὰ πέντε κεφάλαια πρὸς τὴν νεαρὰν δοκεῖ διαφέρεσθαι, ἧς καὶ νῦν τὸ κράτος ἐν ταῖς πράξεσι πολιτεύεται. ἐκεῖ μὲν γὰρ ἡ γυνὴ ἀποβαλοῦσα τὸν ἄνδρα καὶ μὴ δευτερογαμοῦσα, παίδων μὲν οὐχ ὑπόντων, λαμβάνει τῆς προγάμου δωρεᾶς ὅσον συνεφώνησεν ἐξ ἀπαιδίας λαβεῖν, ἢ ὅλον αὐτῆς ἢ μέρος ὡρισμένον. ἀλλὰ κἂν εἴ τι αὐτῇ ὁ ἀνὴρ εἴτε ζῶν δωρήσηται εἴτε ἐν τῷ θανάτῳ καταλίποι, πάντα λαμβάνει κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν. παίδων δὲ ὄντων, ὅσα τε ἄλλα φιλοτιμήσεται αὐτὴν ὁ ἀνὴρ εἴτε ζῶν εἴτε τελευτῶν, τούτων ἔχειν τὴν ἐπικαρπίαν καὶ χρῆσιν. τῆς τε πρὸ γάμου δωρεᾶς ἔχει πᾶσαν τὴν χρῆσιν, μέχρι περίεστι, καὶ τελευτῶσα μέρος ἐξ αὐτῶν παιδὸς κατὰ δεσποτείαν παρακρατεῖ, οὐ μέντοι ἐκ τῆς ὅλης ὑποστάσεως μοῖραν παιδὸς ὥς τινες ἡγοῦνται λαμβάνει. καὶ τῶν ἰδίων δὲ παίδων ἡ τοιαύτη γυνὴ ἐπιτροπεύουσα ἐν ἴσῳ τοῖς ἄλλοις ἐπιτρόποις περὶ τὴν διοίκησιν τῶν ἁρμοζόντων αὐτοῖς πατρῴων πραγμάτων ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς λογοθετεῖται. τοὺς μέντοι περιόντας παῖδας μετὰ τῶν περιόντων ἀμφιθαλῶν ἀδελφῶν αὐτῶν καὶ ἀδελφοπαίδων κληρονομεῖ, τῶν δὲ ἑτεροθαλῶν προτιμᾶται. εἰ δὲ ἡ γυνὴ δευτέρους γάμους ἀσπάσεται, μὴ φυλάττουσα μὲν τὸν πένθιμον ἐνιαυτὸν, ὑπόκειται ταῖς ποιναῖς, ταῖς τε εἰρημέναις καὶ ἃς ἤδη νῦν προεγράψαμεν. φυλάττουσα δὲ τὸν τοιοῦτον ἐνιαυτὸν, παίδων μὲν οὐχ ὑπόντων, καθάπερ καὶ ἡ παῖδας οὐκ ἔχουσα μὴ δευτερογαμοῦσα, καὶ αὕτη ὅσα ἐκείνη λαμβάνει. παίδων δὲ ὄντων, μόνην ἔχει τὴν χρῆσιν τῶν τε γαμικῶν κερδῶν καὶ πάσης ἄλλης φιλοτιμίας εἰς αὐτὴν ὑπὸ τοῦ ἀνδρὸς γενομένης. ἡ γὰρ τούτων δεσποτεία φυλάττεται τοῖς παισὶ, καὶ τῶν ἰδίων παίδων οὐδὲ κἂν ἐν ἴσῳ τῶν ἄλλων συγγενῶν ἢ τῶν ἐξωτικῶν ἐπιτροπεύει. ἀλλ' εἰ καὶ πρὸ τῆς δευτερογαμίας τοῦ παιδὸς ἢ τῶν παίδων ἐπιτροπεύουσα ὄντων ἀνήβων πρὸ τοῦ ἐπίτροπον αὐτοῖς αἰτήσασθαι καὶ δοῦναι τοὺς

[1] Theod. Nov. 22 c. 47. — Parisienses 1343. 1356 et 1368 intercalant §: Εἰ παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς οἰκείας κτλ.

λόγους τῆς διοικήσεως καὶ καταβαλεῖν, ἐφ' ὅσον ἂν ὑπόχρεως εὑρεθῇ, πρὸς δεύτερον εἰ τολμήσοι γάμον ἐλθεῖν, ὑποβάλλεται μὲν τοῖς αὐτοῖς ἐπιτιμίοις, ἃ καὶ ἡ πρὸ τοῦ πενθίμου ἐνιαυτοῦ δευτερογαμοῦσα ὑπέχει· πλέον δὲ κατὰ τοῦτο ἐκείνη πάσχει, τὸ μηδὲ τοὺς ἑαυτῆς παῖδας ἀνήβους τελευτῶντας κληρονομεῖν, ἀλλὰ καὶ πρὸς τοῖς αὐτοῖς καὶ τὰ τοῦ γήμαντος αὐτὴν πράγματα ὑπεύθυνα τοῖς παισὶν ἐπὶ ἀποκαταστάσει τῆς πατρῴας αὐτῶν ὑποστάσεως γίνεται. τοῦτο δὲ τὸ τῆς ἐπιτροπῆς παραφυλάττουσα ἡ δευτερογαμοῦσα ἐπὶ ταῖς τῶν παίδων τῶν τελευτώντων διαδοχαῖς καὶ ταῖς τῶν πραγμάτων ἐκποιήσεσιν, ὧν τὴν χρῆσιν μόνην ἔχειν αὐτὴν εἴρηται, οὕτω πως ἐν ταῖς νεαραῖς κανονίζεται. τούτων γὰρ τῶν γαμικῶν κερδῶν, ὧν μόνην ἡ μήτηρ ἔχει τὴν χρῆσιν, τὴν δεσποτείαν δὲ οἱ εὐχάριστοι παῖδες λαμβάνουσιν, ἢ πάντα ἤ τινα συμβαίνει τὴν μητέρα, ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν, ἤ τισι τῶν παίδων ἐπιδοῦναι ἢ εἰς ἐξωτικοὺς ἐκποιήσασθαι, καὶ ἢ πρὸ πάντων τῶν παίδων ἤ τινων, παῖδας ἐχόντων ἢ οὐκ ἐχόντων, ἢ ἐπί τισιν ἢ πᾶσιν[1] ἀποθανεῖν. ἀλλ' εἰ μὲν προαπέλθοι πάντων ἡ μήτηρ, ἢ πάντες παῖδας ἔχοντες αὐτῆς προαπέλθοιεν, πάντων τῶν γαμικῶν κερδῶν ἡ δεσποτεία καὶ ἐκποιηθέντων τῷ μέρει τῶν παίδων ἐξ ἴσου ἁρμόζει. εἰ δέ τισι τῶν παίδων ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν ἐξ αὐτῶν τι ἡ μήτηρ ἐπέδωκεν, ἢ μετὰ μόνην τὴν δευτερογαμίαν πάντα ἤ τινα εἰς ἐξωτικοὺς ἐξεποιήσατο, καὶ προαπέλθοιεν πάντες οἱ παῖδες, μὴ ἔχοντες παῖδας ἢ διαθήκας, τότε ἡ μὲν μήτηρ τὸ ἐξ ἀπαιδίας αὐτῇ συμπεφωνημένον λαμβάνει κατὰ δεσποτείαν ἐκ τῶν γαμικῶν κερδῶν ἐξ ἀνάγκης, καὶ κατὰ τοῦτο μόνον ἔρρωται ἡ ἐκποίησις· τὸ δὲ λοιπὸν κληρονομοῦσιν οἱ ἐξ ἀδιαθέτου πρὸς κληρονομίαν τῶν παίδων εἰσαγόμενοι συγγενεῖς. τούτων δὲ μηδενὸς ὄντος, λαμβάνει καὶ τὸ λοιπὸν ἡ μήτηρ. εἰ δὲ παῖδας ἔχοντες οἱ παῖδες ἅπαντες προαπέλθοιεν, τοῖς παισὶν αὐτῶν προείρηται ἁρμόζειν πᾶσαν τῶν πραγμάτων ἐκείνων τὴν δεσποτείαν, κἂν ἐξεποιήθησαν, καὶ τῇ μητρὶ οὐδέν. εἰ δὲ οὐ πάντες, ἀλλά τινες τῶν παίδων προτελευτήσειαν τῆς μητρός, ὅσοι μὲν παῖδας ἔχουσι, καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου τὸ ἀνῆκον αὐτοῖς μέρος εἰς τὰ γαμικὰ κέρδη μόνοις τοῖς ἑαυτῶν παισὶ παραπέμπουσιν ἐξ ἀνάγκης, τάχα δὲ καὶ ἀδελφοῖς

---

[1] Cod. *παισὶν*.

ἐκ διαθήκης, ἄλλῳ δὲ οὐδενὶ παντελῶς. ὅσοι δὲ παῖδας οὐκ ἔχουσιν, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου δύνανται τὸ μέρος αὐτῶν ἄλλῳ τινὶ παραπέμπειν, ἀλλ᾿ ἢ μόνοις τοῖς ἀδελφοῖς. εἰς ἕνα δὲ τῶν παίδων περιερχομένου τοῦ παντὸς, οὐ δύναται ὡς οἶμαι οὐδὲ οὗτος ἄπαις προτελευτῶν τῆς μητρὸς καταλιπεῖν αὐτῇ ἐν διαθήκῃ πλέον τοῦ ἐξ ἀπαιδίας ἑτέρων συγγενῶν ὄντων, ὅπερ καὶ ἐξ ἀδιαθέτου ἐλάμβανεν· εἰ δὲ οὐδείς ἐστι συγγενὴς, τότε δύναται ἢ τὸ πᾶν ἢ ὅσον βούλεται. καὶ τὸ αὐτὸ γίνεται ἐκ διαθήκης, ὃ καὶ ἐξ ἀδιαθέτου. καὶ ταῦτα μὲν, εἰ μετὰ τὴν δευτερογαμίαν ἐκποιηθῇ τι, ἢ δοθείη τοῖς παισὶ, ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν. εἰ δὲ πρὸ τῆς δευτερογαμίας ἡ μήτηρ ἐκποιήσειεν εἰς ἄλλο τὶ πρόσωπον παρὰ τοὺς παῖδας, τότε καὶ ἐπὶ τούτου μὲν πάντα τὰ προειρημένα ἕπεται, πλὴν ἐν τούτῳ μόνῳ ἡ παραλλαγή, ὅτι πολλῶν ὄντων τῶν παίδων καὶ ἑνὸς ἤ τινων τῆς μητρὸς προαπερχομένων ὄντων ἀπαίδων, οὐ μεταβαίνουσι τὰ μέρη αὐτῶν ὁλόκληρα εἰς τοὺς περιόντας ἀδελφοὺς ἢ ἀδελφὸν, ἀλλὰ τὸ μὲν λογιζόμενον ἐξ ἀπαιδίας μένει παρὰ τῇ μητρὶ, καὶ κατὰ τοῦτο μόνον ἡ ἐκποίησις ἔῤῥωται, τὸ δὲ λοιπὸν ἔρχεται εἰς τοὺς ἀδελφοὺς ἐξ ἀνάγκης. ἐστὶ δὲ τὸ ἐξ ἀπαιδίας τοιοῦτον· οἷον εἰ συνεφωνήθη ἄπαιδος τελευτῶντος τοῦ ἀνδρὸς[1] κερδῆσαι τὴν γυναῖκα τὸ ἥμισυ τῆς πρὸ γάμου δωρεᾶς, εὑρεθῇ δὲ τὰ γαμικὰ κέρδη, ἅπερ προειρήκαμεν, συνάγοντα χιλίων νομισμάτων ποσότητα, καὶ εἰσὶ ε΄ παῖδες, ἑκάστῳ μὲν αὐτῶν ἁρμόζει διακόσια νομίσματα εἰς μέρος αὐτοῦ, ἐστὶ δὲ τὸ ἐξ ἀπαιδίας[2], πρὸς μὲν ἑνὸς παιδὸς μοῖραν, τὰ ρ΄. ἡμίση γὰρ τὰ ρ΄ τῶν σ΄· πρὸς δὲ τὸ ὅλον τὰ φ΄· ἡμίση γὰρ τῶν χιλίων τὰ φ΄· τὴν δὲ μητέρα ὑπεθέμεθα κερδῆσαι ὀφείλουσαν ἐξ ἀπαιδίας τὸ ἥμισυ. ὁμοίως δὲ, εἴπερ οὐχ ἥμισυ[3] συνεφωνήθη, ἀλλὰ τρίτον ἢ τέταρτον ἢ ἄλλο τὶ μέρος. λέγει δὲ ἡ διάταξις, ὅτι καὶ ἐπὶ ἀνδρῶν ἤτοι πατέρων τὰ αὐτὰ κρατεῖν ἀνάγκη εἰς τὰ περιερχόμενα εἰς αὐτοὺς γαμικὰ κέρδη ἀπό τε τῆς προικὸς καὶ τῶν ἄλλων τρόπων· ἀλλ᾿ ἐπὶ τοῦ ἐξ ἀπαιδίας μάλιστά φησιν ἐπὶ μητέρων συμβαίνειν ταῦτα. περὶ δὲ τῆς τῶν παίδων διαδοχῆς, τῶν χωρὶς παίδων καὶ διαθηκῶν τελευτώντων, τὸν μὲν δευτερογαμήσαντα ἄνδρα οὐδὲν εἰς τοῦτο ἐτιμωρήσατο, σιωπηρῶς αὐτὸν βουλόμενος ὁμοίως τῷ μὴ δευτερογαμοῦντι κληρονομεῖν τοὺς παῖδας. τὴν δὲ γυναῖκα τὴν

[1] Cod. πατρὸς. [2] Cod. ἐξάπαν. [3] Cod. οὐχὶ μή.

δευτερογαμήσασαν οὕτω διωρίσατο· ὅσα πράγματά εἰσι τῷ παιδὶ μετὰ τὰ εἰρημένα γαμικὰ κέρδη, συγκληρονομεῖν τοῖς ἀμφιθαλέσιν ἀδελφοῖς καὶ ἀδελφόπαισι τοιούτοις τὴν μητέρα. ἀλλὰ τῶν μὲν ἐκ τῆς πατρῴας ὑποστάσεως ὄντων μόνην αὐτὴν ἔχειν τὴν χρῆσιν· τῶν δ' ἐξ ἄλλων αἰτιῶν προσγενομένων τῷ παιδὶ τήν τε χρῆσιν ἔχειν καὶ τὴν δεσποτείαν. ἔχει δὲ καὶ ταῦτα πλέον τῆς γυναικὸς ὁ ἀνὴρ τὸ μήτε δευτερογαμῶν παραφυλάττειν πένθιμον ἐνιαυτόν· ἀλλὰ καὶ τῶν παίδων ἐπιτροπεύειν, καὶ τὴν χρῆσιν ἔχειν, μέχρι περίεστι, τῶν μητρῴων αὐτῶν πραγμάτων, οὐ μόνον εἰ καὶ δευτέρους, ἀλλὰ καὶ πλείονας γάμους ἕλοιτο. ἡ μέντοι γυνὴ τοῦτο πλέον ἔχει τοῦ ἀνδρὸς, ὅτι αὕτη μὲν, εἰ ἄπροικος εἴη καὶ ἄπορος, λαμβάνει μετὰ θάνατον τοῦ ἀνδρὸς ἐκ τῆς αὐτοῦ ὑποστάσεως τὸ τέταρτον, εἴτε ἄπαις ἐστὶν εἴτε μέχρι τριῶν ἔχει παῖδας ὁ ταύτης ἀνὴρ, ἀλλ' ἄχρι ἑκατὸν λιτρῶν μόνον· εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, παιδὸς ἑνὸς λαμβάνει μοῖραν. καὶ εἰ μὲν ἄπαις εἴη, ἔχει τὸ ληφθὲν καὶ κατὰ δεσποτείαν· παίδων δὲ ὄντων αὐτῇ καὶ μὴ δευτερογαμοῦσα μόνην ἔχει τὴν χρῆσιν, αὐτοῖς δὲ φυλάττει τὴν δεσποτείαν. ὁ δὲ ἀνὴρ ἐπὶ τῶν ἀπροίκων συνοικεσίων κἂν ἄπορος ᾖ, οὐδὲν προτελευτώσης τῆς γυναικὸς ἐκ τῆς αὐτῆς ὑποστάσεως λαμβάνει· ἐπὶ δὲ τῶν ἐμπροίκων τοσοῦτον ὁ ἀνὴρ ἐκ τῆς προικὸς, ὅσον ἐκείνη ἐκ τῆς πρὸ γάμου κερδαίνει δωρεᾶς, καὶ δίχα τῶν εἰρημένων παραλλαγῶν. ὁμοίως εἰς τὰ ἄλλα δευτερογαμῶν τε καὶ μὴ δευτερογαμῶν τρακταΐζεται. ἀλλὰ σήμερον οἱ μὲν ἄνδρες ἄλλα τινὰ τυχὸν ἀπὸ διαθήκης τῶν γυναικῶν λαμβάνουσιν ἢ καὶ ἐν ζωῇ δωρεᾶς, τῆς προικὸς δὲ ἐξ ἀπαιδίας οὐδὲν ἀποκερδαίνουσιν, οὔτε πᾶσαν οὔτε μέρος αὐτῆς· αἱ δὲ γυναῖκες σχεδὸν ἅπασαι καὶ δίχα συμφώνων καὶ μετὰ συμφώνων τὴν πᾶσαν προγαμιαίαν δωρεὰν τελευτῶντος τοῦ ἀνδρὸς ἐξ ἀπαιδίας κερδαίνουσι. καὶ ἡ μὲν κβ' νεαρὰ, ἡνίκα ταῦτα ἐνομοθέτει, τὴν γυναῖκα ἔλεγε μὴ δευτερογαμοῦσαν τήν τε προγαμιαίαν δωρεὰν καὶ πᾶν ἕτερον γαμικὸν κέρδος ὁλοκλήρως κερδαίνειν, ὁμοίως δὲ καὶ τὸν ἄνδρα. ὕστερον δὲ ἐν τῇ ϛη' μηδὲν κατὰ δεσποτείαν ἔχειν καὶ τοὺς [μὴ] δευτερογαμοῦντας γονεῖς ὁ αὐτὸς νομοθέτης εἰπὼν, πάλιν ἐν τῇ ρκζ' μέρος αὐτοῖς παιδὸς ἐκ τῶν γαμικῶν κερδῶν ἔχειν καὶ κατὰ δεσποτείαν ἔδωκε. καὶ μήποτε κατὰ τοῦτο ἐναλλαγέντος τοῦ νόμου οὐδὲ τὰ ἄλλα αὐτοῦ πάνυ ἰσχυρά· οἷον συσταλέντος τοῦ γαμικοῦ κέρδους καὶ ταῦτα εἰς τοὺς μὴ δευτερογαμοῦντας, μήποτε τὰ εἰρημένα ἐπὶ τῶν

δευτερογαμούντων ἐπί τε τῶν ἐκποιήσεων καὶ τοῦ ἐξ ἀπαιδίας καὶ αὐτὰ συσταλῆναι ὀφείλουσιν. ἀλλὰ καὶ τοῦτο σημειωτέον, μήποτε οὐκ ὀρθῶς ἔχει τὸ μηδέν τι κατὰ δεσποτείαν τὴν ἄπορον καὶ παῖδας ἔχουσαν γυναῖκα λαμβάνουσαν τὸ τέταρτον εἰς τὴν εἰρημένην μοῖραν κερδαίνειν. τὸ μὲν γὰρ δίδοσθαι τῇ ἀπόρῳ γυναικὶ τῆς ἀνδρῴας περιουσίας τὸ τέταρτον καταρχὰς ἡ νγ′ νεαρὰ εἰσηγήσατο, καὶ οὐδέν τι περὶ χρήσεως ἢ δεσποτείας εἶπεν, ἀλλ᾽ ὁμοίως κατὰ πάντα πραγματεύεσθαι τῇ ἑτέρᾳ διατάξει, ἥτις ταῖς ἀπροίκοις γυναιξὶν ἀλόγως ὑπὸ τῶν ἀνδρῶν πεμπομέναις τὸ τέταρτον τῆς ἐκείνων παρέχεται ὑποστάσεως· καὶ ἡ τοιαύτη διάταξις ἐν τῇ κβ′ κειμένη νεαρᾷ χρήσεως ἢ δεσποτείας κατ᾽ οὐδὲν μνημονεύει. ἀλλ᾽ οἶμαι μέχρι τῆς νγ′ νεαρᾶς ἔχειν καὶ κατὰ δεσποτείαν τὰ κέρδη τὰ γαμικὰ τοὺς γονεῖς τοὺς μὴ δευτερογαμοῦντας ὁ νόμος βουλόμενος, καὶ τὸ τῇ ἀπόρῳ γυναικὶ διδόμενον τέταρτον γαμικὸν κέρδος ἡγούμενος, καὶ τοῦτο κατὰ δεσποτείαν εἶναι αὐταῖς μὴ δευτερογαμούσαις ἐκ τοῦ σιωπῆσαι κατένευσεν. ἐπεὶ δὲ κατὰ τὴν ϛη′ νεαρὰν πάντα τὰ γαμικὰ κέρδη καὶ μὴ δευτερογαμοῦντας τοὺς γονεῖς, παῖδας μέντοι ἔχοντας, ἀπεστέρησεν, εἰκότως κἀν τῇ ριζ′ νεαρᾷ τῆς ἀπόρου γυναικὸς μνημονεύσας καὶ αὐτὴν οὐκ ἀεὶ τὸ τέταρτον λαμβάνειν εἶπεν, οὐδ᾽ ὅσον ἂν εἴη, ἀλλ᾽ ἄχρι μὲν λιτρῶν μόνον ἑκατόν· ὅτε δὲ πλείονες τριῶν οἱ παῖδες εἰσὶ, τότε μοῖραν παιδὸς ἀντ᾽ αὐτοῦ· εἰκότως καὶ τὸ τῆς δεσποτείας αὐτὴν ἀφείλετο δίκαιον, τῆς προηγουμένης ϛη′ διατάξεως οὐδέπω ἐναλλάξας τὴν δύναμιν. ἐν μέντοι τῇ ρκζ′ νεαρᾷ πάντας τοὺς μὴ δευτερογαμοῦντας γονεῖς τήν τε χρῆσιν τῶν γαμικῶν κερδῶν καὶ μέρος παιδὸς ἐξ αὐτῶν κατὰ δεσποτείαν ἔχειν νομοθετήσας, καὶ τὰς ἀπόρους οἶμαι τοῖς εἰρημένοις γονεῦσι συνέταξε καὶ συνέμιξε. καὶ ταῦτα μὲν περὶ ἀπόρου γυναικός. τὸν μέντοι ἄπορον ἄνδρα ἐν τῇ νγ′ νεαρᾷ καὶ αὐτὸν λαμβάνειν τὸ τέταρτον ἐκ τῆς γυναικείας ὑποστάσεως εἰπὼν, ἐν τῇ ριζ′ τοῦτο ἀνεῖλεν. τοσαῦτα ἐν ἐπιτομῇ περὶ τῶν γαμικῶν ἐκ [τῶν] νεαρῶν συνελέγη[1].

25. *Ἐκ τοῦ περὶ πρὸ γάμου ἢ διὰ γάμου δωρεᾶς.* — Τὰ ἐπὶ βλάβῃ τοῦ κοινοῦ ἀεὶ κωλύοντες καὶ τὴν ὠφέλειαν μᾶλλον καὶ συμφέρουσαν διοίκησιν ἐν πάσαις ἐπερωτήσεσιν εἰσάγοντες, θεσπίζομεν, κατὰ μηδεμίαν ὑπεροχὴν τὴν προγαμιαίαν δωρεὰν τῆς προικὸς ἔτι καταβάλλεσθαι. εἰ δέ τις ἐν

---

[1] Epanag. XIX schol. c.

ἴσῳ τῇ προικὶ τὴν προγαμιαίαν δωρεὰν συμφωνήσει καὶ καταβαλεῖται, εἴτε δὴ καὶ ἐν ὑπεροχῇ ταύτης μᾶλλον τὴν προῖκα ὁρίσεται, οὐκ ἀπαγορεύομεν· μόνον δὲ τὸ ὑπερέχειν τὴν προγαμιαίαν δωρεὰν τῆς προικὸς ἀναγκαίως ἀναιροῦμεν[1].

26. Ὁ μὲν κῶδιξ, καὶ ἡ κβ' νεαρὰ τούτῳ συνᾴδουσά, φησι, μὴ κωλύεσθαι μὲν τὰς ἀνίσους ἐπιδόσεις, κωλύεσθαι δὲ τὰ ἄνισα τῶν κερδῶν σύμφωνα· ἐπιδόσεως μὲν [ἀνίσου] οὔσης αὐτῆς τῆς ἐπαγγελλομένης καὶ καταβαλλομένης τῆς τε προικὸς καὶ προγαμιαίας δωρεᾶς ποσότητος, (αὕτη γὰρ κἂν ἄνισος ἦν, οὐκ ἐκωλύετο ἄν·) ἴσων[2] δὲ συμφώνων τῶν κερδῶν ὄντων, ἅπερ συνεφώνουν θἀτέρου τελευτῶντος τὸν περιόντα ἐξ ἀπαιδίας κερδαίνειν, τουτέστι τρίτον καὶ τρίτον, ἢ τέταρτον καὶ τέταρτον· ταῦτα γὰρ συμφωνεῖσθαι ἀνίσως ἐκωλύετο. εἰ δ' ἀνίσως συνεφωνήθη, τῷ ἐλάττονι ἐξισούμενον τὸ πλέον [καὶ] πρὸς αὐτὸ κατασπώμενον ἐκυροῦτο. ἡ μέντοι ϛζ' νεαρὰ οὐκ ἄλλως ἶσα εἶναι τὰ κέρδη, εἰ μὴ καὶ αὐταὶ αἱ ἐπιδόσεις ἐξ ἴσου καταβληθεῖεν, ἐπειδὴ προοιμιασαμένη ἐκέλευσεν ἴσην ἐκ παντὸς εἶναι τῆς προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς τὴν ποσότητα[3].

27. Τὸ ὑπόβολον συμφωνεῖται παρὰ τοῦ ἀνδρός. καὶ εἰ μὲν λάβοι τὴν προῖκα καὶ προτελευτήσει ὁ ἀνήρ, σὺν τῇ προικὶ δίδοται καὶ τὸ ὑπόβολον πρὸς τὴν γυναῖκα ὅσον ἂν συμφωνηθῇ. εἰ δὲ μὴ συμφωνηθῇ, συμψηφίζεται κατὰ τὸ ἥμισυ τῆς προικός. καὶ εἰ μὲν οὐκ ἔχει παῖδας, ἔχει ἡ γυνὴ πρὸς τῇ χρήσει καὶ τὴν δεσποτείαν· εἰ δ' ἔχει παῖδας, ἔχει μὲν τὴν χρῆσιν ἡ γυνή, τὴν δὲ δεσποτείαν μετὰ τὴν αὐτῆς τελευτὴν οἱ παῖδες. ἔχει δὲ καὶ αὐτὴ ἰσομοιρίαν ἑνὸς παιδὸς κατὰ δεσποτείαν ἐὰν μὴ δευτερογαμήσῃ ἀπὸ πάντων τῶν πραγμάτων τοῦ ἀνδρὸς καὶ τοῦ ὑποβόλου. εἰ δὲ προτελευτήσει τοῦ ἀνδρὸς ἡ γυνή, χώραν οὐκ ἔχει ἡ τοῦ ὑποβόλου ἀπαίτησις, ἀλλ' ἢ μόνον τὸ θεώρετρον, ὅ ἐστι κατὰ μίαν λίτραν τῆς προικὸς νομίσματα ἕξ, καὶ τὸν ἀῤῥαβῶνα αὐτῆς[4].

28. Ἡ παρθένος ἔχει τὸ θεώρετρον διὰ τὴν τιμὴν τῆς παρθενίας. ἡ δὲ χήρα ἡ δευτερογαμήσασα οὐκ ἔχει τοῦτο, εἰ μὴ τὸ συμφωνηθὲν ὑπόβολον καὶ τὸν ἀῤῥαβῶνα[5].

29. Ἡ δὲ Ἰουστινιάνειος νεαρὰ[6] ἐν μέρει τάδε δια-

[1] Epan. XIX, 1. [2] Cod. ἀνίσων. — Caeterum in Codice, quo Paris. 1368 tamquam prototypo usus est, integrum hic folium defuisse videtur. Scilicet in Paris. 1368 ex media §. 26 saltus fit ad mediam §. 32. [3] Epan. XIX schol. a. [4] Attal. XIX, 23. [5] Cf. Harmenop. IV, 13, 3. [6] Nov. 118 c. 3.

λαμβάνει[1]. „εἰ τοίνυν ὁ τελευτήσας μηδὲ ἀνιόντας μηδὲ κατιόντας καταλείψοι, πρῶτον πρὸς κληρονομίαν καλοῦμεν τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς τεχθέντας, ὁμοίως δὲ καὶ τοὺς ἀδελφόπαιδας, οὓς καὶ μετὰ τῶν πατέρων πρὸς τὴν κληρονομίαν ἐκαλέσαμεν.“ τὸ δὲ κληρονομεῖν τὸν ἄνδρα τῆς γυναικὸς καὶ τὴν γυναῖκα τοῦ ἀνδρὸς γνωμοδοτοῦμεν, ὅταν οὔτε γονεῖς οὔτε παῖδες τούτων ὦσιν οὔθ' ἕτεροι προσγενεῖς εἰς τὴν κληρονομίαν τοῦ τεθνεῶτος καλούμενοι, κατὰ τὸ ἐν τῷ αὐτῷ με΄ βι. τί. ε΄ κείμενον κεφ. β΄ διεξιὸν οὑτωσὶ ῥητῶς· „ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑπεισερχέσθωσαν, ὁσάκις ἀργεῖ πᾶσα ἀνιόντων καὶ κατιόντων ἢ συγγενῶν νόμιμος ἢ φυσικὴ διαδοχή, τοῦ δημοσίου ἀποκλειομένου.“ τῇ δὲ γυναικὶ οὐδέν ἐστιν ἕτερον ἐκ τῆς τοῦ ἀνδρὸς περιουσίας λαβεῖν, εἰ μὴ τὴν αὐτῆς προῖκα καὶ τὰ γαμικὰ κέρδη, θεώρετρόν φαμεν καὶ ὑπόβολον, εἴπερ τέως οὐκ ἔχει ταῦτα. πλὴν οὕτως ἱκανωθῆναι ταύτην αὐτὰ ψηφιζόμεθα ἀπομαχομένην τούτων στερίσκεσθαι, εἴπερ μετὰ τὴν τοῦ ἀνδρὸς ἀποβίωσιν ἔφθη ποιήσασα ἀπογραφὴν τῆς τε προικὸς αὐτῆς καὶ τῆς τοῦ ἀνδρὸς ἁπάσης περιουσίας, καὶ ταῦτα διὰ τοῦ περὶ τῆς ἀποκρυβῆς ὅρκου πιστώσεται, δηλαδὴ ἐπομοσαμένη μηδὲν ὑποκρύψαι. μὴ ἀπογραψαμένης γὰρ ἐντὸς τοῦ νενομισμένου καιροῦ οὔτε ζητεῖν ὀφείλει οὔτε ζητοῦσα λαβεῖν. νομοθετεῖ γὰρ ἡ τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου φιλοσόφου κυροῦ λέοντος νεαρὰ[2] ἐν μέρει ταῦτα ῥητῶς. „ὁρίζομεν ἀπό γε τοῦ παρόντος [ἀπογραφὰς] τῆς τε προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης τοῦ ἀνδρὸς περιουσίας ἐκ παντὸς τρόπου παρὰ ταῖς γυναιξὶ σπουδάζεσθαι, ὡς ἐάν ποτε γυνὴ πρὸς τοιαύτην φιλονεικίας ὑπόθεσιν καταστῇ, ὥστε καὶ πρὸς τὴν ἀνδρῴαν χωρεῖν ὕπαρξιν, καὶ ἀντὶ τῶν καταστάντων εἰς μείωσιν οἰκείων ἀξιοῖ, ἐκείνης τῆς ἀπογραφῆς ἤγουν ἀποδείξεως τῶν λόγων τὸ δίκαιον γνωρίζεσθαι τρόπον ἀντιποιουμένης τῶν τοῦ συζύγου πραγμάτων, εἴγε παρ' ἐκείνου φαίνοιτο τῶν ἐν τῇ ἀπογραφῇ κειμένων ἀνάλωσις γεγονυῖα· ἄνευ δὲ τῆς ἐκεῖθεν μαρτυρίας μήτε τὴν ζήτησιν χώραν εὑρίσκειν, μήτε ζητούσης φιλονείκως ἢ ἀκροάσεως τυγχάνειν ἢ τι τῶν ἐπιζητουμένων λαμβάνειν. τὸν δέ

---

[1] Paris. 1351. A rubricam intercalat hanc: *περὶ τῆς ἐννόμου ἀπογραφῆς τῶν συνήθως διδομένων τῇ γυναικί.* [2] Coll. II Nov. 110.

γε χρόνον τῆς ἀπογραφῆς εὑρίσκομεν εἴσω τριῶν μηνῶν γίνεσθαι, καὶ τὰ ἐπιτίμια προβαίνειν, οἷα δὴ καὶ περὶ τῶν ἐπιτρόπων τοῖς παλαιοῖς νενομοθέτηται.“

30. Ὅτι τὸ ἐξ ἀπαιδίας κάσσον τὸ δ΄ μέρος τοῦ προικοϋποβόλου ἐστίν. ὡς ὑποθέσει γὰρ λέγομεν, ἐστὶν ἡ προῖξ τῆς γυναικὸς λίτραι κ΄, τὸ δὲ ὑποσχεθὲν παρὰ τοῦ ἀνδρὸς τῇ γυναικὶ ὑπόβολον λίτραι ι΄· ἀμφότερα μιγνύμενα γίνονται λίτραι λ΄· τὸ δ΄ τῶν λ΄ ἐστὶ λίτραι ζ΄ ἥμισυ· ἀπαιτεῖται ὁ ἀνὴρ ἔξωθεν τοῦ ὑποβόλου καὶ αὐτὰς τὰς ζ΄ ἥμισυ λίτρας, ἐὰν τύχῃ μὴ ποιήσας παῖδας καὶ ἀποθάνῃ. οὐδὲν δὲ ἕτερον λαμβάνει ἡ γυνὴ ἐκ τῆς τοῦ ἀνδρὸς ὑποστάσεως, πλὴν τὴν προῖκα αὐτῆς σεσωσμένην, τὸ ὑποβολοθεώρετρον καὶ τὸ κάσσον.

31. Τὰ τῆς προγάμου δωρεᾶς καὶ τὰ τῆς προικὸς πράγματα οὔτε συναινούσης τῆς γυναικὸς ἐκποιεῖται, οὔτε ἐνεχυριάζεται, εἰ μὴ δευτέραν ποιήσεται συναίνεσιν αὐτοῖς ἡ γυνὴ μετὰ διετίαν· ἔνθα μέντοιγε δυνατόν ἐστι τὸ ἱκανὸν αὐτῇ γενέσθαι ἐξ ἑτέρων πραγμάτων. ὁ γὰρ παρὰ τὴν ῥηθεῖσαν παρατήρησιν ἀγοράζων τὰ τοιαῦτα πράγματα, τὴν μὲν γυναῖκα οὐ προκριματίζει, ἀλλ᾽ ὑπόκειται αὐτῇ[1].

32. Τὴν διὰ τοὺς γάμους δωρεὰν συνάλλαγμα ἰδικὸν εἶναί τε καὶ κρίνεσθαι, καὶ μὴ ταῖς ἄλλαις δωρεαῖς αὐτὴν ἀριθμεῖσθαι διὰ τοῦ παρόντος νόμου θεσπίζομεν, ἐπειδὴ ἀντ᾽ αὐτῆς ἰσότης τῆς προικὸς ἐπιδίδοται. εἴτε τοίνυν γένηται ἐπὶ πράξεως ὑπομνημάτων ἐμφανης, εἴτε καὶ μὴ, κελεύομεν αὐτὴν διὰ πάντων τὴν ἰδίαν ἔχειν ἰσχὺν, ὅσον πρὸς τὴν γυναῖκα, εἴτε παρ᾽ αὐτοῦ τοῦ ἀνδρὸς, εἴτε παρ᾽ ἑτέρου τινὸς γυναικὶ ἐπιδίδοται εἴτε καταγράφεται, ἤγουν εἰς τὸ τοῦ ἀνδρὸς πρόσωπον ἡ δωρεὰ γίνεται, ἐφ᾽ ᾧ τὰ αὐτὰ πράγματα εἰς γαμικὴν καταγράψασθαι δωρεάν[2].

33. Θεσπίζομεν, εἴ τις συγγράψειε προγαμιαίαν δωρεὰν ἤγουν τὴν διὰ γάμον, οὕτω γὰρ αὐτὴν χρῆναι μᾶλλον καλεῖσθαι νενομοθετήκαμεν, εἴτε αὐτὸς ὑπὲρ ἑαυτοῦ τοῦτο ποιῶν εἴτε καὶ ἑτέρου γράφοντος ἢ πατρὸς ἢ μητρὸς ἢ συγγενῶν ἢ καὶ ξένων τυχόν· εἴ τις τοίνυν τοιοῦτο ποιήσειε καὶ γράψειε δωρεὰν, ἐν ᾗ καί τι τῶν ἀκινήτων ἐστὶν, ἀπαγορεύομεν αὐτῷ ἢ ὑποτίθεσθαι τὸ λοιπὸν τὸ πρᾶγμα τὸ καταγεγραμμένον εἰς προγαμιαίαν δωρεὰν ἢ ἐκποιεῖν ὅλως. τὸ γὰρ ἅπαξ τοῖς δεσμοῖς τῆς προγαμιαίας δωρεᾶς ἔνοχον γενόμενον οὐκ ἂν εἴη

---

[1] Proch. IX, 12. [2] Nov. 119 c. 1. Basil. XXIX, 4, 1.

προσῆκον ἐκποιεῖσθαι. ἴστω οὖν ὁ τῶν εἰρημένων τὶ παραδεχόμενος, ὡς εἴτε ὑποθήκην ἔχει ἢ ἄλλῳ τρόπῳ νομίζει αὐτοῦ τὸ κῦρος λαβεῖν, οὐδὲν τούτων ὄφελος ἕξει παντελῶς, ἀλλ' ἐν ἴσῳ τοῖς ἀγράφοις τε καὶ ἀῤῥήτοις ἔσται τὰ ἐπὶ τούτων γεγραμμένα ἢ συμπεφωνημένα, καὶ φυλαττέσθω τῇ γυναικὶ τὸ κέρδος. εἰ δὲ καὶ ζῶντος τοῦ ἀνδρὸς τῇ πράσει τῆς προγαμιαίας δωρεᾶς ἡ γυνὴ συναινέσαι πεισθῇ, οὐκ ἔῤῥωται ἡ τοιαύτη πρᾶξις· δεῖ γάρ, καθάπερ καὶ ἐπὶ τῆς προικός, διετοῦς αὖθις παριόντος χρόνου ἑτέραν ὁμολογίαν γράφειν βεβαιοῦσαν τὴν συναίνεσιν, καὶ τότε κύριον εἶναι τὸ γενόμενον· πολλὰ γὰρ ἂν ἐκ πρώτης εὐθὺς ἀκοῆς ἁμαρτηθείη, τῆς γυναικὸς ἢ δέει τοῦ συνοικοῦντος ἢ ἀπάτῃ ῥαδίως ὑπαγομένης καὶ τῶν οἰκείων ἀμελούσης δικαίων, κατασκεπτομένῃ δὲ ἐν πλείονι χρόνῳ τὴν ὑπόθεσιν γένοιτο ἂν ἑαυτῆς ἀσφαλεστέρα. πλὴν οὐδὲ τοῦτο ἁπλῶς δίδομεν, ἀλλὰ τηνικαῦτα τὴν γυναῖκα διὰ τὴν δευτέραν συναίνεσιν τῆς ζητήσεως παύομεν, ἡνίκα ἐστὶν ἕτερα πράγματα, ἐξ ὧν δυνατὸν αὐτῇ τὸ ἱκανὸν γενέσθαι τοῦ περιεχομένου τῇ προγαμιαίᾳ δωρεᾷ πράγματος ἢ πραγμάτων ἀκινήτων ὑφ' ἑτέρου κατεχομένου διὰ τὸν τῆς ἐκποιήσεως ἢ ὑποθήκης τρόπον. ἐπείτοιγε εἰ μηδὲν ἕτερον περιλίποιτο, οὐδὲ οὕτω βλάβην ὑπομεῖναι τὴν γυναῖκα συγχωροῦμεν, ἀλλὰ κἂν ἢ δὶς ἢ πολλάκις συναινέσῃ, τὸ πρᾶγμα εἰς τὸν τῆς ἀναζητήσεως φερέσθω λόγον. ἐὰν δὲ τὸ ἱκανὸν τῆς προγαμιαίας δωρεᾶς, ὡς εἴρηται, ἐκ τῶν τοῦ ἀνδρὸς ἀκινήτων πραγμάτων ἢ κινητῶν μετὰ τὴν δευτέραν συναίνεσιν καὶ τὴν ἐκ τῆς διετίας ἀσφάλειαν εὑρεθῇ, ἐῤῥῶσθαι κελεύομεν τὴν ἐκποίησιν. ἀλλ' οὐδὲ αὐτῶν τῶν συμβαλλόντων καθάπαξ ἀμελοῦμεν, ἀλλ' ὥσπερ τὴν ἐπὶ τούτοις ἐνοχὴν ὅσον πρὸς τὰς γυναῖκας ἄῤῥητόν τε καὶ ἄγραφον εἶναι βουλόμεθα, οὕτω καὶ αὐτοὺς τοὺς ἄνδρας ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασιν ἐνέχεσθαι βουλόμεθα προφάσει τῆς ἐκποιήσεως ἢ τῆς ὑποθήκης, ταῖς μὲν γυναιξὶ φυλάττοντες τὸ ἐπ' αὐτοῖς τοῖς ἀκινήτοις πράγμασι τῆς προγαμιαίας δωρεᾶς δίκαιον ἀκαινοτόμητον, ἐκείνοις δὲ τὸ ἁρμόζον δίκαιον ἐκ τῶν συμβολαίων ὅσον ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασι. πάντων τῇ προικὶ δεδομένων ἤδη παρ' ἡμῶν προνομίων ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος, ὅταν ἡ γυνὴ κινοίη· τοῖς γὰρ ἄλλοις ἅπασι πλὴν τῆς γυναικὸς τὸ τοιοῦτον προνόμιον οὔτε ἐξ ἀρχῆς δεδώκαμεν οὔτε νῦν δίδομεν[1].

[1] Epanag. XIX, 3.

34. *Προστίθησι καὶ τοῦτο ἡ νεαρὰ, ὅτι δεδομένον ἐν τῷ κώδικι ἐν ἐξουσίᾳ τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶ, συνεστῶτος τοῦ γάμου ἀπὸ τῆς κοινῆς συναινέσεως αὔξειν ἐξ ἴσου καὶ ἐλαττοῦν τὰς προῖκας καὶ τὰς προγάμου δωρεὰς, [οἱ δευτερογαμοῦντες, παῖδας ἔχοντες ἐκ τῶν προτέρων γάμων, αὔξειν μὲν δύνανται τὰς ἑαυτῶν προῖκας καὶ προγάμου δωρεὰς,] οὐκέτι δὲ καὶ ἐλαττοῦν· ἀλλ' ὅσον ἂν ἐξ ἀρχῆς συνισταμένου τοῦ δευτέρου γάμου ἀλλήλοις φιλοτιμήσονται μὴ*[1] *διὰ μόνης ὑποσχέσεως, τοῦτο διαμένειν ἀκίνητον, καὶ ἢ τοσοῦτον καὶ τῶν πρώτων παίδων ἕκαστον λαμβάνειν, ἢ εἰ μὴ τοσοῦτον λάβωσιν, τὸ πλέον τοῦ αὐτῶν ἑκάστου ἢ τοῦ λαβόντος τὸ ἔλαττον δεδομένου ἐκ τούτου ἀφαιρεῖσθαι. πλὴν ταῦτα εἰπὼν ὁ νομοθέτης ἐπήγαγεν, ὅτι οὐ δεῖ μόνας τὰς ἐξ ἀρχῆς ἐπιδόσεις καὶ ὑποσχέσεις σκοπεῖν, ἀλλὰ μᾶλλον τὸ ἐν τῷ θανάτῳ ἀποτέλεσμα καὶ τὸ ποσὸν τῆς ὑποστάσεως. ὅπερ οὐ καθαρῶς νοῆσαι δυνάμεθα· δοκεῖ γὰρ ἀλλήλοις τὰ δύο νοήματα διαφέρεσθαι*[2].

35. *Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις καὶ πρὸς δευτέρους ἔλθοιεν, εἰ μὲν ἄπαιδες μένοιεν ἐκ τῶν προτέρων ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ μέτρα· ἀλλ' ἄνδρες μὲν ἀπελεύσονται πάντως πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον, ἢ γινώσκειν, ὡς, εἴ τι τοιοῦτον πράξαιεν καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινάς· ἄλλας μὲν, εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων, μείζους δὲ, εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὕπεστι γονὴ, τὸ τῆς ἀτιμίας εὐθὺς ἀκολουθήσει, καὶ ἔσται πάντως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη, καὶ οὐ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου*[3] *καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον περαιτέρω τῆς τρίτης [τῆς] οἰκείας περιουσίας ἀποδώσει μοίρας· οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐ λεγάτον οὐδὲ τὴν μετὰ θάνατον δωρεὰν, ἀλλὰ ταῦτα ἐλεύσονται ἢ μενεῖ παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος, ἢ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως· οἷα αὐτῆς οὐδοτιοῦν ὄφελος ἐχούσης, ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτε-*

---

[1] Cod. *καὶ* pro *μή*. [2] Epan. XIX schol. d. [3] Cod. addit *γάμου*.

ροι τύχοιεν κληρονόμοι, εἴτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα. οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξαιμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας, ἀλλ' οὕτω μὲν τὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δέ γε παρὰ τοῦ πρότερον συνοικήσαντος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τουτέστιν ἀνιόντας, κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι β' βαθμοῦ, ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως τῶν βαθμῶν· ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμεῖον ἐλεύσονται. ἀλλ' οὐδὲ περαιτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι γ' βαθμοῦ θεωρουμένου πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῇ, οἱ πορρωτέρω δὲ ὄντες ἑτέρους ἕξουσι κληρονόμους. καὶ ἥγε πρὸ τῶν ἄλλων αὐτῇ ποινῶν ἐπαχθεῖσα, φαμὲν δὴ τὴν ἀτιμίαν, εἰ μὲν ἄπαις ἐκ τῶν προτέρων εἴη γάμων, λελύσεται βασιλέως γράμμασι κελεύοντος· εἰ δὲ παῖδες ὑπεῖεν, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν, πλὴν εἰ μὴ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρῶς, αἱρέσεως ἁπάσης χωρὶς, καὶ οὐδὲ τὴν χρῆσιν παρακατέχουσα, ἀλλὰ πάσης τῆς οὐσίας, τῆς ὅτε πρὸς τοὺς δευτέρους ἐφοίτα γάμους, κατὰ τὴν ἡμίσειαν, καθάπερ ἔφημεν, ἐξισταμένη μοῖραν τοῖς ἔμπροσθεν γενομένοις παισίν. καὶ διαιρήσονται τοῦτο οἱ παῖδες ἅπαντες ἐξ ἴσου, καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας· εἰ δ' οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται ἀναλόγως πάντες οἱ τούτων ἀδελφοί, οὐ προτιμώμενοι τῆς μητρὸς εἰς τὴν ἄλλην οὐσίαν τοῦ τελευτήσαντος παιδὸς ἢ τῶν τελευτησάντων· εἰ δὲ πάντες ἀπέλθοιεν, ἐχέτω παραψυχὴν ἡ μήτηρ τῆς ἑαυτῆς δυσκληρίας τὸ ταῦτα πάλιν ἀναλαβεῖν, δηλαδὴ τοῦτο τὸ ἥμισυ ὅπερ τοῖς παισὶν ἢ ταῖς θυγατράσιν ἐδωρήσατο. καὶ ταῦτα μέν φαμεν, εἴπερ ἀδιάθετοι τελευτήσαιεν οἱ παῖδες· οὐ γὰρ ἐπὶ τοῖς ἅπαξ γενομένοις ἐπ' αὐτοὺς εἴρξομεν αὐτοὺς διαθήκας γράφειν ἢ περιόντας ὃν βούλονται ταῦτα διαθεῖναι τρόπον. εἰ δὲ καὶ ἀναμείνοι μὲν τὸν χρόνον ἡ γυνὴ καὶ αὐτὴ διαφύγοι τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον τῶν προτέρων ἀμελήσασα γάμων, εἰ μὲν οὐκ ἔχοι

παῖδας, εἰρήσθω γὰρ αὖθις, ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δ' ὑπείη γονὴ, καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτῇ καταλιπὼν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα νενομοθετήσθω καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς ταύτην γενομένης ἢ ἐκ διαθήκης ἢ καὶ τῆς μετὰ θάνατον δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβείων· καὶ οἱ παῖδες αὐτὰ λήψονται καὶ τῆς δεσποτείας κύριοι ἔσονται κατὰ τὸν καιρὸν εὐθὺς, καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ. καὶ ταῦτα κοινὰ γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω, τοῦ μὲν ἐπὶ τῇ προικὶ, τῆς δὲ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς. εἰ γὰρ δὴ κἀκεῖνος παῖδας ἔχων δευτέραν αὐτοῖς ἐπεισαγάγοι γαμετὴν, οὐ τῶν ἐκ τῆς προικὸς ἀπολαύσει κερδῶν κατὰ τὸν τῆς δεσποτείας λόγον, οὐδὲ φιλοτιμίαν ἄλλην παρὰ τῆς γυναικὸς λαβὼν ταύτην ἕξει βεβαίως, πλὴν ὅσον χρῆσθαι καὶ καρποῦσθαι μέχρι περιῇ μόνον· κἀνταῦθα γὰρ οἱ παῖδες εἰ καὶ ὑπεξούσιοι καθεστήκοιεν, ἀλλὰ κύριοι τῶν τοιούτων κατὰ δεσποτείαν ἔσονται παραγινομένων εὐθὺς εἰς αὐτοὺς ἅμα τῇ τῆς δευτέρας γαμετῆς συναφείᾳ. καὶ οὐ διαφερόμεθα περὶ τῆς προικὸς ἢ τῆς πρὸ γάμου δωρεᾶς, πότερον αὐτοὶ ταύτην δεδώκασιν ὑπὲρ ἑαυτῶν οἱ γήμαντες ἤ τινες ἄλλοι ὑπὲρ αὐτῶν τοῦτο ἔπραξαν εἴτε τῶν ἐκ γένους εἴτε καὶ τῶν ἔξωθεν, κἂν εἰ δοκεῖ πως συνειλῆφθαι καὶ ἡ προγαμιαία δωρεὰ τῇ προικί. ἀλλὰ τὸ νομοθετηθὲν ἐπὶ τῶν ἐντεῦθεν εἰς τοὺς γήμαντας περιερχομένων κερδῶν καὶ οὕτω κύριον ἔστω, καὶ οὕτω ἀσφαλὴς τῶν τοιούτων αὐτοῖς ὁ νόμος γενήσεται φύλαξ, ὅτιπερ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν ἐπὶ τοῖς τοιούτοις οὐδ' ὑποθήκην. ἀλλὰ κἂν εἴ τι πράξαιεν οἱ γονεῖς, εὐθὺς τὴν ἑαυτῶν ὑποτιθέασιν περιουσίαν ἑαυτοῖς, οὐχ ὥστε κωλύειν τοὺς γονεῖς ἐπ' αὐτοῖς τι πράττειν ὧν βούλονται, αἰσχύνεται γὰρ ὁ νόμος σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆσαι, ἀλλ' ἐκείνους μὲν ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν ὡς οὐδὲν αὐτοὺς τὸ ληφθὲν ὀνήσει· καὶ ἴστωσάν γε καὶ ἐκ τοῦδε ἡμῶν τοῦ νόμου, ὡς κἂν εἴ τινα παρὰ τῶν τοιούτων γονέων ἀγορασίαν ποιήσαιντο, κἂν εἰ λάβοιεν δωρεὰν κἂν εἴ τι τῶν πάντων πράξαιεν, ἐν ἴσῳ τοῖς μήτε πεπραγμένοις μήτε γεγραμμένοις ἔσται τὸ γενόμενον. ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν

καὶ διάδοχοι παρά τε κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι πλὴν εἰ μὴ τριακονταέτης παρέλθοι χρόνος καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει, ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι. ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τοῦ προτέρου γάμου. οὐ γὰρ ἐφίεμεν τοῖς γονεῦσι τὴν οὐκ ὀρθῶς εἰσηγμένην ἐπιλογὴν εἰς αὐτοὺς ἐνδείκνυσθαι, οὐδὲ τῷ μὲν τῶν παίδων διδόναι, τὸν δὲ ἀτιμάζειν· ἅπαντες γὰρ ὁμοίως τοῖς δευτέροις ἠτιμάσθησαν γάμοις· ἄλλως τε εἴπερ ἁπάντων τῶν παίδων κληρονομήσουσιν οἱ γονεῖς, καὶ οὐ τὸν μὲν διαδέχονται, τὸν δὲ οὐχ ὁμοίως, ἀνθότου μὴ καὶ αὐτοὶ πᾶσιν ἐξ ἴσης τόγε ἐπὶ τούτῳ προσφέρονται, ἀλλὰ τοὺς μὲν ἐπιλέγονται τοὺς δὲ παρορῶσιν; ὥστε κατὰ τὴν ἀναλογίαν ἕκαστος τὸ τοιοῦτον κερδαινέτω, καὶ εἰ σχοίη παῖδας, εἰς αὐτὸ[1] τοῦτο παραπεμπέτω· οἱ δὲ τοῦτο ἐν ἀλλήλοις διαιρείσθωσαν, αὐτοὶ μὲν κατὰ τὸ μέτρον ὁπόσοι καθεστᾶσιν, οὐ μέντοι τὸ τοῦ πατρὸς ὑπερβαίνοντες μέρος[2].

36. Τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς γενέσθαι, καὶ μηδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ, τοὺς μὲν τῶν παίδων ἀτιμάζειν, τοὺς δὲ ἐπιλέγεσθαι, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις. ὥστε καὶ ἐπὶ τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς τὰ παιδία παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης· καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθοι, τοῖς παισὶν ἡ ὅλη προγαμιαία δωρεὰ ἁρμόζει· εἰ δὲ οἱ παῖδες, τὸ μὲν ἐκ [τοῦ] τῆς ἀπαιδίας συμφώνου κέρδος μένει παρὰ τῇ μητρὶ, καὶ τὸ λοιπὸν εἶναι τῶν παίδων, καὶ τελευτῶσαν τοῦτο παραπέμπειν εἰς τοὺς αὐτῶν κληρονόμους, οἵτινες ἐκ τοῦ νόμου καλοῖντο. εἰ γὰρ οὐ παιδὶ τυχὸν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ, ἔτι δευτέρων ἄπειρος οὖσα γάμων, μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἤ τινα πράγματα ἐξ αὐτῆς ἢ πᾶσαν δωρήσεται ἢ κατὰ ἄλλον τυχὸν ἐκποιήσεται τρόπον, εἶτα ὕστερον εἰς ἀνδρὸς φοιτήσειε δευτέρου γάμον, πρόδηλον ὡς τῷ ἐπιγενομένῳ δευτέρῳ γάμῳ καὶ τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται· καὶ οὐδ' αὐτὸ πᾶσι τρόποις, ἀλλ' ἐν μετεώρῳ καὶ τὸ τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μενεῖ. εἰ μὲν γὰρ

---

[1] Lege *αὐτούς*. [2] Basil. XXVIII, 14, 1.

μείνοιεν περιόντες οἱ παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον, τοῦ νόμου τὴν δεσποτείαν τῆς πρὸ γάμου δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος καὶ οὐδὲν ἐπιστρεφομένου τῆς γυναικὸς, εἴ τι πράξειεν ἐπὶ βλάβῃ τῶν παίδων. εἰ δὲ προτελευτήσειαν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, [οὐκ εἰς ὁλόκληρον ἀλλὰ κατὰ τοῦτο δὴ τὸ ἐξ ἀπαιδίας σύμφωνον, καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον], κατά τινα δὲ ἄκυρον ἀποφανθήσεται· τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται. ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται[1].

37. *Δύναται ἡ γυνὴ καὶ μὴ παραδραμόντος τοῦ ὁρισθέντος τῷ πένθει καιροῦ αἰτοῦσα τὸν βασιλέα συνάπτεσθαι πρὸς γάμον δευτέρῳ ἀνδρί. μνηστεύεσθαι δὲ κατὰ τοῦτον τὸν χρόνον οὐ κεκώλυται, κἂν μὴ αἰτήσῃ βασιλέα, ἀλλ' εἰ μὲν οὐκ ἔχει παῖδας. εἰ γὰρ ἔχει, οὐ καλῶς*[2].

38. *Ὁ ἀνὴρ οὐ πενθεῖ τὴν γαμετὴν, οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα*[3].

39. *Οὐκ ἀναγκάζονται οἱ ἄνδρες τὰς ἑαυτῶν πενθεῖν γαμετὰς, οὐδέ ἐστί τι πένθος τῷ μνηστευσαμένῳ, τουτέστιν ἡ μὲν γαμετὴ τὸν ἄνδρα τελευτήσαντα πενθεῖν ἀναγκάζεται, οὐκέτι δὲ ὁ ἀνὴρ τελευτήσασαν τὴν γαμετήν*[4].

40. *Ἡ μὲν τοῦ ἀνδρὸς τελευτὴ μήπω μετὰ τὴν αὐτοῦ τελευτὴν ἐνιαυτοῦ παραδραμόντος ἐμποδίζει τὴν γενομένην αὐτῷ γαμετὴν συνάπτεσθαι πρὸς γάμον ἑτέρῳ, πλὴν εἰ μὴ αἰτήσεται βασιλέα, καθὰ εἴρηται*[5].

41. *Τὸ δὲ τῶν παίδων ἢ τὸ γονέων πένθος οὐκ ἐμποδίζει τοὺς γάμους, τουτέστιν εἰ τελευτήσει παῖς, δύναται ἡ τούτου μήτηρ μὴ παραμείνασα ἐνιαυτὸν συνάπτεσθαι πρὸς γάμον τινί· καὶ πάλιν εἰ τελευτήσει πατὴρ ἢ ἕτερός τις τῶν ἀνιόντων, δύναται ἡ τούτου θυγάτηρ γάμῳ προσομιλεῖν μὴ παραμένουσα χρόνον τινά*[6].

42. *Οὐ πενθεῖ τὸν μνηστευσάμενον ἡ μνηστευθεῖσα, οὐδὲ ὁ μνηστὴρ τὴν μνηστευθεῖσαν.*

43. *Γαμβρὸς λέγεται καὶ ὁ τὴν θυγατέρα μνηστευσάμενος, καὶ πενθερὸς ὁ τῆς μνηστῆς πατὴρ, καὶ πενθερὰ ἡ τούτου*

---

[1] Proch. VI, 2. [2] Basil. XXI, 2, 10 schol. 1. 2. [3] Basil. XXI, 2, 9. [4] Basil. ibid. schol. 1. [5] Basil. XXI, 2, 11 schol. 1. [6] Basil. l. l.

γυνή. ἐξ αὐτῆς γὰρ τῆς μνηστείας ἄρχονται τὰ τοιαῦτα ὀνόματα[1].

44. Εἰ καὶ πολλαχοῦ τῇ προσηγορίᾳ τοῦ ἀνδρὸς καὶ τῆς γαμετῆς δηλοῦνται οἱ μνηστευθέντες, ὅμως κυρίως ἀνὴρ μετὰ τὸν γάμον καὶ γαμετὴ λέγεται[2].

45. Ἐξ αὐτῆς τῆς μνηστείας ἄρχεται τὸ ὄνομα τοῦ πενθεροῦ καὶ τῆς πενθερᾶς καὶ τοῦ γαμβροῦ καὶ τῆς νύμφης[3].

46. Ἐπὶ τῷ μαρτυρῆσαι λέγεται γαμβρὸς ὁ μνηστήρ. ἐπὶ μέντοι τὸ δοῦναι ἢ λαβεῖν ὑπόβολον οὐ γαμβρὸς δοκεῖ[4].

47. Χρὴ[5] τὴν γυναῖκα ὡς γαμετὴν πενθῆσαι τὸν ἄνδρα, τουτέστι πρὸ τοῦ πενθίμου χρόνου, λέγω δὴ τοῦ ἐνιαυτοῦ, μὴ συναφθῆναι ἑτέρῳ ἀνδρί. δύναται μέντοι βασιλέως δεομένη δι᾽ ἀντιγραφῆς βασιλικῆς καὶ πρὸ τοῦ πενθίμου συναφθῆναι πρὸς γάμον ἀνδρὶ κατὰ τὸ εἰρημένον. ὁ πένθιμος χρόνος συναπτός ἐστιν[6].

48. Εἰ καὶ τοιοῦτός ἐστιν ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι, ὡς αὐτόμολος, καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι, καὶ ὁ προδότης, καὶ ὁ ἀπαγχόμενος, καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ [μὴ] μίσει τῆς ζωῆς ἀλλὰ κακῇ συνειδήσει, ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ τοῦ πενθίμου γαμοῦσα ἀτιμοῦται, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν. ἡ δὲ τοῦ φάκτου ἄγνοια οὐ μὴν ἡ τοῦ νόμου συγγινώσκεται. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν[7].

49. Καὶ πάλιν· εἰ τοιοῦτος ἦν ὁ ἀνὴρ ὁ τελευτήσας, ὃν οὐκ ἀνάγκην εἶχεν πενθεῖν ἡ γυνή, καὶ οὕτως ἐμποδίζεται πρὸς γάμον ἑτέρῳ συνάπτεσθαι μήπω ἐνιαυτοῦ παραδραμόντος. τὸν γὰρ γάμον τῆς τοῦ τελευτήσαντος γαμετῆς διὰ τὴν τοῦ αἵματος ἤτοι τῆς γονῆς σύγχυσιν ὁ πραίτωρ ἐκώλυσεν ἐντὸς τοῦ ὡρισμένου τῷ πένθει χρόνου. ὅτι εἰ συμβῇ τὴν γυναῖκα μετὰ τὸ τελευτῆσαι τὸν ἄνδρα τεκεῖν, οὐ κωλύει αὐτὴν γαμεῖσθαι[8].

50. Εἰσὶ δὲ οἱ ἄνδρες, οὓς τελευτήσαντας οὐκ ἀναγκάζονται αἱ γυναῖκες πενθεῖν, οὗτοι· ὁ πρὸς τοὺς πολεμίους αὐτομολήσας, καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι· ἀλλ᾽ οὔτε ὁ ἀπαγξάμενος ὀφείλει πενθεῖσθαι, οὔτε οἱ χεῖρας ἑαυτοῖς ἐπιβαλόν-

---

[1] Basil. XXI, 1, 5 c. scholiis. [2] Basil. l. l. [3] Basil. l. l. [4] Basil. l. l. [5] Paris. 1351 A §. 47 post §. 48 collocat. Reliqui Parisienses cum Lipsiensi faciunt. [6] Cf. Basil. XXI, 2, 8. [7] Basil. XXI, 2, 11. [8] Basil. l. l. schol. 2.

τες τουτέστιν οἱ διαχρησάμενοι ἑαυτοῖς καὶ διὰ ξίφους ἢ ἑτέρου τινὸς ἑαυτοὺς ἀνελόντες· καὶ οἱ προδόται τῆς οἰκείας πατρίδος οὐκ εἰώθασι πενθεῖσθαι. εἰ καὶ τὰ μάλιστα δὲ πενθεῖν οὐκ ἀναγκάζεται τὸν τοιοῦτον ἄνδρα ἡ γυνή, ὅμως ἑτέρῳ γαμουμένη ἀτιμοῦται, εἰ μὴ παρέλθοι ὁ τοῦ πένθους καιρὸς ἢ μήπω παρελθόντος αὐτοῦ τέκῃ ἢ δεηθῇ βασιλέως. ἀλλὰ καὶ ὁ ταύτην ἐν εἰδήσει λαβὼν ἀτιμοῦται· ὁ δὲ ἐν ἀγνοίᾳ τῇ τοιαύτῃ συζευχθεὶς οὐκ ἀτιμοῦται, ἐπειδὴ φάκτον καὶ οὐ νόμον ἠγνόησε· νόμον δέ ἐστιν ἀγνοεῖν τὸ εἰδέναι, ὅτι οὔπω παρῆλθεν ὁ ἐνιαυτός, καὶ νομίσαι, ὅτι ἀνέγκλητός ἐστι πρὸς τὴν τοιαύτην συνάφειαν[1].

51. Ἐν ᾧ ἀνὴρ ἦν τῶν μὴ πενθουμένων· περὶ τοιούτων γὰρ τὸ νόμιμον διδάσκει. εἰ γὰρ ἦν τῶν πενθουμένων, τὸν ἐνιαυτὸν ὅλον ἀναμένει, κἂν ἐντὸς αὐτοῦ τέκῃ, τοῦτο μὲν καὶ διὰ τὴν τῆς γονῆς σύγχυσιν, τοῦτο δὲ καὶ διὰ τιμὴν τοῦ ἀνδρός[2].

52. Ἡ γυνὴ ἀναγκάζεται μεῖναι τὸν πένθιμον χρόνον τουτέστιν ἐνιαυτὸν διὰ τὴν σύγχυσιν τῆς γονῆς, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστιν[3].

53. Ἔστι δ' ὅτε ἀκινδύνως καὶ ἀζημίως ἐντὸς τοῦ πενθίμου χρόνου γαμεῖν, τουτέστιν ἀπὸ κελεύσεως βασιλέως, πλὴν εἰ οὐκ ἔχει παῖδας· εἰ δὲ ἔχει, οὐ καλῶς· καὶ ὅτε ἐν τῷ πενθίμῳ τέκῃ[4].

54. Πρῴην ὁ πένθιμος χρόνος δέκα μῆνες ὢν ἐνιαυτὸς ἐγένετο ἀπὸ τῆς β' διατ. τοῦ θ' τί. τοῦ ε' βι. τοῦ κώδικος[5].

55. Ὁ ὑπεξούσιος κελεύσει τοῦ πατρὸς ἀγαγόμενος τὴν πενθοῦσαν συγγινώσκεται. ὁ δὲ πατὴρ ἀτιμοῦται[6]. ὁ γὰρ ὑπεξούσιος πειθαρχῶν τῷ δεσπότῃ ἢ τῷ πατρὶ οὐ δοκεῖ θέλειν. καὶ μή μοι εἴποις, ὅτι ἐὰν γένηται αὐτεξούσιος καὶ μὴ ἀποπέμψηται τὴν ζευχθεῖσαν αὐτῷ, ὀφείλει λοιπὸν γίνεσθαι ἄτιμος ὡς λυθείσης τῆς ὑπεξουσιότητος, ἥτις καὶ μὴ θέλοντα αὐτὸν ἀνέπειθε πειθαρχεῖν τῷ πατρί· ἐρῶ γάρ σοι, ὅτι τοῦτο περιττολογία τυγχάνει· [ὁ γὰρ νόμος τῇ τοῦ γάμου ἀρχῇ προσέχει] ἐπὶ τοῦ παρόντος· καὶ δῆλον ἐκ τοῦ ιγ' κεφ. ἐκεῖ γὰρ διότι καταρχὴν ἐποίησεν ὁ πατήρ, οὐκ ἀτιμοῦται. ἅπαξ γοῦν συστάντος τοῦ γάμου οὐ δύναται ὁ υἱὸς ἄνευ αἰτίας εὐλόγου στεῖλαι διαζύγιον· εἰ δὲ τοῦτο ποιήσει, τιμωρεῖται. ὅτι δὲ

---

[1] Lege συνάφεια. — Basil. ibid. [2] Basil. l. l. schol. 4 Nicaei. [3] Phot. XIII, 2. [4] Phot. ibid. [5] Basil. XXI, 2, 1 schol. 13. [6] Basil. XXI, 2, 11 in fine.

συνίσταται ὁ γάμος ὁ πρὸς τὴν ἐντὸς τοῦ πενθίμου χρόνου γαμοῦσαν συναλλαττόμενος, παρέστησε σαφῶς ἡ νεαρὰ ἡ κειμένη ἐν τῷ ιδ' τί. τοῦ κη' βι. ἐκείνη γάρ, εἰ τὸν πρὸς αὐτὴν γάμον ἀσύστατον ᾔδει, οὐκ ἂν συνεχώρει τῇ δευτερογαμούσῃ πρὸ τοῦ πενθίμου ἐπιδιδόναι προῖκα τῷ ταύτην γαμοῦντι, οὐδὲ τὸ μέτρον τῆς προικὸς ἐπόσου καὶ διωρίζετο, ἀλλ' ὡς τοῦτον εἰδυῖα καὶ συνιστάμενον ἀτιμίᾳ τε ταύτην καθυποβάλλει καὶ ἄλλαις ποιναῖς ταῖς δηλουμέναις ἐκεῖσε· πρὸς δὲ καὶ τῷ μὴ δύνασθαι περαιτέρω τῆς τρίτης μοίρας τῆς οἰκείας περιουσίας διδόναι προῖκα τιμωροῦσα κἂν τούτῳ ταύτην· πάντως γὰρ ὀλίγῃ διδοῦσα[1] προῖκα καὶ ὀλίγην λαμβάνει προγαμιαίαν·δωρεάν[2].

56. [Περὶ τῆς ἐν αἰγύπτῳ παρανομίας καὶ συγκαταβάσεως βασιλικοῦ διατάγματος ἀπὸ τῆς ὀγδόης διατάξεως][3]. — Συνέβη τινὰς ἐν αἰγύπτῳ γήμαντας μὴ πλησιάσαι ταῖς γαμεταῖς αὐτῶν σωματικῶς, ὥστε μετὰ τὴν ἐκείνων τελευτὴν παρθένους αὐτὰς εὑρεθῆναι· καὶ ἐπεχείρουν οἱ ἀδελφοὶ τῶν πρότερον αὐτῶν ἀνδρῶν λαμβάνειν αὐτὰς πρὸς γάμον ὡς μὴ γενομένας ἐν ἔργῳ γαμετὰς τῶν ἰδίων ἀδελφῶν. τοῦτο τοίνυν μαθοῦσα ἡ προκειμένη διάταξις λέγει· εἰ καί τινες τῶν ἐν αἰγύπτῳ διὰ τοῦτο τὰς γαμετὰς τῶν τελευτησάντων ἀδελφῶν αὐτῶν ἠγάγοντο, ὅτι μετὰ τὴν ἐκείνων τελευτὴν παρθένοι εὑρέθησαν, ἐνθυμηθέντες, ὡς εἴρηταί τισι νομικοῖς, ἡνίκα μὴ συνάπτωνταί τινες ἀλλήλοις μὴ συνεστηκέναι τὸν γάμον· ἐκείνοις μὲν συνεχωρήσαμεν, διὰ δὲ τοῦ παρόντος νόμου θεσπίζομεν, εἰ τοιοῦτοι γένοιντο πώποτε γάμοι, καὶ τοὺς συναλλάξαντας αὐτοὺς καὶ τοὺς ἐκ τούτων τικτομένους τῇ δυνάμει τῶν παλαιῶν νόμων ὑποκεῖσθαι ὡς ἀθεμίτου τοῦ γάμου τυγχάνοντος[4].

57. Πᾶσιν ἀνθρώποις τοῖς εὖ φρονοῦσι πρόδηλον εἶναι νομίζομεν, ὅτι πᾶσά ἐστι σπουδὴ ἡμῖν καὶ εὐχὴ τὸ τοὺς πιστευθέντας ἡμῖν παρὰ τοῦ δεσπότου θεοῦ καλῶς βιοῦν καὶ τὴν αὐτοῦ εὑρεῖν εὐμένειαν, ἐπειδὴ καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία οὐ τὴν ἀπώλειαν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν σωτηρίαν βούλεται, καὶ τοὺς πταίσαντας καὶ διορθουμένους δέχεται ὁ θεός. διὸ παντὶ προτρέπομεν τὸν τοῦ θεοῦ φόβον

---

[1] Cod. ὀλίγην διδοῦσαν. [2] Basil. l. l. schol. 5 Nicaei. [3] Hanc inscriptionem plerique Codices praeter Lips. praestant. [4] Cod. V, 5, 8.

κατὰ νοῦν λαμβάνειν, καὶ τὴν αὐτοῦ εὐμένειαν ἐπικαλεῖσθαι, καὶ ἴσμεν πάντες ὅτι καὶ τὸν αὐτοῦ ἔλεον περιμένοντες τοῦτο ποιοῦσιν. ἐπειδὴ δέ τινες ὑπὸ τῆς διαβολικῆς συνεργείας συνεχόμενοι καὶ ταῖς βαρυτέραις ἀσελγείαις ἑαυτοὺς ἐνέβαλον, καὶ αὐτῆς τῆς φύσεως τὰ ἐναντία πράττουσι, καὶ τούτοις παρεγγυῶμεν λαβεῖν τὸν τοῦ θεοῦ φόβον καὶ τὴν μέλλουσαν κρίσιν, καὶ ἀπέχεσθαι τῶν τοιούτων διαβολικῶν καὶ ἀτόπων ἀσελγειῶν, ἵνα μὴ διὰ τῶν τοιούτων ἀσεβῶν πράξεων ὑπὸ τῆς τοῦ θεοῦ δικαίας ὀργῆς εὑρεθῶσι, καὶ αἱ πόλεις μετὰ τῶν κατοικούντων ἐν αὐταῖς ἀπολλύμεναι. διδασκόμεθα γὰρ παρὰ τῶν ἁγίων γραφῶν, ὅτι ἐκ τῶν τοιούτων ἀσεβῶν πράξεων καὶ πόλεις τοῖς ἀνθρώποις συναπώλοντο. ἐπειδὴ δέ τινες πρὸς τοῖς εἰρημένοις καὶ βλάσφημα ῥήματα καὶ ὅρκους περὶ θεοῦ ὀμνύουσι, τὸν θεὸν παροργίζοντες, καὶ τούτοις ὁμοίως παρεγγυῶμεν ἀποσχέσθαι τῶν τοιούτων βλασφήμων ῥημάτων, καὶ τοῦ ὀμνύναι κατὰ τριχὸς καὶ κεφαλῆς, καὶ τῶν τούτοις παραπλησίων ῥημάτων. εἰ γὰρ αἱ κατ᾽ ἀνθρώπων γινόμεναι βλασφημίαι ἀνεκδίκητοι οὐ καταλιμπάνονται, πολλῷ μᾶλλον ὁ εἰς αὐτὸ τὸ θεῖον βλασφημῶν ἄξιός ἐστι τιμωρίας ὑποστῆναι. διὰ τοῦτο οὖν πάντας τοὺς τοιούτους προτρέπομεν ἐκ τῶν εἰρημένων πλημμελημάτων ἀπέχεσθαι, καὶ τὸν τοῦ θεοῦ φόβον κατὰ νοῦν λαμβάνειν, καὶ ἀκολουθεῖν τοῖς καλῶς βιοῦσι. διὰ γὰρ τὰ τοιαῦτα πλημμελήματα καὶ λιμοὶ καὶ σεισμοὶ, καὶ διὰ τοῦτο παραινοῦμεν τοὺς τοιούτους ἀπέχεσθαι τῶν εἰρημένων ἀτοπημάτων, ὥστε μὴ τὰς ἑαυτῶν ἀπολέσθαι ψυχάς. εἰ γὰρ καὶ μετὰ τὴν τοιαύτην νουθεσίαν εὑρεθῶσί τινες τοῖς αὐτοῖς ἐπιμένοντες πλημμελήμασι, πρότερον μὲν ἑαυτοὺς ἀναξίους ποιοῦσι τῆς τοῦ θεοῦ φιλανθρωπίας, ἔπειτα δὲ καὶ τὰς ἐκ τῶν νόμων ὑποστήσονται τιμωρίας. ἐπετρέψαμεν δὲ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς βασιλίδος πόλεως τοὺς ἐμμένοντας ταῖς εἰρημέναις ἀτόποις καὶ ἀσεβέσι [πράξεσι] καὶ μετὰ ταύτην ἡμῶν τὴν νουθεσίαν ἐπέχειν καὶ ταῖς ἐσχάταις ὑποβάλλειν τιμωρίαις, ἵνα μὴ ἐκ τοῦ παραβλέπειν τὰς τοιαύτας ἁμαρτίας εὑρεθῇ καὶ ἡ πόλις καὶ ἡ πολιτεία διὰ τῶν τοιούτων ἀσεβῶν πράξεων ἀδικουμένη. εἰ γὰρ μετὰ ταύτην ἡμῶν τὴν παραίνεσίν τινες τοιούτους εὑρίσκοντες τούτοις συγκρύψουσιν, ὁμοίως παρὰ τοῦ δεσπότου θεοῦ κατακριθήσονται. καὶ αὐτὸς γὰρ ὁ ἐνδοξότατος ἔπαρχος, ἐὰν εὕρῃ τινὰς τοιοῦτόν τι πλημμελοῦντας, καὶ τὴν ἐκδίκησιν εἰς αὐτοὺς μὴ ἐπαγάγῃ κατὰ τοὺς ἡμετέρους νόμους, πρότερον μὲν ἔνοχος

ἔσται τῇ τοῦ θεοῦ κρίσει, ἔπειτα δὲ καὶ τὴν ἐξ ἡμῶν ἀγανάκτησιν ὑποστήσεται[1].

58. *Συνίσταται*[2] γάμος χριστιανῶν εἴτε ἐγγράφως εἴτε ἀγράφως μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, τοῦ εἶναι ἑκατέρων τὴν ἡλικίαν πρὸς συνάφειαν ἡρμοσμένην, τοῦ μὲν ἀνδρὸς ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου, τῆς δὲ γυναικὸς ἀπὸ δωδεκαετοῦς, ἀμφοτέρων θελόντων μετὰ τῆς τῶν γονέων συναινέσεως.

59. *Κεκώλυνται* δὲ, ὅσοι ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος ἀλλήλοις προσηνώθησαν, τουτέστιν ὁ ἀνάδοχος ἐκ τῆς ἰδίας θυγατρὸς καὶ τῆς αὐτῆς μητρὸς, ὡσαύτως δὲ καὶ ὁ αὐτοῦ υἱὸς ἐκ τῆς τοιαύτης θυγατρὸς καὶ τῆς αὐτῆς μητρός· καὶ ὅσοι ἐξ αἵματος συγγενείας ἀλλήλοις γνωρίζονται, τουτέστι γονεῖς πρὸς τέκνα, ἀδελφοὶ πρὸς ἀδελφὰς, καὶ τὰ τούτων τέκνα, οἱ λεγόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον· καὶ οἱ ἐξ ἐπιγαμίας γνωριζόμενοι συγγενεῖς, πατρωὸς εἰς προγονὴν ἢ νύμφην, προγονὸς πρὸς μητρυὰν, ἀδελφὸς πρὸς νύμφην ἢ γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ὁμοίως πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς. ἐπὶ τούτοις ἅπασι τοῖς προσώποις μηδὲ μνηστείαν γνωρίζεσθαι.

60. *Ἔγγραφος* γάμος συνίσταται δι᾽ ἐγγράφου προικῴου συμβολαίου ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων κατὰ τὰ παρ᾽ ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετούμενα, ὥστε ἐν αὐτῷ ὁμολογεῖν τὸν ἄνδρα τήν τε ἐντελῆ τῆς προικὸς οἰκείωσιν, καὶ ἀδιάπτωτον καὶ ἀμείωτον αὐτῆς παραφυλακὴν καὶ συντήρησιν, μετὰ καὶ τῆς ὡς εἰκὸς παρ᾽ αὐτοῦ ἐν ἐπαυξήσει ἀποχαρισθείσης αὐτῇ ποσότητος· ἐγγραφομένου ἐν τῷ παρ᾽ αὐτοῦ ἐκτιθεμένῳ συμβολαίῳ κάσου ἐξ ἀπαιδίας μέρος τέταρτον· τριῶν δηλονότι συμβολαίων μεταξὺ αὐτῶν προερχομένων, δύο μὲν ἀντισυγγράφων τῆς προικὸς ἰσοδυνάμων, τοῦ δὲ ἑτέρου παρὰ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐκτιθεμένου. καὶ μὴ ἐπερωτᾶσθαι ἢ καταγράφεσθαι παρὰ τοῦ ἀνδρὸς ἰσόμετρον τῆς εἰσαγομένης αὐτῷ προικὸς προγαμιαίαν δωρεάν.

61. *Εἰ* δὲ δεήσει τὴν γυναῖκα πρὸ τοῦ ἀνδρὸς παίδων ἄνευ τελευτῆσαι, τετάρτην μοῖραν καὶ μόνον ἐκ πάσης τῆς ὡς εἴρηται ὁμολογηθείσης παρ᾽ αὐτοῦ προικὸς εἰς ἴδιον κέρδος ἐγκρατεῖν αὐτὸν, καὶ τὸ ὑπόλοιπον ἡμισυτέταρτον μέρος τῆς

[1] Nov. 77. [2] Reliqui praeter Lipsiensem §§. 58—68 non agnoscunt. Sunt autem ex Ecloga II, 1—11.

τοιαύτης προικὸς ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτῆς βουλήσεως κληρονόμους ἀποκαθίστασθαι ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου καλουμένους αὐτῆς κληρονόμους ἀποδίδοσθαι. εἰ δὲ ὁ ἀνὴρ πρὸ τῆς ἰδίας γυναικὸς παίδων ἐκτὸς ἀποβιώσει, ὁμοίως πρὸς τῇ ἐντελεῖ ἀποκαταστάσει τῆς ὁμολογηθείσης αὐτῇ παρ᾽ αὐτοῦ προικὸς καὶ τέταρτον μέρος πρὸς τὸ μέτρον τῆς τοιαύτης προικὸς ἐκ τῶν ἐγκαταλειφθέντων τοῦ ἀνδρὸς αὐτῆς παντοίων πραγμάτων ἐπ᾽ ὀνόματι κάσου εἰς κέρδος οἰκεῖον λαμβάνειν αὐτὴν, καὶ τὴν περιττευομένην ἀνδρῴαν αὐτῆς ὕπαρξιν ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτοῦ βουλήσεως ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου κληρονόμους περιέρχεσθαι.

62. *Εἰ δὲ* παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς ἰδίας γαμετῆς τελευτήσει, τὴν γυναῖκα ἤγουν τὴν τῶν τέκνων μητέρα ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ ἀνδρῴας ἁπάσης ὑπάρξεως εἶναι, καὶ αὐτὴν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν· προδήλως δημοσίαν ἀναγραφὴν ποιουμένης αὐτῆς ἤτοι ἴμβεντον πάσης τῆς καταλιμπανομένης ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς παντοίας ὑπάρξεώς τε καὶ περιουσίας· συγκειμένων ἐν τῇ τοιαύτῃ ἀναγραφῇ καὶ τῶν προικιμαίων αὐτῆς πραγμάτων, εἰ δὲ καὶ ὕπεισιν αὐτῇ καὶ ἐν ἐξωπροίκοις, ὀφειλούσης αὐτῆς τὰ ἐξώπροικα δεῖξαι δι᾽ ἐνεργῶν συστάσεων, ὡς ταῦτα εἰσήγαγεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς καὶ φαίνονται μετὰ τὴν αὐτοῦ τελευτήν· μὴ δυναμένων τῶν αὐτῆς τέκνων ἀντικαθίστασθαι αὐτῇ ἢ ἐπιζητεῖν παρ᾽ αὐτῆς πατρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν ὑπακοὴν καὶ τιμὴν κατὰ τὴν τοῦ θεοῦ ἐντολὴν ὡς μητρὶ προσαγόντων αὐτῇ· προδήλως ὀφειλούσης αὐτῆς καθὼς πρέπει τοῖς γονεῦσι τὰ τέκνα ἐκπαιδεύειν τε καὶ γαμοστολεῖν, καὶ προῖκα ἐπιδιδόναι καθὼς ἂν βουληθῇ. εἰ δὲ συμβῇ αὐτὴν εἰς ἕτερον περιελθεῖν συνοικέσιον, ἄδειαν ἔχειν τὰ τέκνα αὐτῆς παρεᾶν αὐτὴν καὶ πάντα τὰ αὐτῶν πατρῷα πράγματα ἀνελλιπῶς κομίζεσθαι, τὴν εἰσενεχθεῖσαν παρ᾽ αὐτῆς τῷ ἀνδρὶ αὐτῆς προῖκα καὶ μόνον σὺν τῇ ἀποχαρισθείσῃ παρ᾽ αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ παρέχοντες αὐτῇ.

63. *Εἰ δὲ* παίδων ὑπόντων ἡ γυνὴ πρὸ τοῦ ἰδίου ἀνδρὸς τελευτήσει, τὸν ἄνδρα αὐτῆς ἤγουν τὸν πατέρα αὐτῶν ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ τῆς ἐν ἐξωπροίκοις πάσης ὑπάρξεως αὐτῆς εἶναι ὡς ὑπεξουσίων αὐτῷ τυγχανόντων καὶ αὐτῶν τὴν ἅπασαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτοῦ ἀντικαθίστασθαι αὐτῷ ἢ ἐπιζητεῖν παρ᾽

αὐτοῦ μητρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν καθὼς ἁρμόζει γονεῦσι προσαγόντων αὐτῷ κατὰ τὸ γεγραμμένον· ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐχὴ παρ᾽ αὐτῶν· εὐχὴ γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια· δι᾽ αὐτῶν γὰρ ἐγεννήθησαν καὶ τί ἀνταποδώσουσιν αὐτοῖς, καθὼς αὐτοὶ ἐκείνοις; ταῦτα γὰρ βεβαιῶν καὶ παῦλος ὁ ἀπόστολος ἔφη· τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ, τοῦτο γάρ ἐστι δίκαιον· οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. εἰ δὲ συμβῇ αὐτὸν εἰς ἕτερον ἐλθεῖν συνοικέσιον τῶν τέκνων αὐτοῦ ἀνηλίκων τυγχανόντων, ἀμείωτα παρ᾽ αὐτοῦ τὰ μητρῷα αὐτῶν φυλάττεσθαι πράγματα· εἰ δὲ τῆς ἐννόμου ἡλικίας ταῦτα ὑπάρχουσιν, εἰ θελήσουσι, ἀδιασκέπτως τὰ τοιαῦτα αὐτῶν πράγματα παρέχεσθαι αὐτοῖς.

64. *Εἰ δὲ θελήσει ἐκ τοῦ ἀνδρογύνου εἴτε ὁ ἀνὴρ εἴτε ἡ γυνὴ χωρὶς δευτερογαμίας ἐκ τῶν ἰδίων τέκνων ἀπαναχωρῆσαι, ἀνηλίκων αὐτῶν τυγχανόντων, μὴ ἔχειν αὐτοὺς ἄδειαν τοῦτο πρᾶξαι, ἀλλὰ τὴν τούτων ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, καθὼς εἶπεν ὁ ἀπόστολος, ὅτι χήρα ἔχουσα τέκνα ἢ ἔγγονα μανθανέτω τὸν ἴδιον οἶκον εὐσεβεῖν· τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. εἰ δὲ τῶν ἐντελῶν χρόνων εἰσὶ τὰ τέκνα καὶ εἰς βίον περιῆλθον καὶ δύνανται τὴν ἰδίαν διοίκησιν ποιεῖν, καὶ θελήσει τὶς ἐκ τῶν γονέων ἀναχωρῆσαι ἐξ αὐτῶν, ἐπ᾽ ἀδείας ἔχειν τὸ τοιοῦτον πρόσωπον μετὰ τὴν τῶν ἰδίων πραγμάτων ἐγκράτησιν καὶ ἑνὸς παιδὸς μοῖραν λαμβάνειν πρὸς τὸν ἀριθμὸν τῶν τέκνων.*

65. *Εἰ δὲ κατὰ στένωσιν ἢ διὰ ταπείνωσιν μὴ δυνηθῇ τις εὐπρολήπτως ποιῆσαι γάμον καὶ ἐγγράφως, καὶ ἀγράφως συνίσταται γάμος ἀδόλως συναινέσει τῶν συναλλασσόντων προσώπων καὶ τῶν τούτων γονέων, εἴτε ἐν ἐκκλησίᾳ τοῦτο δι᾽ εὐλογίας ἢ καὶ ἐπὶ φίλων γνωρισθῇ. ἀλλὰ καὶ οἱοσδήποτε ἐνοικιζόμενος εἰς γυναῖκα ἐλευθέραν καὶ καταπιστεύων αὐτῇ τὴν τοῦ ἰδίου οἴκου διοίκησιν καὶ ταύτῃ σαρκικῶς συμπλεκόμενος ἄγραφον συναλλάσσει πρὸς αὐτὴν γάμον. ἐὰν δὲ ἐξ αὐτῆς μὴ παιδοποιήσας πειραθῇ ἐκδιῶξαι αὐτὴν ἐκ τῆς πρὸς αὐτὸν συνοικήσεως αἰτίας νόμῳ[1] ἐγνωσμένης ἐκτὸς, διδόναι αὐτῇ πρὸς τῇ ἀποκαταστάσει τῶν ὡς εἰκὸς ἐνεχθέντων παρ᾽ αὐτῆς πραγμάτων καὶ τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας.*

---

[1] Cod. *γάμο.*

66. *Εἰ δὲ καὶ ἀπόρῳ γυναικὶ πρὸς νόμιμον γάμον συναφθῇ τις καὶ τελευτήσει ὁ ἀνὴρ παίδων καὶ διαθήκης χωρὶς, κομίζεσθαι τὴν γυναῖκα ἐκ τῆς ἀνδρῴας ὑποστάσεως ὑπὲρ ἐξ ἀπαιδίας κάσου τέταρτον μέρος κατὰ τὴν εὐπορίαν τοῦ ἀνδρὸς ἕως λιτρῶν δέκα· εἰ δὲ καὶ ἐπάνω τῶν δέκα λιτρῶν εὐπορεῖ ὁ ἀνὴρ, μὴ ἔχειν αὐτὴν ἄδειαν ἕτερόν τι κομίζεσθαι· καὶ τὰ ὑπόλοιπα περιέρχεσθαι ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ κληρονόμους, ἢ μὴ ὑπόντων κληρονόμων, εἰς τὸ μέρος τοῦ δημοσίου.*

67. *Δευτερογαμία συνίσταται ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις εἴτε ἐγγράφως εἴτε ἀγράφως οὕτως· εἰ μὲν παίδων χωρὶς, ἀπεριέργως συναλλάσσειν κατὰ τοὺς ἀνωτέρω δηλουμένους τρόπους. εἰ δὲ παῖδες ὕπεισι τῷ δευτερογαμοῦντι προσώπῳ, μὴ ἔχειν αὐτὸν ἄδειαν χαρίσασθαι τῇ δευτέρᾳ γυναικὶ πλείω ἑνὸς [παιδὸς] μοῖραν τοῦ ἐκ προτέρων αὐτοῦ γάμων ἐκ τῆς ἰδίας περιουσίας καθ᾽ οἱανδήποτε φιλοτιμίαν. ὁμοίως δὲ τὸ αὐτὸ παραφυλάττεσθαι καὶ ἐπὶ δευτερογαμούσης γυναικὸς, προδήλως τὸν ἀπὸ καιροῦ τῆς τελευτῆς τοῦ προτέρου ἀνδρὸς παραφυλαττούσης δωδεκαμηνιαῖον χρόνον. εἰ δὲ πρὸ τούτου δευτερογαμήσει, ἄτιμος ἔσται, μηδὲν ἐκ τοῦ προτέρου ἀνδρὸς κερδαίνουσα καθ᾽ οἱονδήποτε τρόπον. παραφυλαττούσης δὲ αὐτῆς ὡς εἴρηται τὸν ὡρισμένον χρόνον, κομίζεσθαι αὐτὴν τὴν ἰδίαν προῖκα μετὰ καὶ τῶν ὡς εἰκὸς ἀποχαρισθέντων αὐτῇ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς· ὡσαύτως δὲ καὶ τὸν ἄνδρα εἰς δεύτερον γάμον περιερχόμενον μηδὲν ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς λαμβάνειν. εἰ δὲ ὑπάρχουσιν ἀνήλικοι παῖδες, τὰ τούτων πράγματα παραφυλάττειν αὐτὴν, μέχρις ἂν τῶν ἐντελῶν γένωνται χρόνων· εἰ δὲ καὶ τῶν ἐντελῶν εἰσι, παρέχεσθαι αὐτοῖς ἀπεντεῦθεν ἤδη τὰ μητρῷα αὐτῶν ἐντελῶς πράγματα. εἰ δὲ καὶ τέκνα ποιήσει ἐκ τῆς προτέρας γυναικὸς καὶ συμβῇ αὐτὸν τελευτῆσαι, ἄδειαν ἔχει καὶ τὰ πρῶτα καὶ τὰ δεύτερα τέκνα τὸν ἴδιον κληρονομεῖν πατέρα, ὁμοίως δὲ καὶ τὴν μητέρα.*

68. *Ἡ δευτερογαμοῦσα γυνὴ ἔχουσα ἐκ προτέρων γάμων παῖδας αἰτείτω πρὸ τοῦ συναλλάγματος τοῦ δευτέρου γάμου ἐπιτρόπους τοῖς παισὶν αὐτῆς καὶ οὕτω συναλλασσέτω. εἰ μὴ γὰρ τοῦτο γένηται, ὑπεύθυνα τὰ αὐτῆς καὶ τοῦ δευτέρου ἀνδρὸς αὐτῆς πράγματα γενήσονται ἐπὶ τῇ ἀποκαταστάσει τῶν ἀνηκόντων τοῖς νέοις πατρικῶν[1] πραγμάτων.*

[1] Cod. addit *αὐτοῖς*.

Τίτλος η΄. Περὶ κεκωλυμένων γάμων καὶ περὶ συγγενείας καὶ περὶ βαθμῶν.

1. *Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ, μήτηρ, πάππος, μάμμη καί οἱ τούτων ἀνώτεροι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι, οἷον υἱὸς, θυγάτηρ, ἔκγονος, ἐκγόνη καὶ οἱ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες, οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ᾽ ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τὶς καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν. ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτός ἐστιν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τὸ ἐκ πλαγίου, καὶ οὕτω πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας, τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ καὶ ἐπὶ τῆς καθόδου· ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν τῶν κατιόντων εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν· οὐκοῦν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ ἔκγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱὸν, ὁ υἱὸς τὸν ἔκγονον· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔκγονός ἐστί μοι δευτέρου βαθμοῦ. τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προεκγόνου καὶ ἀπεκγόνου. ὁμοίως καὶ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν, ὥστε οὖν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ πάππος πόστου; ἐμὲ ἐγέννησε ὁ πατὴρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων*

ἀῤῥένων καὶ θηλειῶν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου δεῖ ἀνιέναι, ὡς εἴρηται, ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντας, καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον, περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τίς σε ἐρωτήσει· ὁ ἀδελφός σου πόστου σοί ἐστι βαθμοῦ; λέγε, δευτέρου. διὰ τί; ἀνέρχῃ πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε εἰς τὸν ἀδελφόν, προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου ἐστὶ βαθμοῦ. πάλιν ἐάν τίς σε ἐρωτᾷ, ὁ θεῖος πόστου σοί ἐστι βαθμοῦ; λέγε, ὅτι τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα, καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος· ἰδού δύο γεννήσεις· ὁ αὐτός πάλιν τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις τρεῖς ἀπετέλεσαν βαθμούς, ὥστε τρίτου μοί ἐστι βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι ῥᾷον δύνασαι καταλαβεῖν τοὺς βαθμούς[1].

2. *Τοὺς κεκωλυμένους γάμους ὁρίζομεν οὕτως· ἐπὶ μὲν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν μάμμην οὐδὲ τὴν ἐγγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταί, εἰ καὶ τὰ μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος. αἰσχυνέσθω γὰρ τὴν νῦν ἡ πάλαι τοῦ πάππου προσηγορία*[2].

3. *Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἐστί τις κώλυσις. τὴν τοῦ ἀδελφοῦ μου γὰρ ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις*[3].

4. *Ἀλλ᾽ οὐδὲ τὴν τούτων ἐκγόνην, κἂν τετάρτου ἐστὶ βαθμοῦ, οὐ δύναμαι λαμβάνειν πρὸς γάμον, ὁμοίως οὐδὲ θυγατέρα τοῦ θείου ἢ τῆς θείας τουτέστι τὴν ἐξαδέλφην μου. ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. κανὼν γάρ ἐστι καθολικός· οὗτινος τὴν θυγατέρα οὐκ ἐγχωρεῖ λαβεῖν, τούτου οὐδὲ τὴν ἐκγόνην· καὶ ὧν τὰ ὀνόματα τῆς συγγενείας συγχέονται, τούτων ὁ γάμος ἀθέμιτος*[4].

5. *Ἀλλ᾽ οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν κἂν*

---

[1] Proch. VII, 1. [2] Proch. h. t. 2. [3] Proch. h. t. 3. [4] Proch. h. t. 4. Cf. editionis meae not. 20.

εἰσι θεταὶ, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. καὶ πῶς συμβαίνει εἶναι θετὴν θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θείαν[1].

6. Ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν τουτέστι τὴν τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει[2].

7. Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμόν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν προγονὴν ἢ νύμφην. καὶ προγονὴ μέν ἐστιν ἡ ἐξ ἄλλου θυγάτηρ καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου· νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή[3].

8. Οὐδὲ τὴν πενθεράν μου ἢ τὴν μητρυάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν[4].

9. Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικὸς τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός[5].

10. Οὐδὲ τὴν τοῦ πατρός μου μνηστὴν ἢ τοῦ ἀδελφοῦ μου, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν, ὥσπερ οὐδὲ τὴν θετοῦ υἱοῦ ὁ αὐτεξούσιον ποιήσας αὐτὸν θετὸς πατήρ· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει[6].

11. Καὶ ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα. τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ καὶ περὶ δουλικῆς ἀγχιστείας[7].

12. Οὐ μόνον ἡ τοῦ πατρός μου ἀλλὰ καὶ τοῦ πάππου μου καὶ προπάππου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω[8].

13. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη καὶ ἡ προμάμμη τῆς γυναικός μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω, οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γὰρ πενθερά· οὔτε τήν ποτε γυναῖκα τοῦ προγόνου μου[9].

14. Οὔτε ἡ μητρυὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς[10].

15. Τὴν προεγγόνην τῆς ἀδελφῆς μου γαμεῖν οὐ δύναμαι.

---

[1] Proch. h. t. 5. [2] Proch. h. t. 6. [3] Proch h. t. 7. [4] Proch. h. t. 8. [5] Proch. h. t. 9. [6] Proch. h. t. 10. [7] Proch. h. t. 11. [8] Proch. h. t. 12. [9] Proch. h. t. 13. [10] Proch. h. t. 14.

γονέων γὰρ ἔχω πρὸς αὐτὴν τάξιν. οὔτε τὴν θυγατέρα τῆς προγονῆς μου λαμβάνω[1].

16. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον ἀλλὰ καὶ τὸ εὐπρεπές ζητοῦμεν[2].

17. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει[3].

18. Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ αὐτεξουσίου υἱοῦ θυγατέρα ἢ τὴν ἐγγόνην ἢ τὴν γαμετήν[4].

19. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ πατρὸς μητέρα ἢ τὴν ἀδελφὴν αὐτῆς ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην. τῆς γὰρ καθ' ἡμᾶς θέσεως ἐν ναοῖς ἁγίοις καὶ ὁσίαις εὐχαῖς γενομένης ἄλυτός ἐστιν ὁ δεσμὸς καὶ δεῖ ὡς τοὺς φυσικοὺς καὶ τοὺς θετοὺς γάμους κωλύεσθαι[5].

20. Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος γαμεῖται ἀπελευθέρῳ αὐτοῦ, κἂν ἀποδῷ τοὺς λόγους[6].

21. Πάτρωνα καλεῖ ὁ ἐλεύθερος τὸν τοῦ ἐλευθερώσαντος αὐτὸν κληρονόμον ἢ υἱόν[7].

22. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος ἀδελφὸς αὐτῷ δύναται γαμεῖν τὴν ὀρφανήν[8].

23. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς[9] ἤ τῆς οὐσίας ὑπόκειται τῇ κωλύσει. χρεωστεῖ γὰρ πρῶτον ἀποδοῦναι τοὺς λόγους, καὶ ἀδιάφορον εἴτε πολύν τις διῴκησε χρόνον, ἢ ὀλίγον[10].

24. Ὁ θετὸς υἱὸς οὐ δύναται τὴν γαμετὴν τοῦ θετοῦ πατρὸς γαμεῖν, εἰ καὶ μὴ ἅπτηται τοῦ γένους αὐτῶν[11].

25. Ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι[12].

26. Τὸ κατηγορηθεὶς ἐνταῦθα ἀντὶ τοῦ νομίμως ἀπελεγχθείς· οὐδὲ γὰρ κατακρίνεταί τις ἀπὸ διαβολῆς καὶ φήμης κενῆς, ὥς τινες ἔφασαν. ἐμοὶ δὲ δοκεῖ καὶ ἀπὸ μόνης τῆς ψιλῆς κατηγορίας κεκωλυμένον εἶναι τὸ τοιοῦτο συνάλλαγμα διὰ τὴν φήμην· ἀρκεῖ γάρ, ὅτι[13] οὐ κολάζεται ὡς μοιχός. τὸ δὲ καὶ γυναῖκα λαβεῖν αὐτὴν πάντη ἀσύμφορον, καὶ ὁ εὐλογήσας ἱερεὺς καθαιρεθήσεται[14].

27. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα οὐκέτι κωλύεται προσελθεῖν γάμῳ[15].

---

1 Proch. h. t. 15. 2 Proch. h. t. 16. 3 Proch. h. t. 17. 4 Proch. h. t. 18. 5 Proch. h. t. 19. Cf. not. 40 editionis meae. 6 Proch. h. t. 20. 7 Proch. h. t. not. 41 editionis meae. In nonnullis Codicibus haec §. deest. 8 Proch. h. t. 21. 9 Lips. Codex θυγατρός habet. 10 Proch. h. t. 22. 11 Proch. h. t. 23. 12 Proch. h. t. 24. 13 Forte ὅτε. 14 Videtur hoc auctoris scholium esse ad c. 25. Cf. Harm. IV, 8, 8. 15 Proch. h. t. 25.

28. Ἡ μετ' ἀνδρὸς συζήσασα πολυετῆ δὴ χρόνον καὶ μὴ τεκοῦσα, τὸν αὐτὸν μενεῖ χήρα ἕνα χρόνον[1].

29. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ γαμεῖσθαι[2].

30. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα[3].

31. Ὁ μέντοιγε ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο οὕτω δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν ὡς ὁ τοιοῦτος δεσμός, δι' οὗ θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται[4].

32. Ἄπιστος ἀνὴρ γυναῖκα ὀρθόδοξον οὐ ζεύγνυται. ὁμοίως καὶ γυνὴ ἄπιστος οὐ συγγίνεται ἀνδρὶ πιστῷ[5].

33. Ὅσοι ἐξ ἑνὸς ἀναδόχου διὰ τοῦ ἁγίου βαπτίσματος ἐγεννήθησαν ἀδελφοὶ πνευματικοί, οὐ δύνανται εἰς γάμου κοινωνίαν ἐλθεῖν[6].

34. Ἡ συντεκνία[7] τῶν συντέκνων μέχρι καὶ πόστου βαθμοῦ κωλύεται; — Ὁ μὲν νγ' κανὼν τῆς ς' συνόδου κολάζει τοὺς ἀναδόχους συνάπτεσθαι γαμικῶς ταῖς μητράσι τῶν ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεχθέντων παίδων καὶ μετὰ ἀπόστασιν τοῦ κακοῦ καθυποβάλλει πορνευόντων ἐπιτιμίῳ· τὸ δὲ τελευταῖον θέμα τοῦ ι' κεφ. τοῦ ε' τί. τοῦ κη' βι. τῶν βασιλικῶν ἐπιπλέον ἐπεκτείνει τὴν κόλασιν. ὅτι δὲ ὁ δηλωθεὶς κανών, ἀλλὰ μὴν καὶ ὁ διαληφθεὶς νόμος, μείζονα τὴν κατὰ πνεῦμα συγγένειαν λέγουσι τῆς σωματικῆς συναφείας, γέγονε σημείωμα συνοδικὸν ἐπὶ τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ νικολάου κατὰ μῆνα μάϊον ἐπινεμήσεως ιε' ἐπὶ ἐρωτήσει τοῦ ὑπερτίμου ἐκείνου γρηγορίου τοῦ ξηροῦ, διοριζόμενον, τοῖς αὐτοῖς ὅροις συσφίγγεσθαι καὶ ὑφαπλοῦσθαι τὴν διὰ τῆς συντεκνίας συστᾶσαν πνευματικὴν συγγένειαν, οἷς καὶ αἱ σωματικαὶ συγγένειαι περιορίζονται[8]. ἔχει δὲ ἡ ἐρώτησις οὕτως[9].

---

[1] Non invenio. [2] Proch. h. t. 26. [3] Proch. h. t. 27. [4] Proch. h. t. 28. [5] Cf. c. 72 syn. Trull. [6] Cf. Eclog. II, 2 editionis meae not 12. [7] Apud Bals. rectius est *συμπενθερία*. [8] Bals. resp. 46 (*Σύνταγμα τῶν κανόνων* ed. Rhalli IV p. 482.) [9] Schema in margine adscriptum est in Lips. et aliis quibusdam Codicibus.

μαρία ἔχουσα υἱὸν κωνσταντῖνον γέγονεν ἀνάδοχος ἀπὸ τοῦ ἁγίου βαπτίσματος τῆς εἰρήνης, ἐγέννησεν ὁ κωνσταντῖνος θεοδώραν, καὶ ἡ εἰρήνη θεόδωρον. καὶ αὖθις ἐγέννησεν ἡ θεοδώρα ἄνναν. θέλων οὖν ὁ θεόδωρος ἐπαρεῖν νομίμως τὴν ἄνναν, ἐκωλύθη παρὰ τοῦ ῥηθέντος πατριάρχου κυροῦ νικολάου ὡς ἀναγόμενον[1] εἰς ε' βαθμὸν, διὰ τὸ προτιμᾶσθαι κατὰ τὴν τοῦ νόμου καὶ τοῦ κανόνος περίληψιν τὴν πνευματικὴν συγγένειαν τῆς φυσικῆς ἤγουν τῆς σαρκικῆς. τοῦτο δὲ ὡρίσθη κρατεῖν καὶ ἐπὶ τῆς υἱοθεσίας, διὰ τὸ καὶ τὴν ἐκ ταύτης συγγένειαν ἀπὸ θεοῦ καὶ θείων εὐχῶν τελετὴν συνίστασθαι, καθὼς περιέχει καὶ ἡ νεαρὰ τοῦ φιλοσόφου βασιλέως[2]. τὴν σήμερον δὲ οὐκ ἐνεργεῖται ποσῶς ἡ τοιαύτη πρᾶξις.

35. [Ἔτι περὶ βαθμῶν συγγενείας][3]. — Ἡ συγγένεια γενικόν ἐστιν ὄνομα· καὶ προεγράφη εἰς τὸ α' κεφ. τοῦ τί. καὶ πρώτου βαθμοῦ ἐστι ἐπὶ τῶν ἀνιόντων πατὴρ καὶ μήτηρ, ἐπὶ δὲ τῶν κατιόντων υἱὸς καὶ θυγάτηρ. δευτέρου βαθμοῦ ἐστι ἐπὶ μὲν τῶν ἀνιόντων πάππος καὶ μάμμη, ἐπὶ δὲ τῶν κατιόντων ἔγγονος ἐγγόνη, ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἀδελφὸς ἀδελφὴ ἀπὸ πατρὸς καὶ μητρός. τρίτου βαθμοῦ ἐστιν ἐπὶ μὲν τῶν ἀνιόντων πρόπαππος καὶ [προ]μάμμη, ἐπὶ δὲ τῶν κατιόντων προέγγονος προεγγόνη, ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἀδελφοῦ καὶ ἀδελφῆς υἱὸς καὶ θυγάτηρ, καὶ ἀκολούθως ὁ πρὸς πατρὸς καὶ μητρὸς θεῖος καὶ θεία. τετάρτου βαθμοῦ ἐστιν ἐπὶ τῶν ἀνιόντων ἀπόπαππος καὶ ἀπομάμμη, ἐπὶ τῶν κατιόντων ἀπέγγονος ἀπεγγόνη, ἐπὶ τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς ἑκατέρας φύσεως ἔγγονος ἐγγόνη, καὶ ἀκολούθως μέγας θεῖος καὶ μεγάλη θεία πρὸς πατρὸς καὶ μητρὸς, τουτέστι τοῦ πάππου καὶ τῆς μάμμης[4] ἀδελφὸς καὶ ἀδελφὴ, ἢ ἐξάδελφος καὶ ἐξαδέλφη. πέμπτου ἐστὶ βαθμοῦ ἐπὶ τῶν ἀνιόντων δίσπαππος καὶ δισμάμμη, ἐπὶ τῶν κατιόντων δισέγγονος δισεγγόνη, ἐπὶ τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς προέγγονος προεγγόνη, καὶ ἀκολούθως μείζων θεῖος καὶ μείζων θεία πρὸς πατρὸς καὶ μητρὸς, τουτέστι [τοῦ προπάππου καὶ προμάμμης ἀδελφὸς ἀδελφὴ, ... τουτέστι] θείου μεγάλου ἢ θείας μεγάλης υἱὸς καὶ θυγάτηρ, πρὸς πατρὸς καὶ μητρὸς θείου καὶ θείας ἔγγο–

---

[1] Apud Bals. οὐκ ἀναγ. editum est, quod ex hoc loco corrigas. [2] Bals. ad c. 53 syn. Trull. [3] Hanc rubricam Lips. non praestat. Adjeci ex Paris. 1351 A. [4] Cod. Lips. ὁ ἀπὸ πάππου καὶ ἡ ἀπὸ μάμμης.

νος [ἐγγόνη. ἕκτου βαθμοῦ ἐστιν ἐπὶ τῶν ἀνιόντων τρίσπαππος τρισμάμμη, ἐπὶ δὲ τῶν κατιόντων τρισέγγονος τρισεγγόνη, ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἀδελφοῦ καὶ ἀδελφῆς πρὸς πατρὸς καὶ μητρὸς ἀπέγγονος ἀπεγγόνη, καὶ ἀκολούθως θεῖος μέγιστος καὶ θεία μεγίστη πρὸς πατρὸς καὶ μητρὸς ἤτοι ἀποπάππου καὶ ἀπομάμμης ἀδελφὸς ἢ ἀδελφή. τοῦ αὐτοῦ εἰσι βαθμοῦ καὶ οἱ ἐκ δύο [ἐξ]αδέλφων τικτόμενοι, οἵτινες καὶ αἵτινες ..... τουτέστι θείου μείζονος καὶ θείας μείζονος υἱὸς καὶ θυγάτηρ, θείου μεγάλου καὶ θείας μεγάλης ἔγγονος ἐγγόνη, θείου καὶ θείας πρὸς πατρὸς καὶ μητρὸς προέγγονος προεγγόνη. ἀλλ' ἐπειδὴ μᾶλλον ἀκοῆς ἀκριβεστέρα ὑπάρχει ἡ ὄψις, μετὰ τὴν ἀφήγησιν τῶν βαθμῶν καὶ αὐτοὺς ἀκριβῶς τῷ παρόντι χαρτίῳ ἐνεγράψαμεν, ἵνα οἱ ἐντυγχάνοντες τῇ ἀκοῇ καὶ τῇ θέᾳ τελειοτάτης τύχωσι διδασκαλίας. ἐστὶ δὲ αὕτη ἡ κατάστασις τῶν βαθμῶν[1]. — εἰς τρεῖς τάξεις ἡ συγγένειά ἐστι διαιρουμένη, εἰς ἀνιόντας, κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνωτέρα ἐστὶ ἡ τῶν γονέων, κατωτέρα ἡ τῶν παίδων, ἡ δὲ ἐκ πλαγίου τῶν ἀδελφῶν ἑκατέρας φύσεως καὶ τούτων ὅστις καὶ ἥτις [κατάγεται], καὶ ἀκολούθως οἱ πρὸς πατρὸς καὶ μητρὸς θεῖοι καὶ θεῖαι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι, κατὰ τὸ τῆς γραφῆς σχῆμα, ὅπερ εὑρήσεις ἔμπροσθεν[2].

36. Ἰστέον δέ, ὅτι ἐπὶ τῶν ἀνιόντων ὁ πατήρ μου καὶ ἡ μήτηρ μου πρώτου βαθμοῦ εἰσι, καὶ ἀνέρχεται ἄχρι τοῦ τρισπάππου καὶ τῆς τρισμάμμης, ὅς ἐστι βαθμὸς ἕκτος, ἅτινα πρόσωπα εἰς συνέλευσιν κωλύονται. ἐπὶ δὲ τῶν κατιόντων ὁ υἱός μου καὶ ἡ θυγάτηρ μου πρώτου βαθμοῦ εἰσι, καὶ κατέρχεται μέχρι τοῦ τρισεγγόνου καὶ τῆς τρισεγγόνης, ὅς ἐστι καὶ αὐτὸς ἕκτος βαθμός, ἅτινα πρόσωπα ὁμοίως κωλύονται. ἐπὶ δὲ τῶν ἐκ πλαγίου ὁ ἀδελφός μου καὶ ἡ ἀδελφή μου δευτέρου βαθμοῦ εἰσι, καὶ κωλύονται ἄχρι τοῦ τρισεξαδέλφου καὶ τῆς τρισεξαδέλφης, ὅς ἐστι βαθμὸς ὄγδοος. ἔπειτα ὁ ἀδελφός μου β' βαθμοῦ ἐστι· ὁ πρῶτος ἐξάδελφός μου δ', ὁ δισεξάδελφός μου ς' καὶ ὁ τρισεξάδελφος η'. ὁ δὲ ἀνεψιός μου καὶ ἡ ἀνεψιά μου γ' βαθμοῦ εἰσι, καὶ ὁ θεῖός μου καὶ ἡ θεία μου ὡσαύτως. ἔξεστι δὲ τοῖς πρώτοις δυσὶν ἐξαδέλφοις λαμβάνειν ἀλλοτρίας β' πρώτας ἐξαδέλφας. εἰ δὲ θείαν καὶ ἀνεψιὰν λάβωσιν, ἔχειν αὐτὰς δεῖ· ὁμοίως καὶ δύο ἀδελφὰς λαμβάνειν δυσὶ δισεξαδέλφοις καὶ τὸ ἀνάπαλιν. οἱ δὲ τέταρ-

---

[1] Haec §. Ἀλλ' — βαθμῶν in Paris. 1368 deest. [2] App. Eclogae I.

τοι ἐξάδελφοι συνέρχεσθαι πρὸς ἀλλήλους χωρὶς λόγου τινός.

37. [*Ἔτι περὶ βαθμῶν*][1]. — *Δύο ἀδελφοὶ λαμβάνειν ἀλλήλους οὐ δύνανται, κἂν ἑτεροθαλεῖς εἰσιν, ἤγουν ἑνὸς μὲν πατρὸς δύο δὲ μητέρων, ἢ πάλιν μιᾶς μὲν μητρὸς δύο δὲ πατέρων. δευτέρου γάρ εἰσι βαθμοῦ, ὡς προείρηται.*

38. *Θεῖος καὶ ἀνεψιὸς, ἢ ἀδελφὸς τοῦ πατρὸς ἢ τῆς μητρὸς καὶ ἀδελφότεκνος, συνελθεῖν εἰς γάμον ἀλλήλοις οὐ δύνανται. τρίτου γάρ εἰσι βαθμοῖ.*

39. *Οἱ πρῶτοι ἐξάδελφοι ὁμοίως κεκώλυνται· τετάρτου γάρ εἰσι βαθμοῦ.*

40. *Ὁ πρῶτος ἐξάδελφος καὶ πρώτου ἐξαδέλφου παιδίον, ἤγουν θεῖος μικρὸς καὶ ἀνεψιὸς, ὁμοίως κεκώλυνται· πέμπτου γάρ εἰσι βαθμοῦ.*

41. *Οἱ δεύτεροι ἐξάδελφοι ὁμοίως κεκώλυνται· ἕκτου γάρ εἰσι βαθμοῦ. ἕως τούτου, κἂν φθάσῃ γενέσθαι γάμος, λύεται τὸ συνοικέσιον, καὶ ὁ εὐλογήσας ἱερεὺς καθαίρεται.*

42. *Ὁ δεύτερος ἐξάδελφος καὶ δευτέρου ἐξαδέλφου παιδίον κεκώλυνται· ἑβδόμου γάρ εἰσι βαθμοῦ. πλὴν ἐὰν φθάσῃ κατὰ λήθην γενέσθαι ὁ γάμος, οὐ λύεται, ἐπιτιμᾶται δὲ, καὶ ὁ εὐλογήσας ἱερεὺς ἐν εἰδήσει ὢν καθαιρεῖται.*

43. *Οἱ τρίτοι ἐξάδελφοι οὐ κωλύονται· ὀγδόου γάρ εἰσι βαθμοῦ. πλὴν ἡ ἀκρίβειά τινων καὶ τούτους ἀφίησιν, ἀλλὰ προτρέπει ἐλεημοσύνῃ καὶ εὐποιΐαις τὸ θεῖον ἐξιλεώσασθαι.*

44. *Καὶ ταῦτα μὲν περὶ τῆς ἐξ αἵματος συγγενείας, ἥτις καὶ σαφῆ καὶ εὔληπτον ἔχει τὴν διάκρισιν. ἐπεὶ δὲ καὶ ἑτέρας εἶδος συγγενείας ἐπιγνώσκεται, δι' ὀλίγων καὶ περὶ τούτου ἐροῦμεν. οὐ δύναμαι λαβεῖν εἰς γυναῖκα τὴν ἐμὴν μητρυιὰν, κἂν ὅτι μάλιστα ἀλλοτρίου γένους μου ἐστίν. οὐδὲ τὴν γυναῖκα τοῦ θείου μου· μητέρων γὰρ τάξιν ἐπέχουσιν. οὐδὲ τὴν ἀδελφὴν τῆς μητρυιᾶς μου, τὴν ἐξ ἑτέρου ἀνδρὸς ἀποτεχθεῖσαν· ἀδελφῆς γὰρ ἔχει τάξιν. ἀλλ' οὐδὲ τοῦ υἱοῦ μου τὴν γυναῖκα ἢ τοῦ προγόνου μου ἤγουν τοῦ υἱοῦ τῆς γυναικός μου, θυγατέρων γὰρ τάξιν ἐπέχουσιν. καὶ ἁπλῶς πάντων τῶν συγγενῶν μου, οὐ μόνον τῶν ἀνιόντων καὶ τῶν κατιόντων, ἀλλὰ*

---

[1] Hanc rubricam Lips. Codex praetermittit. — Caeterum quae sequuntur pleraque e quatuor circiter tractatibus de cognatione et nuptiis compilata sunt; quae aliunde cognita sunt, in notis indicabo.

καὶ τῶν ἐκπλαγίων τὰς γαμετὰς λαβεῖν οὐ δύναμαι, ἐκείνων δηλαδή, μεθ᾽ ὧν οὐ δύναμαι γαμικὸν ἐνστήσασθαι συνάλλαγμα.

45. Περὶ δὲ τῶν προσώπων τῶν καθ᾽ αἷμα κοινωνούντων ταῖς γαμεταῖς τῶν ἐμῶν συγγενῶν ὁ λόγος ἐστίν. ἔχει δὲ οὕτως· οἱ δύο ἀδελφοὶ δευτέρου εἰσὶ βαθμοῦ, ὡς προείρηται, καὶ αἱ δύο ἀδελφαὶ ἄλλου γένους οὖσαι πάντως καθ᾽ ἑαυτὰς δευτέρου εἰσὶ βαθμοῦ· ἔλαβεν ὁ εἷς ἀδελφὸς τὴν μίαν τῶν ἀδελφῶν, καὶ ἐχρημάτισε συγγενὴς τῆς ἀδελφῆς τοῦ ἀνδρὸς αὐτῆς· γέγονε γὰρ νύμφη αὐτοῦ· ἥ γουν ἀδελφὴ τῆς νύμφης κἂν φύσει συγγενὴς οὐκ ἔστιν, οὐδὲ βαθμὸς συγγενείας γνωρίζεται μέσον τῶν τοιούτων ἤγουν τῶν συμπενθερῶν τοῦ ἀδελφου τοῦ γαμβροῦ καὶ τῆς ἀδελφῆς τῆς νύμφης (οὐδὲ γὰρ ἔχουσι πρῶτον πρόσωπον αἴτιον τὸ συνάπτον αὐτὰς ὡς ἐπὶ τῶν ἐξ αἵματος συγγενῶν), ἀλλ᾽ ὅμως ἐπινοίᾳ τετάρτου λογίζονται βαθμοῦ· ὅθεν οἱ δύο ἀδελφοὶ λαβεῖν οὐ δύνανται. τέταρτον γὰρ ὡς εἴρηται ἐπέχουσι βαθμὸν ὡς οἱ πρῶτοι ἐξάδελφοι.

46. Οἱ δύο ἀδελφοὶ θείᾳ καὶ ἀνεψιᾷ συμπλακῆναι πρὸς γάμον οὐ δύνανται. οἱ δύο ἀδελφοὶ δευτέρου βαθμοῦ, καὶ ἡ θεία πρὸς τὴν ἀνεψιὰν τρίτου βαθμοῦ, καὶ κἂν μὴ φύσει ἀλλ᾽ ἐπινοίᾳ πέμπτου εὑρίσκονται βαθμοῦ.

47. Καὶ αἱ πρῶται ἐξαδέλφαι τετάρτου, ἰδοὺ ἕκτος βαθμὸς ἐπινοίᾳ ὡς εἴρηται καὶ ὅμως κωλύονται. ἕως τούτου, κἂν συνέλθωσιν εἰς γάμον, χωρίζονται, καὶ ὁ εὐλογήσας ἱερεὺς καθαιρεῖται.

48. Οἱ δύο ἀδελφοὶ πρώτην ἐξαδέλφην ἑτέρου γένους καὶ τῆς πρώτης αὐτῆς ἐξαδέλφης τὴν θυγατέρα, ἤγουν μικρὰν θείαν καὶ ἀνεψιάν, οὐ λαμβάνουσιν· οἱ δύο γὰρ ἀδελφοὶ β′ βαθμοῦ, ἡ θεία καὶ ἡ ἀνεψιὰ ἤγουν ἡ ἐξαδέλφη τῆς μητρὸς καὶ ἡ ἐξαδελφοτέκνη ε′ βαθμοῦ· εὑρίσκονται γὰρ ἐπινοίᾳ ζ′ βαθμοῦ, καὶ κωλύονται· πλὴν ἐὰν φθάσῃ γενέσθαι ὁ γάμος, οὐ λύεται, ἐπιτιμᾶται δὲ ἐπὶ χρόνοις β′.

49. Οἱ δύο ἀδελφοὶ δευτέρας ἐξαδέλφας ἀλλογενεῖς ἀκωλύτως λαμβάνουσιν· οἱ δύο γὰρ ἀδελφοὶ β′ βαθμοῦ, καὶ αἱ δύο ἐξαδέλφαι καθ᾽ ἑαυτὰς ϛ′ βαθμοῦ· ἰδοὺ ὀκτώ, καὶ ἐστὶν ἀκώλυτον.

50. Διασαφήσωμέν σοι καὶ περὶ τῶν καθεξῆς βαθμῶν. θεῖος καὶ ἀνεψιὸς θείᾳ καὶ ἀνεψιᾷ συνελθεῖν ἀπὸ μὲν τοῦ σισινίου κεκώλυνται· ἕκτου γὰρ κατ᾽ ἐπίνοιαν λογίζονται βαθμοῦ· ὁ θεῖος γὰρ πρὸς τὸν ἀνεψιὸν γ′ βαθμοῦ, καὶ ἡ θεία πρὸς τὴν ἀνεψιὰν γ′ βαθμοῦ· ἀπὸ δὲ τοῦ τρακτάτου τοῦ μεγάλου δρουγγαρίου τῆς βίγλης τοῦ σκυλίτζη καὶ διαφόρων

συνοδικῶν κρίσεων καὶ σημειωμάτων βασιλικῶν τοῦ κομνηνοῦ κυροῦ ἀλεξίου[1] οὐ κωλύονται· ὁρῶμεν γὰρ τοῦτο εἰς πλάτος πραττόμενον, κἂν, ὡς ἀνωτέρω εἴρηται, οἱ δύο ἀδελφοὶ β′ ὄντες βαθμοῦ πρὸς τοὺς πρώτους ἐξαδέλφους δ′ ὄντας βαθμοῦ κωλύονται· ἕκτου γάρ εἰσι βαθμοῦ, ἀναλογιζόμενοι κατὰ τὴν ἐπινοίᾳ συγγένειαν· ἀλλ᾽ οὗτοι οὐ κωλύονται τοῦ αὐτοῦ ς′ βαθμοῦ εὑρισκόμενοι, διὰ τὸ ἐκεῖσε μὲν τοὺς β′ ἀδελφοὺς πολλὴν ἔχειν πρὸς ἀλλήλους τὴν καθ᾽ αἷμα ἐγγύτητα, ἐνταῦθα δὲ τὸν θεῖον καὶ τὸν ἀνεψιὸν ἠρέμα πως τῆς συγγενείας μακρύνεσθαι. ὅμως μέντοι κατὰ τὸ ἐγχωροῦν πρὸ τοῦ γενέσθαι χρὴ τὸν γάμον κωλύεσθαι.

51. Θεῖος καὶ ἀνεψιὸς γ′ ὄντες βαθμοῦ πρὸς πρώτας ἐξαδέλφας δ′ οὔσας βαθμοῦ οὐ κωλύονται· ζ′ γὰρ ἐπινοίᾳ εὑρίσκονται βαθμοῦ. ὁμοίως δύο πρῶτοι ἐξάδελφοι δ′ ὄντες βαθμοῦ πρώτας ἐξαδέλφας δ′ ὁμοίως οὔσας βαθμοῦ ἀκωλύτως λαμβάνουσιν· ὀγδόου γὰρ καὶ οὗτοι βαθμοῦ τῇ ἐπινοίᾳ λογίζονται. — ἔχεις ἐν ὀλίγῳ περὶ τῶν κεκωλυμένων γάμων καὶ τῶν μὴ τοιούτων τὴν κατάληψιν, εἰ ἀκριβῶς καὶ ἐπιμελῶς ἐγκύψεις τούτῳ τῷ βραχυτάτῳ πονήματι· εἰδέναι δὲ ὀφείλεις, ὡς ὁ μέγας λέγει βασίλειος, καὶ τὴν τῆς ἀκριβείας καὶ τὴν τῆς συνηθείας, καὶ ὅτι ἐπὶ τῶν γάμων οὐ μόνον τὸ ἐπιτετραμμένον ἀλλὰ καὶ τὸ εὐπρεπὲς σκοποῦμεν, καθά φησιν ὁ αὐτὸς, ὅτι οὐ χρὴ ἐν τοῖς τοιούτοις σύγχυσιν τῶν ὀνομάτων τῆς συγγενείας εὑρίσκεσθαι.

52. Ἔκθεσις θαυμασία περὶ γάμων ἐνδεχομένων γενέσθαι ἢ μὴ γενέσθαι. — Ὁ μιχαὴλ καὶ ἡ ἄννα ἀδελφοὶ ὄντες κεκώλυνται εἰς γάμον· δεύτερον γὰρ σώζουσι βαθμόν. ὁ μιχαὴλ ἔχει υἱὸν καὶ ζητεῖ λαβεῖν τὴν ἄνναν· κεκώλυνται ὡς γ′ βαθμοῦ ὄντες· θεῖος γὰρ καὶ ἀνεψιὸς γ′ βαθμὸν ἀποτελοῦσι καὶ κωλύονται.

53. Ἰωάννης καὶ μαρία πρῶτοι ἐξάδελφοι ὄντες κωλύονται ὡς δ′ βαθμοῦ ὄντες. ἡ μαρία ἔτεκε θυγατέρα· αἰτεῖ ταύτην ὁ ἰωάννης ἀπὸ ἐξαδέλφης τῆς μητρὸς αὐτῆς· κεκώλυται ὁ γάμος· ε′ γὰρ βαθμὸν σώζουσι.

54. Παῦλος καὶ μάρκος δισεξάδελφοι ὄντες εἰς γάμον κωλύονται· ς′ γὰρ βαθμὸν σώζουσι πρὸς ἀλλήλους. ὁ παῦλος ἔτεκε θυγατέρα καὶ ζητεῖται παρὰ τοῦ μάρκου· ὁ γάμος οὗτος μετὰ[2] τῆς τοῦ παύλου θυγατρὸς τὸν ζ′ σώζουσι βαθμὸν, ὃς

---

[1] Coll. IV Nov. 40. [2] Cod. Lips. μέχρι.

παρὰ τῶν νόμων σεσιώπηται, παρὰ δὲ τοῦ πατριάρχου κυροῦ ἀλεξίου καὶ τῆς τότε συνόδου κεκώλυται καὶ οὐ κεκώλυται· κεκώλυται μὲν πρὸ τοῦ προβῆναι καὶ τελεσθῆναι, μετὰ δὲ τὸ προβῆναι καὶ τελεσθῆναι οὐ διασπῶνται μὲν οἱ συναφθέντες, καθυποβάλλονται δὲ ἐπιτιμίοις κατὰ τὴν συνοδικὴν οἰκονομίαν.

55. Ὁ πέτρος καὶ ὁ παῦλος οἱ δισεξάδελφοι ἔτεκον παῖδας καὶ θέλουσι συνάψαι αὐτοὺς νομίμως. οὗτος ὁ γάμος οὐ κεκώλυται· η′ γάρ ἐστι βαθμοῦ.

56. Κωνσταντῖνος καὶ βασίλειος πρῶτοι ἐξάδελφοι· ὁ κωνσταντῖνος ἔτεκε θυγατέρα, καὶ ζητεῖται παρὰ τοῦ βασιλείου. ὁ γάμος οὗτος κωλύεται παντάπασι· δισεξάδελφοι σώζουσι τὸν ς′ βαθμόν.

57. Ὅρα καὶ τοὺς ἐξ ἀγχιστείας· δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς κωλύονται· δ′ γὰρ σώζουσι ἀγχιστείας βαθμόν· διὸ τὸν μὲν γενόμενον πρῶτον ἔασον, τὸν δὲ δεύτερον κώλυσον· εἰ δὲ γένηται, διάσπασον.

58. Δύο ἀδελφοὶ εἰς θείαν καὶ ἀνεψιάν· καὶ ἐνταῦθα τὸν πρῶτον ἔασον, τὸν δὲ δεύτερον ἐξάπαντος κώλυσον καὶ γενόμενον διάσπασον· ε′ γὰρ ἐξ ἀγχιστείας σώζουσι βαθμόν.

59. Δύο ἀδελφοὶ εἰς δύο πρώτας ἐξαδέλφας· ὁμοίως καὶ ἐνταῦθα τὸν προβεβηκότα ἔασον, τὸν δὲ μετὰ τοῦτον γενόμενον μὲν διάλυσον, μὴ γινόμενον δὲ κώλυσον· οἱ γὰρ δύο ἀδελφοὶ β′ εἰσὶ βαθμοῦ καὶ οἱ δύο πρῶτοι ἐξάδελφοι δ′· οἱ τοιοῦτοί γουν γάμοι πρὸ μὲν τοῦ νόμου τοῦ κυροῦ σισινίου τοῦ πατριάρχου προέβαινον, μετὰ δὲ τὸν νόμον οὗτοι κεκώλυνται διὰ τὸ ἐξ ἀμφοτέρων τῶν γονέων ς′ βαθμὸν περαίνεσθαι.

60. Ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἐξ ἀγχιστείας γάμων ἐὰν τρεῖς μὲν ἐντεῦθεν βαθμοὶ, τρεῖς δ′ ἐκεῖθεν τύχωσιν, οὐ κωλύονται συναφθῆναι ἀλλήλοις· οἷον θεῖος καὶ ἀνεψιὸς γ′ ὄντες βαθμοῦ εἰς θείαν καὶ ἀνεψιὰν γ′ οὔσας βαθμοῦ. ἔνθα δὲ ἀπὸ μὲν τοῦ ἑνὸς μέρους εἰσὶ δύο βαθμοὶ, ἀπὸ δὲ τοῦ ἄλλου τέσσαρες, κεκώλυται ὁ γάμος.

61. Δύο πρῶτοι ἐξάδελφοι εἰς προμάμμην καὶ προεκγόνην· ὁ προγενόμενος κρατείτω γάμος, ὁ δὲ μεταγενέστερος διασπασθήτω· εἰ γὰρ καὶ ἕβδομός ἐστι βαθμὸς, ἀλλ᾽ ἄσεμνον καὶ ἀπρεπές ἐστι τοῖς δύο πρώτοις ἐξαδέλφοις γαμηθῆναι προμάμμην καὶ προεκγόνην· τοῦ γένους γάρ ἐστι σύγχυσις· γίνονται γὰρ ἡ μάμμη καὶ προεκγόνη σύννυμφαι, ὅπερ ἄτοπον.

62. *Ὁ πέτρος εἰς δύο δευτέρας ἐξαδέλφας· ὁ δεύτερός γουν τούτων γάμος ἀτοπώτατος καὶ παρανομώτατος, ὃν καὶ διάλυε· πῶς γὰρ τόν ποτε τῆς μιᾶς ἐξαδέλφης τυγχάνοντα σύζυγον ὁ γαμβρὸς νῦν αὐταῖς γενέσθαι ἀνὴρ θανάτῳ ἴσως τῆς προτέρας ἢ καὶ διαζυγίῳ διασπασθέντος.*

63. *Δύο ἀδελφοὶ εἰς θείαν καὶ ἀνεψιὰν ἀπὸ πρώτων ἐξαδέλφων εἰς γάμον οὐ κεκώλυνται· ἕβδομον γὰρ σώζουσιν ἐξ ἀγχιστείας βαθμόν.*

64. *Δύο ἀδελφοί εἰς θείαν καὶ δευτέραν ἀνεψιάν· ἐνταῦθα τὸν προγεγονότα ἐπὶ τούτοις γάμον ἔασον, τὸν δὲ μετὰ τοῦτον γενόμενον διάλυσον, μὴ γινομένου δὲ κώλυσον· οἱ γὰρ δύο ἀδελφοὶ β′ βαθμοὶ τυγχάνουσιν, ἡ θεία δὲ [καὶ] ἡ τῆς ἀνεψιᾶς αὐτῆς θυγάτηρ ἤγουν δευτέρα ἀνεψιὰ τῆς μεγάλης θείας δ′ σώζουσι βαθμόν· καὶ κεκώλυνται, κἂν καὶ ἓξ βαθμοὶ ἐξ ἀμφοτέρων τῶν μερῶν σώζωσιν· ἔνθα γάρ εἰσιν ὡς προείπομεν δύο ἀφ᾽ ἑνὸς μέρους βαθμοὶ, ἄλλοθεν δὲ τέσσαρες, κωλύονται, καθὼς καὶ ἐπὶ ταῖς δυσὶ πρώταις ἐξαδέλφαις δύο ἀδελφοὶ κατὰ τὴν ἐκεῖ γραφεῖσαν αἰτίαν.*

65. *Πατὴρ καὶ υἱὸς εἰς θείαν καὶ ἀνεψιὰν ἀπὸ πρώτων ἐξαδέλφων· ὁ πατὴρ καὶ ὁ υἱὸς ἕνα βαθμὸν ἀποτελοῦσι καὶ διὰ τοῦτο κωλύονται ἔχειν θείαν καὶ ἀνεψιὰν πέμπτου οὔσας βαθμοῦ· τοίνυν ὁ μὲν πρῶτος γάμος κρατείτω, ὁ δὲ δεύτερος κωλυθήτω.*

66. *Δύο πρῶτοι ἐξάδελφοι εἰς θείαν καὶ ἀνεψιὰν οὐ κεκώλυνται· σώζουσι γὰρ εἰς ἀλλήλους ζ′ ἐξ ἀγχιστείας βαθμόν.*

67. *Γαμβρὸς καὶ πενθερὸς ἐχήρευσεν· λαβὼν ὁ πενθερὸς κατὰ δεύτερον γάμον τὴν ἄνναν, ζητεῖ καὶ ὁ γαμβρὸς λαβεῖν τὴν ἀνεψιὰν τῆς ἄννης· οὐ γενήσεται διὰ τὴν τῶν ὀνομάτων σύγχυσιν καὶ τὴν ἐντεῦθεν ἀπρέπειαν.*

68. *Τῆς*[1] *γυναικός μου τελευτησάσης ζητῶ λαβεῖν εἰς νόμιμον γάμον τοῦ συγγάμβρου μου τὴν ἀδελφήν· οὐ κωλύεται τοῦτο διὰ τὸ μηδεμίαν συγγένειαν ἔχειν σὲ πρὸς τὴν ἀδελφὴν τοῦ συγγάμβρου σου.*

69. *Ἐμὲ τὸν ἰωάννην ἔξεστι λαβεῖν νομίμως τοῦ συντέκνου μου τὴν ἀδελφήν; ναί· ἀκώλυτον γάρ ἐστιν.*

70. *Ἔξεστί μοι λαβεῖν τὴν θυγατέρα τῆς δισεξαδέλφης τῆς γυναικός μου; ναί· ἀκώλυτον γάρ ἐστιν.*

71. *Ἔξεστι πατέρα καὶ υἱὸν λαβεῖν δύο δευτέρας ἐξαδέλ-*

---

[1] Nonnulli Codices hic et deinceps *ἐρώτησις* et *λύσις* adscribunt.

φας; οὐχί· κωλύονται γάρ· ὁ γὰρ πατὴρ καὶ ὁ υἱὸς ἕνα βαθμὸν ἀποτελοῦσι καὶ κωλύονται.

72. Τῆς γυναικός μου τελευτησάσης ζητῶ λαβεῖν τὴν θείαν αὐτῆς ἤγουν τὴν δευτέραν ἐξαδέλφην τῆς πενθερᾶς μου· ἀκώλυτόν ἐστιν· ἡ γὰρ γυνή σου καὶ ἡ τῆς πενθερᾶς σου δευτέρα ἐξαδέλφη ζ′ σώζουσι βαθμὸν καὶ σὺ ἕνα βαθμόν.

73. Ἐπόρνευσα μετά τινος γυναικὸς καὶ νῦν ζητῶ λαβεῖν τὴν μητρυιὰν αὐτῆς ἤγουν τὴν κατὰ δεύτερον γάμον συναφθεῖσαν τῷ πατρὶ αὐτῆς. *Λύσις.* Εἴπερ ἐστὶ φανερὰ ἡ πορνεία, κωλύεται διὰ τὴν σύγχυσιν τῶν ὀνομάτων.

74. Τῆς γυναικός μου τελευτησάσης ζητῶ νομίμως λαβεῖν τὴν δισεξαδέλφην αὐτῆς. καὶ κεκώλυται διὰ τὴν σύγχυσιν τῆς συγγενείας.

75. Τῆς γυναικός μου τελευτησάσης ζητῶ λαβεῖν τὴν θυγατέρα τῆς πρώτης ἐξαδέλφης αὐτῆς. πάντη κεκώλυται τοῦτο.

76. Ἐὰν συμφθαρῶ μετὰ γυναικὸς κατὰ πορνείας λόγον, δύναμαι λαβεῖν νομίμως τὴν ταύτης δισεξαδέλφην. καὶ αὖθις ὁ πορνικῶς συνελθὼν γυναικὶ οὐ κωλυθήσεται εἰς γυναῖκα λαβεῖν τὴν δισεξαδέλφην αὐτῆς· ἀλλὰ καὶ ὃς ἐκ δ′ καὶ γ′ συνίσταται γάμος καὶ ἐκ ε′ καὶ β′.

77. Τὴν πορνείαν μήτε γάμον μήτε γάμου ἀρχὴν ὁ μέγας γνωματεύει *Βασίλειος*, ἀλλ᾽ ἁμάρτημα ἐπιτιμίοις ἐκκλησιαστικοῖς ὑποκείμενον[1].

78. *Ἔτι περὶ βαθμῶν*[2]. — Καὶ ὁ υἱοθετούμενος τὸν ἴδιον γαμβρὸν λύει τὸν γάμον.

79. Καὶ ὁ τὸν υἱὸν αὐτοῦ ἀναδεχόμενος ἀπὸ τοῦ ἁγίου βαπτίσματος τῆς γυναικὸς αὐτοῦ διαζεύγνυται.

80. Ἡ τοῦ ἀδελφοῦ μου γαμετὴ δευτέρου μοί ἐστι βαθμοῦ ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν ἑνουμένη.

81. Ἡ δὲ ἀδελφὴ τῆς νύμφης τετάρτου μοί ἐστι βαθμοῦ.

82. Καὶ ἡ θεία τῆς νύμφης πρὸς μὲν τὴν νύμφην τρίτου ἐστὶ βαθμοῦ, πρὸς δὲ ἐμὲ πέμπτου.

83. Καὶ ἡ ἐξαδέλφη τῆς νύμφης πρὸς μὲν τὴν νύμφην τετάρτου ἐστὶ βαθμοῦ, πρὸς δὲ ἐμὲ ἕκτου. καὶ τούτων τῶν τριῶν οὐδεμίαν δύναμαι πρὸς γάμον ἀγαγέσθαι. τὴν δὲ δισεξαδέλφην τῆς νύμφης δύναμαι γαμεῖν ἀκωλύτως, διότι πρὸς

---

[1] Videsis sententiam Demetrii Chomateni in Σύντ. τῶν καν. ed. Rhalli V. p. 439. [2] In margine adjicitur: σῆ· ποῖος γάμος καλεῖται ἀθέμιτος, καὶ ποῖος κεκωλυμένος.

μὲν τὴν νύμφην μου ἤγουν τὴν τοῦ ἀδελφοῦ μου γαμετὴν αὕτη βαθμοῦ ἐστιν ἕκτου, πρὸς δὲ ἐμὲ ὀγδόου. οὕτω πᾶς τις ἀριθμῶν τὰς γεννήσεις πρὸς ἑαυτὸν καὶ ὀγδόῳ περιτυγχάνων βαθμῷ οὐ κωλύεται τούτῳ πρὸς γάμου συνάφειαν, καὶ τὰ τοιαῦτα τῶν συνοικεσίων οὔτε τοῖς νόμοις οὔτε τῷ ἱερῷ κανόνι ἐπιτιμήσεως λόγῳ καθυποβάλλεται.

84. Ἐστὶ καὶ ἑτέρα συγγένεια διὰ θέσεως εἴτ' οὖν υἱοθεσίας, ἣν δὴ καὶ αὐτὴν οὕτω παραφυλακτέον καθάπερ καὶ τὴν ἐξ αἵματος καὶ τὴν διὰ τοῦ θείου βαπτίσματος. ταύτην γὰρ ἔκ τε τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων τηρεῖν παρελάβομεν ὡς προέκκειται[1].

85. Ἡ δέ γε διὰ θέσεως ἀδελφότης ὡς ἀσύστατος καὶ ἀβέβαιος καὶ τῇ φύσει ἀνακόλουθος καὶ τῷ νόμῳ ἀνυπόβλητος οὐδόλως οὐδὲ εἰς γαμικὰ συνοικέσια ἐμποδοστατεῖ. φησὶ γὰρ τὸ λε' κεφ. τοῦ ιγ' τί. τοῦ λε' βι. ῥητῶς οὑτωσί· μηδὲ παρὰ ξένοις τοῖς ἔξω ῥώμης οἰκοῦσι διὰ θέσεως ἀδελφότης συνιστάσθω· κἂν τις ὡς ἀδελφὸς προσληφθεὶς κληρονόμος γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας. ὅθεν ἐπειδὴ οὕτω παρὰ τῶν νόμων ἡ διὰ θέσεως ἀδελφότης ἀποσκορακίζεται, οὐδὲ πρὸς συναλλαγὰς γαμικὰς ἔχει κώλυσιν ὁπωσοῦν ὡς ἔξω τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων πίπτουσα, ἀλλ' ἐᾷ ταύτας προβαίνειν ὡς μηδαμόθεν κώλυσίν τινα ἢ μέμψιν ἐπισυρομένας. ἡ θέσις γὰρ μιμεῖται τὴν φύσιν, ἡ φύσις δὲ υἱὸν μὲν ἐπιγινώσκει διὰ γεννήσεως, ἀδελφὸν δὲ οὐδαμῶς. εἰ δὲ ἀδελφὸν ἡ φύσις οὐ πέφυκεν ἀποτίκτειν, ἄρα καὶ ἡ θέσις ὡς μιμουμένη τὴν φύσιν οὐκ ἐξισχύει πρὸς ποίησιν ἀδελφότητος. ἀκώλυτα οὖν καὶ ἀκαταγόρητα καὶ παντάπασιν ἄμεμπτα τὰ συναλλάγματα τὰ ἔξωθεν τῶν ἄνωθεν εἰρημένων, ἔκ τε αἵματος, ἔκ τε ἀγχιστείας καὶ ἐκ θέσεως ἀμφοτέρας, τῆς τε τοῦ ἁγίου βαπτίσματος καὶ τῆς υἱοθεσίας. καὶ οὔτε δι' ἀδελφοποιΐας οὔτε δι' ἄλλης αἰτίας ὅλως παρατραπήσεται ὡς παρὰ τῆς τοῦ νόμου σιωπῆς τὸ ἔμπρακτον ἔχειν σαφῶς καταλαμβανόμενα.

86. Ὁ δὲ συνοδικὸς τόμος τοῦ μακαρίου σισινίου εἰ καὶ πολλαῖς παρεκβάσεσι κέχρηται, ἀλλὰ τὸ ὅλον ἐν τούτοις συνάγει· κωλύει γὰρ δύο ἀδελφοὺς δύο ἀδελφὰς λαμβάνειν, καὶ τὸ ἀνάπαλιν ἐξαδέλφους δύο δυσὶν ἀδελφαῖς συνάπτεσθαι καὶ

---

[1] Capp. 84 et 85 sumta sunt e tractatu Demetrii Chomateni. Cf. *Σύντ. τῶν κανόνων* ed. Rhalli V p. 426.

θεῖον καὶ ἀνεψιὸν ἀδελφὰς δύο γαμεῖν καὶ αὖθις δύο ἀδελφοὺς θείαν καὶ ἀνεψιὰν καὶ πλέον οὐδέν[1].

87. Ἓν ἐπὶ τούτοις ἐροῦμεν καὶ σύντομον. εἰ μὲν αὐτὰ τὰ περὶ συγχύσεως ἀπεριμερίμνως τῷ τόμῳ παρεῤῥιμμένα ῥητὰ, καὶ τῇ τοῦ μεγάλου βασιλείου ἐπιστολῇ ἀπαραλείπτως ἐγκείμενα δείξουσι, διδόσθω κατ᾽ αὐτοὺς καὶ τὴν τῶν πολλάκις μνημονευθέντων προσώπων συνάφειαν τῶν ἀθεμίτων ὑπάρχειν. ἔχει γὰρ καὶ οὕτως ὁ ἱερὸς καὶ μέγας βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ πνεύματος, κατὰ τὴν θεολόγον φωνὴν, ἐρευνῶν. οὗτος περί τινος ἀθεμίτου γάμου διαλεγόμενος ἐπίτομον γνώρισμα δίδωσιν, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσονται, ἐν οἷς, λέγων, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. καὶ ταῦτα μὲν ὁ τόμος. αὐτῇ δὲ τῇ ἐπιστολῇ περὶ τῶν ἐξ ἑνὸς ἀνδρὸς καὶ δυοῖν γυναικῶν ἀδελφῶν τικτομένων ὄντος τοῦ λόγου, πλέον οὐδὲν προσκείμενον εὑρεῖν ἐστὶ τῶν οὕτως ἐχόντων ῥητῶν. ἐκ ποίας, φησὶ, συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; ἀδελφοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. τοσαύτης οὖν διαφωνίας ὑπούσης τῶν τοῦ νόμου ῥητῶν πρὸς τὰ τοῦ θεοφάντορος καὶ τῇ φράσει καὶ τῇ ἐννοίᾳ, καὶ οὕτως ἀπεξενωμένων πρὸς ἄλληλα, ὡς διάκενον μόνον ἀναπλασμὸν παρὰ πᾶσι τὰ τοῦ τόμου ταῦτα νομίζεσθαι, ὁ τούτοις καθάπερ τινὶ καθολικῷ κανόνι ἀνεπιστάτως χρώμενος, καὶ τὰς τηλικαύτας ἐντεῦθεν συγχύσεις ἐπεισάγων τοῖς γάμοις, ἑαυτὸν δήπου λέληθεν ἀπατῶν, ὡς ἐξ ἀνυποστάτων ἀρχῶν, ὃ δὴ λέγεται, τὰ δοκοῦντα κατασκευάζειν τεχνώμενος. λείπεται τοίνυν πρὸς τὸ εὐπρεπὲς αὐτῶν, τοῦ εὐπρεποῦς πρόβλημά τε καὶ ἔρεισμα, μικρά τινα διαλαβεῖν. καὶ γὰρ οὗτοι μὴ διαστέλλοντες, ἀλλ᾽ ἕτερα ἀνθ᾽ ἑτέρων προβαλλόμενοι, καὶ τὰ ἐφ᾽ ἑτέρων ἐκφωνηθέντα κακούργως κλέπτοντες, καὶ τὰς τῶν ἁπλουστέρων ἀκοὰς παρασαίνοντες, τὸ, ἐν τοῖς γάμοις, φασὶν, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν, ἄνω καὶ κάτω προφέρουσιν. ὅπερ ὁ καὶ μικρὸν ἐγκύψας τοῖς νόμοις οὐκ ἀγνοήσει πάντως, ὅτι ὥσπερ ἐν τῷ μικρῷ πρὸ τούτου κεφαλαίῳ, πρὸς δὲ καὶ ιθ΄, περὶ τῶν φυσικῶν παίδων καὶ τῶν θετῶν, καὶ τῶν ἀπὸ δούλων καταγομένων, καὶ τῶν

[1] Capp. 86 et 87 ex meditatione Demetrii Syncelli (cf. Σύντ. τῶν καν. ed. Rhalli V p. 357. 362) hausta sunt.

ἐκ δουλικῆς ἀγχιστείας, καὶ ἑτέρων τινῶν τῷ νόμῳ διείληπται· οὕτω δὴ καὶ τὸ περιφόρητον δὴ τοῦτο τοῦ εὐπρεποῦς κεφάλαιον περὶ τῶν ἀπὸ τῶν ἀξιωματικῶν τικτομένων καὶ πατρώνων· ὥστε τοὺς μὲν μὴ ἀπελευθέροις, τοὺς δὲ μὴ σκηνικοῖς προσώποις πρὸς γάμον ἁρμόζεσθαι, τῷ νόμῳ κεκανόνισται. ὅτι δὲ τὸ τοιοῦτον κεφάλαιον ἰδιαζόντως πρὸς ἀπαγόρευσιν τῆς τῶν συγκλητικῶν πρὸς ἀπελευθέρους ἢ σκηνικοὺς συναφείας ἐκπεφώνηται, αὐτὸ τὸ τοῦ νόμου πλάτος παραστήσει ἀναγνωσθέν. ἐν ταῖς συναφείαις γάρ (φησι) τῶν γάμων, οὐ μόνον τὴν ἀκρίβειαν σκοπεῖσθαι χρεὼν, ἀλλ᾽ εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον. τοῦ δέ τοιούτου κανόνος τὴν ἀσάφειαν ἀνακαλύπτων ὁ στέφανος, καὶ ποίοις διδάσκων ἁρμόζεσθαι θέμασι· τοῦτο εἶπε (φησὶν) ἐν τῷ ις' κεφαλαίῳ, σενάτορις φίλια· ὡσανεὶ λέγων, σαφέστερον ἐκεῖ λέλεκται. εἶτα καὶ παρατίθεται αὐτὰ τὰ ῥητὰ, ἐξ ὧν καὶ δι᾽ ἃ εἴληπται.

88. Ὁ μέντοι ζωναρᾶς ἐξηγούμενος τὸν μς' κανόνα τοῦ μεγάλου βασιλείου, ὃς κάλλιον ἐὰν μείνῃ οὕτως τὴν τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς ἐν ἀγνοίᾳ γημαμένην φησὶν τοῦ γάμον ἕτερον συναλλάξαι, οὕτως ἔγραψεν· οὐ γὰρ εὔσχημον ζῶντος τοῦ ἀνδρὸς τὴν ὀνομασθεῖσαν ἐκείνου γυναῖκα ἑτέρῳ συμβιοῦν. λέγει γὰρ ὁ νόμος· ἐν τοῖς γάμοις οὐ [μόνον] τὸ ἐπιτετραμμένον ἀλλὰ καὶ τὸ εὐπρεπὲς σκοποῦμεν. καὶ σημείωσαι διὰ τὸ εὔσχημον ποῦ καὶ ἐπὶ τίνι τοῦτο προσήρμοσεν.

89. Περὶ δισεξαδέλφων δύο, ὧν ὁ μὲν εἷς συνάλλαγμα συνεστήσατο μετὰ θυγατρός τινος ἀτελοῦς οὔσης τὴν ἡλικίαν ἤτοι χρόνων πέντε πρὸς τῷ ἡμίσει, ἅτερος δὲ τῇ ταύτης συνεζύγη μητρὶ μετὰ τελευτὴν αὐτῆς, ὡς ἀντ᾽ οὐδενὸς δοκοῦντος τοῦ πρώτου γάμου διὰ τὸ παντελῶς ἀτελὲς τῆς κόρης.

90. Εἰ ἐνδέχεται ἴδιον πατέρα δέξασθαι ἴδιον παῖδα ἐκ τοῦ ἁγίου βαπτίσματος; κωλύεται· εἰ δὲ κατὰ ἄγνοιαν ἐγένετο, ὀφείλει χωρίζεσθαι τὸ ἀνδρόγυνον.

91. Ἐγράφη ἀπὸ βιβλίου παλαιοῦ[1]. — Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου νικολάου τοῦ μουζάλωνος ἐμνηστεύσατό τις γυναῖκα καὶ τῆς μνηστείας μὴ προβάσης εἰς γάμον, ἐξεχωρήθη ἡ τῆς μνηστῆς αὐταδέλφη ἐξαδέλφῳ πρώτῳ τοῦ μνήστορος γαμικῶς ἁρμοσθῆναι, ὡς μὴ τῆς μνηστείας

[1] Haec rubrica in Paris. 1356 adscribitur ad c. 90: in aliis omnino deest.

ἀρκούσης ἀντὶ τελείου γάμου. καὶ ζήτει τὰ περὶ τούτου ἐν τῇ ἑρμηνείᾳ τοῦ ξη΄ κανόνος τοῦ μεγάλου βασιλείου[1].

92. Τοῦτο εἰς κατάλυσιν τοῦ τόμου τοῦ κυροῦ σισινίου προετράπη, καὶ ματαία σκῆψις, ὅτι ἡ μνηστεία οὐκ ἀρκεῖ ἀντὶ γάμου. εὕρηται γὰρ ἐν τί. ε΄ κεφ. β΄ τῶν βασιλικῶν οὕτω· τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαμβάνειν κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχουσι· καὶ ὁ μνηστήν τινος ἁρπάσας ὡς μοιχὸς εὐθύνεται κατὰ τὸν ϛη΄ κανόνα τῆς ἐν τῷ τρούλλῳ συνόδου. καὶ ἕτερος νόμος φησίν· οὐ τῇ συναφείᾳ γάμος ἀλλὰ τῇ διαθέσει συνίσταται.

93. Ἡ[2] συγγένεια ἢ φύσει ἐστὶν ἢ θέσει. καὶ φύσει μέν ἐστι συγγένεια ἡ καλουμένη ἐξ αἵματος, ὅταν ᾖ μία τοῦ γένους σειρά. διαιρεῖται δὲ αὕτη ἡ φυσικὴ συγγένεια εἰς τρία, εἰς ἀνιόντας, εἰς κατιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ μήτηρ πάππος μάμμη πρόπαππος προμάμμη καὶ οἱ τούτων ἀνώτεροι, κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννηθέντες, οἷον υἱὸς θυγάτηρ ἔγγονος ἐγγόνη δισέγγονος δισεγγόνη καὶ οἱ τούτων κατώτεροι, ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεννήσαντες μήτε ἐξ ἡμῶν γεννηθέντες, ὑπὸ δὲ τὴν αὐτὴν καὶ μίαν ἀρχὴν καὶ γονὴν ἡμῖν ἀναγόμενοι, οἷον ἀδελφὸς καὶ ἀδελφὴ, θεῖος καὶ θεία, ἀνεψιὸς καὶ ἀνεψιὰ, ἐξάδελφος καὶ ἐξαδέλφη καὶ οἱ τούτων ἐπέκεινα. ἡ θέσει δὲ συγγένεια ἢ συμπεπλεγμένη ἐστὶν ἐκ τῶν φυσικῶν συγγενειῶν ἢ ἔξωθεν ἐπινενόηται. ἑκάτερον δὲ τούτων πάλιν ὑποδιαιρεῖται εἰς δύο. τό τε γὰρ ἐκ τῶν φυσικῶν συγγενειῶν συμπλακὲν, εἰ μὲν ἐκ δύο συμπλέκεται, καλεῖται ἀγχιστεία, εἰ δὲ ἐκ τριῶν, ἐστὶ μὲν ἀγχιστεία καὶ οὕτω, καλεῖται δὲ ὅμως πρὸς ἀντιδιαστολὴν ἐκείνου τριγένεια. τό τε ἔξωθεν ἐπινοηθὲν ἢ θεοῦ μεσολαβοῦντος δι᾽ ἀνοχὴν[3] πνευματικὴν γίνεται, ὡς τὸ ἀπὸ τοῦ ἁγίου βαπτίσματος, ἢ κατὰ χρείαν ἑτέραν ἀπουσίᾳ γονῆς φυσικῆς, ὡς ἡ καλουμένη υἱοθεσία. τὸ γὰρ ἐξ ἀδελφοποιΐας ἀσύστατόν ἐστι καὶ ὡς μὴ γεγονὸς λογιζόμενον. ὥστε ἀπὸ τῆς ῥηθείσης διαιρέσεως πέντε ἀνεφάνησαν ἡμῖν οὖσαι συγγένειαι, ἡ φυσικὴ τουτέστιν ἡ ἐξ αἵματος, ἡ ἐξ

---

[1] Intelligitur commentarius Balsamonis ad c. 69 S. Basilii. [2] Incipere videtur tractatus *περὶ συγγενείας τοῦ ὑπάτου τῶν φιλοσόφων ἰωάννου διακόνου διασήμου*, quem indicat Witte in Zeitschr. f. gesch. RW. VIII p. 175. [3] Malim *ἀναδοχήν*.

ἀγχιστείας, ἡ ἐκ τριγενείας, ἡ ἐκ τοῦ ἁγίου βαπτίσματος καὶ ἡ ἐξ υἱοθεσίας. ὑποτέτακται δὲ καὶ ἡ κατὰ σχῆμα διαίρεσις.

Ἡ συγγένεια

ἢ φύσει ὡς ἡ ἐξ αἵματος,

εἰς ἀνιόντας οἷον πατὴρ μήτηρ πάππος μάμμη.	εἰς τοὺς κατιόντας οἷον υἱὸς θυγάτηρ ἔγγονος ἐγγόνη.	εἰς τοὺς ἐκ πλαγίου οἷον ἀδελφὸς ἀδελφὴ θεῖος ἀνεψιός.

ἢ θέσει,

ἢ κατὰ συμπλοκὴν γενῶν ὡς τὸ ἐξ ἀγχιστείας	ἢ ἔξωθεν ἐπινενόηται.

ἢ ἐκ δύο καὶ καλεῖται ἰδίως ἀγχιστεία.	ἢ ἐκ τριῶν καὶ καλεῖται τριγένεια.	ἢ πνευματικὴ ὡς ἐκ τοῦ ἁγίου βαπτίσματος.	ἢ κατὰ χρείαν γονῆς ὡς ἡ υἱοθεσία.

ἐκ πλαγίου — ἐκ πλαγίου

					ἕκτου. τρίσ- τρισ- παππος μάμμη					
				ς'. θεῖος μέγιστος πρὸς πατρός	πέμπτου. δίσπαππος δισμάμμη	ς'. θεία με- γίστη πρὸς μητρὸς				
			ς'. μείζονος θείου υἱὸς	ε'. μείζων θεῖος πρὸς πατρὸς	τετάρτου ἀπόπαππος ἀπομάμμη	ε. μείζων θεία πρὸς μητρός	ς'. μείζονος θείας θυγά- τηρ			
		ς'. θείου μεγάλου ἔγγονος	ε'. θείου με- γάλου υἱός	δ'. θεῖος μέγας πρὸς πατρὸς	τρίτου πρόπαππος προμάμμη	δ'. θεία με- γάλη πρὸς μητρός	ε'. θείας με- γάλης θυ- γάτηρ	ς'. θείας μεγάλης ἔγγονος		
	ς'. θείου πρὸς πατρὸς προέγγονος	ε'. θείου ἔγγονος	δ'. θείου υἱός	γ'. θεῖος πρὸς πα- τρὸς καὶ μητρὸς	δευτέρου πάππος μάμμη	γ'. θεία πρὸς πα- τρὸς καὶ μητρὸς	δ'. θείου θυγάτηρ	ε. θείας ἐγγόνη	ς'. θείας πρὸς μη- τρὸς προ- εγγόνη	
ς'. ἀδελφοῦ ἀπέγγονος	ε'. ἀδελφοῦ προέγγονος	δ'. ἀδελφοῦ ἔγγονος	γ'. ἀδελφοῦ υἱός	β'. ἀδελφός	πρώτου πατὴρ μήτηρ	β'. ἀδελφή	γ'. ἀδελφῆς θυγάτηρ	δ'. ἀδελφῆς ἐγγόνη	ε'. ἀδελφῆς προεγγόνη	ς' ἀδελφῆς ἀπεγγόνη
					πρώτου υἱὸς θυγάτηρ					
					δευτέρου ἔγγονος ἐγγόνη					
					τρίτου προέγγονος προεγγόνη					
					τετάρτου ἀπέγγονος ἀπεγγόνη					
					πέμπτου δισέγγονος δισεγγόνη					
					ἕκτου τρισέγγονος τρισεγγόνη					

94. *Πῶς χρὴ ἀριθμεῖν τὴν γενεὰν τήν τε ἀνιοῦσαν τὴν κατιοῦσαν καὶ τὴν ἐκ πλαγίου καὶ τοὺς ἐξ αὐτῶν τικτομένους; ἀπὸ πατέρων δεῖ ἀναφέρειν εἰς πάππους προπάππους καὶ ἀποπάππους· οὗτοι γάρ εἰσιν οἱ ἀνιόντες· ἀπὸ δὲ υἱῶν καὶ θυγατέρων εἰς ἐγγόνους καὶ προεγγόνους· οὗτοι γάρ εἰσιν οἱ κατιόντες· καὶ οὕτως εὑρίσκειν ποίου βαθμοῦ τὸ συνάλλαγμά ἐστιν, εἴτε τρίτου εἴτε τετάρτου. ὁ δὲ πέμπτος βαθμὸς διάλυσίς ἐστι τοῦ γένους, ὅτι διπλούμενος δέκατος γίνεται.*

95. *Περὶ τούτων πάντων λεπτομερῶς διαλάβωμεν. ἐπὶ μὲν γὰρ τῆς φυσικῆς συγγενείας, τουτέστι τῆς ἐξ αἵματος καὶ γένους ἑνὸς, εἰς μὲν τοὺς ἀνιόντας καὶ κατιόντας εἰς ἀπέραντον ὁ γάμος κεκώλυται. οὔτε γὰρ τὴν μητέρα αὐτοῦ οὔτε τὴν μάμμην οὔτε τὴν προμάμμην ἤ τινα τῶν ἐπέκεινα δύναταί τις εἰς γυναῖκα λαβεῖν, ἀλλ' οὐδὲ πρὸς τὴν θυγατέρα ἢ τὴν ἐγγόνην ἢ τὴν δισεγγόνην ἤ τινα τῶν ἐπέκεινα συνάψαι θεμιτὸν γάμον. εἰς δὲ τοὺς ἐκ πλαγίου μέχρι τοῦ ζ' βαθμοῦ ὁ γάμος τὴν κώλυσιν ἔσχεν, ἐπέκεινα δὲ ἤγουν ἀπὸ τοῦ ὀγδόου βαθμοῦ καὶ ἔμπροσθεν ἀκώλυτός ἐστιν. βαθμὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῶν τῆς κλίμακος βαθμίδων· ὡς γὰρ αἱ βαθμίδες τῆς κλίμακος ἐξ ἐπιπέδου τινὸς τὴν ἀρχὴν λαμβάνουσαι καὶ εἰς τὸ πρόσω προβαίνουσαι τὴν ἄνοδον ἢ τὴν κάθοδον συμπεραίνουσιν, οὕτω καὶ οἱ τοῦ γένους βαθμοὶ ἐκ μιᾶς τῶν φυσάντων ἀρχῆς προϊόντες εὐτάκτως τὴν συγγένειαν ἀπαρτίζουσιν· ἄλλως τε δὲ καὶ ὅτι ὥσπερ διὰ τῶν τῆς κλίμακος βαθμίδων ἡ ἄνοδος καὶ ἡ κάθοδος γίνεται, οὕτω καὶ διὰ τῶν συγγενικῶν βαθμῶν οἱ ἀνιόντες καὶ οἱ κατιόντες καὶ οἱ ἐκ πλαγίου εὑρίσκονται. ἡ εὕρεσις δὲ τῶν βαθμῶν γίνεται οὕτως· ἑκάστη γέννησις βαθμὸν ἕνα ἀποτελεῖ. ὁ πατὴρ ἐγέννησεν υἱὸν, γέννησις μία καὶ βαθμὸς εἷς· ὁ υἱὸς ἐγέννησε τὸν ἔκγονον· γέννησις ἑτέρα καὶ βαθμὸς ἕτερος, καὶ ἐστὶν ὁ ἔκγονος ἢ ἡ ἐκγόνη πρὸς τὸν πάππον ἢ τὴν μάμμην βαθμοῦ δευτέρου. ὁμοίως ὁ δισέγγονος τρίτου καὶ ἐφεξῆς ὁμοίως. οἱ οὖν δύο ἀδελφοὶ δευτέρου βαθμοῦ πρὸς ἀλλήλους εἰσὶν, ἐπεὶ καὶ δύο γεννήσεις ἀπὸ τῶν φυσάντων τούτοις ἐπηκολούθησαν· κἂν τρεῖς δὲ ἢ τέσσαρες ὦσιν οἱ ἀδελφοὶ ἢ καὶ ἐπέκεινα, ὅμως πάντες δευτέρου βαθμοῦ λέγονται, διότι οἱ ἐξ αἵματος συναπτόμενοι γαμικῶς ἀνάγκη δύο εἰσὶ, καὶ διὰ τοῦτο τοὺς δύο μόνους ἐκ τῶν ἀδελφῶν θεωροῦντες δευτέρου βαθμοῦ φαμεν εἶναι. ὡσαύτως οἱ πρωτεξάδελφοι, διότι δ' ἐν αὐτοῖς γεννήσεις θεωροῦνται, τετάρτου βαθμοῦ λέγονται· ὁ γὰρ πάππος αὐτῶν ἐγέννησε*

τοὺς πατέρας ἢ τὰς μητέρας αὐτῶν· ἰδοὺ δύο γεννήσεις· πάλιν οἱ γονεῖς αὐτῶν αὐτάδελφοι ὄντες ἐγέννησαν αὐτούς· ἰδοὺ ἕτεραι δύο γεννήσεις καὶ βαθμοὶ ἕτεροι δύο, ὁμοῦ τέσσαρες· καὶ διὰ τοῦτο οἱ πρωτεξάδελφοι δ' βαθμοῦ εἰσί τε καὶ λέγονται. κατὰ τὸν ὅμοιον λόγον οἱ δισεξάδελφοι βαθμοῦ ἕκτου εἰσὶν, ἐπεὶ ϛ' γεννήσεις ἐν αὐτοῖς θεωροῦνται· καὶ οἱ τρισεξάδελφοι βαθμοῦ ὀγδόου. ὁ δὲ θεῖος τριχῶς λέγεται· ἢ γὰρ οὕτως ἁπλῶς θεῖος δίχα προσθήκης τινὸς, ὡς ὁ πατράδελφος, καὶ ἐστὶν οὗτος βαθμοῦ τρίτου· ὁ πάππος μου γὰρ ἐγέννησε μὲν τὸν θεῖόν μου, ἐγέννησε δὲ καὶ τὸν πατέρα μου, καὶ ὁ πατήρ μου πάλιν ἐγέννησεν ἐμὲ, καὶ ἐστὶν αὕτη ἀπὸ τοῦ πάππου μου τρίτη γέννησις, ὥστε ὁ θεῖός μου πρὸς ἐμὲ τρίτου βαθμοῦ ἐστι. καὶ οὗτος μὲν ὁ θεῖος τουτέστιν ὁ πατράδελφος θεῖος μόνον ὡς εἴρηται ὀνομάζεται. ὡσαύτως καὶ ὁ ἀδελφόπαις ἀνεψιὸς μόνον. μέγας δὲ θεῖος λέγεται ὁ τοῦ πάππου μου αὐτάδελφος, ἀνάπαλιν δὲ ὁ τοῦ αὐταδέλφου μου ἔγγονος ἐξανεψιὸς ἢ δισανεψιὸς, καὶ εἰσὶν οὗτοι πρὸς ἀλλήλους βαθμοῦ τετάρτου· ἐπεὶ γὰρ ὁ θεῖός μου τρίτου βαθμοῦ ἐστι πρὸς ἐμὲ, πρὸς τὸν ἐμὸν υἱὸν δ' ὁ αὐτὸς ἔσται· προστίθεται γὰρ καὶ ἑτέρα γέννησις, καθ' ἣν ἐγὼ τὸν ἐμὸν υἱὸν ἐγέννησα, καὶ ἐμὸς λέγεται θεῖος, τοῦ υἱοῦ μου δὲ μέγας θεῖος, καὶ ἀνεψιὸς μὲν ἐκείνου ἐγὼ, ὁ δὲ υἱός μου ἐξανεψιὸς καὶ δισανεψιὸς τοῦ αὐτοῦ· ἐξανεψιὸς μὲν, ὅτι ἐξ ἐμοῦ τοῦ ἀνεψιοῦ ἐκεῖνος γεγέννηται· δισανεψιὸς δὲ, ὅτι πρῶτος μὲν ἀνεψιὸς ἐγὼ, δεύτερος δὲ ὁ υἱός μου πρὸς αὐτόν. μικρὸς δὲ θεῖος λέγεται ὁ τοῦ πατρός μου πρωτεξάδελφος καὶ ἐγὼ ἐκείνου μικρὸς ἀνεψιὸς, καὶ ἐσμὲν πρὸς ἀλλήλους βαθμοῦ ε'. ἐπεὶ γὰρ οἱ πρωτεξάδελφοι βαθμοῦ δ' εἰσὶν ὡς εἴρηται, προστίθεται δὲ καὶ ἑτέρα γέννησις, καθ' ἣν ὁ μικρὸς ἀνεψιὸς γεγέννηται, ε' ἄρα βαθμοῦ ἔσονται πρὸς ἀλλήλους ὁ μικρὸς θεῖος μετὰ τοῦ μικροῦ ἀνεψιοῦ.

96. Δεῖ γινώσκειν, ὅτι ἐν τούτος τοῖς ἐξ αἵματος ἐκ πλαγίου οὐ συγκεχώρηται ὁ γάμος, εἰ μὴ εἰς τὸν ὄγδοον οἷον τρισεξάδελφον ἢ εἰς ἐγγόνους δισεξαδέλφου. εἰ γὰρ καὶ πρότερον τὸ τοῦ ζ' βαθμοῦ ἐξ αἵματος ἐρωτώμενον μὲν ἐκωλύετο, ὁπωσδήποτε δὲ προβαῖνον οὐκ ἐκωλύετο μὲν, ἐπετιμᾶτο δὲ, ἀλλ' ἐπεί τινες τῷ βάρει τῶν ἐπιτιμίων κρύφα τοὺς τοιούτους γάμους ἐτέλουν, ἀνηνέχθη τὰ περὶ τούτου συνοδικῶς παρὰ τοῦ Ἀθηνῶν τοῦ ἁγίου Θεοδωρίτου, καὶ ἔκτοτε ὥρισε καὶ ἔστησεν ἡ ἁγία σύνοδος μηδόλως τοιοῦτον συναλλάττεσθαι γάμον,

ἀλλ' ἐρωτώμενον μὲν κωλύεσθαι, προβαίνοντα δὲ διασπᾶσθαι, καὶ τὸν εὐλογήσαντα ἱερέα γινώσκοντα καθαιρεῖσθαι. ἀπὸ δὲ τῶν διαγραμμάτων σαφεστέρα ἡ τούτων ἔκθεσις γίνεται.



Ἰστέον δὲ ὡς αἱ μὲν εἰς βάθος γραμμαὶ τὰς γεννήσεις καὶ τοὺς βαθμοὺς δηλοῦσιν, αἱ δὲ εἰς πλάτος τοὺς γάμους. αἱ γὰρ εἰς πλάτος τῶν ὅρων συναπτικαὶ ὥσπερ τῶν προσώπων ὁ γάμος.

97. Αὕτη[1] μὲν ἡ τῶν ἐξ αἵματος. τῶν δ' ἐξ ἀγχιστείας ποικιλωτέρα ἡ εὕρεσις. ἐν τούτοις γὰρ τῶν βαθμῶν ποσότητα ζητεῖν οὐδόλως τοῖς παλαιοῖς ἔδοξεν, ἀλλὰ τὰ συγκεχυμένα κατὰ τὴν τοῦ γένους κλῆσιν καὶ ἀπρεπῆ ῥητῶς κωλύσαντες

---

[1] His plane convenientia habet Blastares B, 8. Nimirum tam Blastares quam auctor Prochiri nostri ex aliquo antiquiore commentario hauserunt, quem praestat Synopsi adjectum Codex Paris. 1357 A, saec. XI exaratus.

τὰ λοιπὰ ἀνέγκλητα εἴασαν. οἱ δὲ νεώτεροι καὶ βαθμοὺς αὐτοῖς ἐπενόησαν καὶ τὰ ὑπὲρ τὸν ἕκτον βαθμὸν προβαίνειν δεδώκασι. καίτοι ῥητῶς εὑρίσκομεν καὶ τὸν ἕκτον συγκεχωρημένον ὥστε οὐ χρὴ ἐν τούτοις βαθμὸν παρεισάγειν, ἀλλ᾽ ὃ μὲν νόμος ῥητῶς ἐκώλυσε φεύγειν, ὃ δὲ μὴ ἐκώλυσε παραδέχεσθαι. ἐκώλυσε δὲ ὁ μὲν παλαιότερος νόμος τὰ προσεχέστερα καὶ ἐγγύτερα, ὁ δὲ τοῦ σισινίου τόμος δύο ἀδελφοὺς λαμβάνειν θείαν καὶ ἀνεψιὰν καὶ ἀνάπαλιν, καὶ αὖθις δύο ἀδελφοὺς λαμβάνειν δύο πρωτεξαδέλφας. ἐνθεωρεῖται δὲ τῷ μὲν πρώτῳ ὁ ε΄ βαθμός, τῷ δὲ δευτέρῳ ὁ ς΄. ἐροῦμεν δὲ περὶ τούτων πλατύτερον. μέχρι μὲν γὰρ τοῦ ε΄ βαθμοῦ πάντη ἐστὶ τὸ ἐξ ἀγχιστείας κεκωλυμένον, εἰ δεῖ κἂν τούτοις εἰσάγειν βαθμούς. τὸ δὲ ἕκτου βαθμοῦ εὑρισκόμενον, εἰ μὲν οὐκ ἔχει σύγχυσιν περὶ τὰ τοῦ γένους ὀνόματα, ἀκώλυτόν ἐστιν· εἰ δὲ ἔχει τινὰ σύγχυσιν, ἀπηγόρευται. οἷον ὅταν μὲν θεῖος καὶ ἀνεψιὸς θείαν λάβῃ καὶ ἀνεψιάν, ἀσύγχυτόν ἐστι· πάλιν γὰρ θείου καὶ ἀνεψιοῦ τύπον σώζουσιν. ὅταν δὲ ὁ μὲν θεῖος προεῖχε τὴν ἀνεψιάν, ὁ δὲ ἀνεψιὸς βούλεται συνοικεῖν τῇ θείᾳ, τὸ δεύτερον διὰ τὴν σύγχυσιν κεκωλυμένον ἐστί· γίνονται γὰρ ὡς ἀπὸ τῶν γάμων ὁ μὲν θεῖος ἀνεψιός, ὁ δὲ ἀνεψιὸς θεῖος, καὶ ἐστὶ τοῦτο τῶν συγγενικῶν ὀνομάτων σύγχυσις. φησί δὲ ὁ ἱερὸς καὶ μέγας βασίλειος, ἐν οἷς τὰ τοῦ γένους ὀνόματα συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. πλὴν ὅταν μὲν δύο ἀδελφοὶ δύο πρωτεξαδέλφας λάβωσιν εἰς γυναῖκας, ἢ δύο πρωτεξάδελφοι δύο ἀδελφάς, σύγχυσις γίνεται· ἀντὶ γὰρ ἀδελφῶν ἢ πρωτεξαδέλφων σύγγαμβροι γίνονται, καὶ ἐστὶν ὁ δεύτερος γάμος κεκωλυμένος. ὅταν δὲ ὁ πάππος καὶ ἔγγονος θείαν μεγάλην καὶ ἐξανεψιὰν λάβωσιν, ἕκτου μὲν καὶ τοῦτο βαθμοῦ ἐστιν, ἀλλ᾽ ἐστὶν ἀσύγχυτον· πάλιν γὰρ καὶ μετὰ τοὺς γάμους πάππου καὶ ἐγγόνου ἀποσώζουσι τόπους. τὴν γὰρ μεγάλην θείαν ἢ τὸν μέγαν θεῖον οἱ πολλοὶ μάμμην ἢ πάππον ὀνομάζουσι. διὰ τοῦτο οὖν καὶ ὅτι οὔτε ἀπὸ τοῦ νόμου οὔτε μὴν ἀπὸ τοῦ τόμου τοῦ σισινίου κεκώλυται τὸ παρὸν ζήτημα, ἀκώλυτόν ἐστι. τὸ δὲ λέγειν, ὅτι τὰ εὑρισκόμενα ἐξ ἀγχιστείας ς΄ βαθμοῦ, ὅταν μέν εἰσιν ἐξισάζοντα, ἀκώλυτά εἰσιν, ὡς ὅταν θεῖος καὶ ἀνεψιὸς θείαν καὶ ἀνεψιὰν λάβωσιν· ἐξ ἑκατέρου γὰρ μέρους τρεῖς εἰσι βαθμοί· κεκωλυμένα δέ, ὅτε εἰσὶν ἄνισα, ὡς ὅταν δύο ἀδελφοὶ δύο πρωτεξαδέλφας λάβωσιν εἰς γυναῖκας ἢ τὸ ἀνάπαλιν· ἐκ β΄ γὰρ καὶ δ΄ βαθμῶν ἐνταῦθα ἡ σύγκρασις· οὔ μοι δοκεῖ τὸ εὔλογον ἔχειν. οὐ γάρ ἐστι τοῦτο τοῦ

ἀκωλύτου ἢ τοῦ κεκωλυμένου σημεῖον ἢ αἴτιον ἄλυτον. ἰδοὺ γάρ, ὅταν μὲν ὁ θεῖος τὴν ἀνεψιάν, ὁ δὲ ἀνεψιὸς τὴν θείαν λάβωσιν, ἐξισάζοντες ἐξ ἑκατέρου εἰσὶ βαθμοί, ἀλλὰ τὸ δεύτερον κεκωλυμένον ἐστίν. ἀλλὰ δῆλον, ὅτι τοῦτο μὲν διὰ τὴν σύγχυσιν κεκώλυται, ἐκεῖνο δέ, ὅταν δηλαδὴ πάππος καὶ ἔγγονος θείαν μεγάλην καὶ ἐξανεψιὰν λάβωσιν, ἀκώλυτόν ἐστιν ὡς ἀσύγχυτον. ἀπὸ δὲ τῆς διαιρέσεως καὶ τοῦ διαγράμματος γένοιτ᾽ ἂν μᾶλλον εὐσύνοπτα καὶ σαφέστερα.

98. Ἔκθεσις ἑτέρα περὶ γάμου καὶ συναφείας νομίμου καὶ θαυμαστή τις καὶ σαφής. —

ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα.

Κεκώλυται ὁ γάμος οὗτος τοῦ μιχαὴλ μετὰ τῆς ἄννης· δευτέρου γάρ εἰσιν οἱ δύο ἀδελφοί, καὶ μία γέννησις ἡ τοῦ μιχαὴλ ἤτοι εἷς βαθμός, δευτέρα δὲ γέννησις ἡ τῆς ἄννης. εὑρεθέντος γοῦν τοῦ αἰτίου τῆς γεννήσεως, κάτελθε ἐπὶ τὴν ἀδελφὴν τοῦ μιχαὴλ, καὶ εἰπὲ ὅτι αὐτὸς ὁ ῥαδηνὸς ἐγέννησε τὴν ἄνναν· ἰδοὺ δευτέρα γέννησις ἤτοι βαθμὸς β', ὅστις καὶ πάντη ἀπηγόρευται καὶ κεκώλυται.

99. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

ἰωάννης υἱὸς

μιχαὴλ

Κεκώλυται καὶ οὗτος ὁ γάμος· γ' γὰρ βαθμὸν σώζουσι πρὸς ἀλλήλους. εἰπὲ γὰρ οὕτως· τὸν ἰωάννην ἐγέννησεν ὁ μιχαὴλ, τὸν μιχαὴλ ὁ ῥαδηνός, ὁ αὐτὸς δὲ ῥαδηνὸς ἐγέννησε τὴν ἄνναν, ἰδοὺ τρεῖς γεννήσεις γ' βαθμοὺς ἀπετέλεσαν. καὶ ἐστὶ κεκωλυμένος· οὐ μὴ γὰρ συνέλθῃ θεία καὶ ἀνεψιὸς πώποτε.

100. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

ἰωάννης πρωτεξάδελφοι μαρία.

Καὶ οὗτος ὁ γάμος κεκώλυται· δ' γάρ ἐστι βαθμοῦ ὁ πρωτεξάδελφος, καὶ οὐ δύναται συνάπτεσθαι τῇ οἰκείᾳ πρωτεξαδέλφῃ.

101. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

ἰωάννης πρωτεξάδελφοι μαρία

γεώργιος

Καὶ οὗτος ὁ γάμος ὁ τοῦ γεωργίου καὶ τῆς μαρίας κεκώλυται· πέμπτου γὰρ βαθμοῦ ἐστιν ὁ γεώργιος.

102. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

ἰωάννης πρωτεξάδελφοι μαρία

παῦλος δισεξάδελφοι βαρβάρα

Καὶ οὗτος ὁ γάμος κεκώλυται· ἕκτου γὰρ βαθμοῦ ἐστιν ὁ παῦλος καὶ ἡ βαρβάρα.

103. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

μαρία πρωτεξάδελφοι ἰωάννης

παῦλος δισεξάδελφοι βαρβάρα

πέτρος

Ὁ γάμος οὗτος ὁ ἀπὸ τοῦ πέτρου πρὸς τὴν βαρβάραν, ἐπειδὴ ἀμφότεροι ἀπὸ τοῦ ῥαδηνοῦ κατάγονται, τὸν ἐξ αἵματος σώζουσι βαθμὸν ζ΄, καὶ παρὰ μὲν τῶν νόμων σεσιώπηται, παρὰ δὲ τοῦ πατριάρχου κυροῦ ἀλεξίου κεκώλυται. πῶς; κεκώλυται μὲν πρὸ τοῦ προβῆναι καὶ τελεσθῆναι, μετὰ δὲ τὸ προβῆναι καὶ τελεσθῆναι οὐ διασπῶνται μὲν οἱ συναφθέντες, καθυποβάλλονται δὲ ἐπιτιμίοις κατὰ τὴν συνοδικὴν ἐκείνου οἰκονομίαν, ἥτις καὶ ἠπράκτησε καθόλου παρὰ τοῦ τόμου τοῦ γεγονότος παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ λουκᾶ, κυρωθέντος τοῦ τοιούτου τόμου καὶ διὰ χρυσοβούλλου λόγου τοῦ ἀοιδίμου βασιλέως κυροῦ μανουὴλ, καὶ οὐδόλως τὴν σήμερον ἐνεργεῖται εἰς βαθμὸν ζ΄.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

104. ὁ ῥαδηνὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα

ἰωάννης πρωτεξάδελφοι μαρία

παῦλος δισεξάδελφοι βαρβάρα

πέτρος τρισεξάδελφοι μαρίνα

Ὁ τοιοῦτος γάμος ἀπὸ τοῦ πέτρου πρὸς τὴν μαρίναν δηλονότι ἀκώλυτος. νόμιμος γὰρ ὁ ὄγδοός ἐστι βαθμός· τρισεξάδελφοι γὰρ οἱ συναφθέντες, κἂν κωλύηται παρὰ τοῦ πατριάρχου κυροῦ σισινίου.

105. Οὗτοι μέν εἰσι κατὰ σειρὰν καὶ ἐξ αἵματος. οἱ δὲ ἐξ ἀγχιστείας ἔχουσιν οὕτως·

ὁ ῥαδηνὸς πατὴρ — ὁ σκληρὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα — μαρία ἀδελφοὶ ῥωμανὸς

Ἰδοὺ συνάφειαι δύο· τούτων ὁ πρῶτος γάμος κρατείτω, ὁ δεύτερος διασπασθήτω. σκόπει δὲ ποῖος γέγονεν ἐκ τῶν δύο γάμων, εἴτε ὁ τοῦ μιχαὴλ τοῦ ῥαδηνοῦ πρὸς τὴν μαρίαν τοῦ σκληροῦ, εἴτε ὁ τῆς ἄννης τῆς τοῦ ῥαδηνοῦ πρὸς τὸν ῥωμανὸν τοῦ σκληροῦ· καὶ τὸν μὲν προγεγονότα ἀγάπησον, τὸν δὲ ἕτερον κώλυσον, εἰ δὲ γέγονε διαχώρισον· ἐπεὶ οἱ δύο ἀδελφοὶ οἱ ἐκ τοῦ ῥαδηνοῦ καταγόμενοι πρὸς ἀλλήλους σώζουσι τὸν β' βαθμὸν, καὶ οἱ ἐκ τοῦ σκληροῦ καταγόμενοι δύο ἀδελφοὶ ὡσαύτως τὸν β' βαθμόν· συνάγεται γοῦν ἐξ ἀμφοτέρων τέταρτος βαθμὸς, καὶ κεκώλυται. ἄλλως τε δὲ καὶ ἀπρεπὲς καὶ ἀσύμφορον τὸ τοὺς δύο ἀδελφοὺς δυσὶν ἀδελφαῖς συνάπτεσθαι.

106.

ὁ ῥαδηνὸς πατὴρ — ὁ σκληρὸς πατὴρ

μιχαὴλ ἀδελφοὶ ἄννα — μαρία — ῥωμανὸς

ἰωάννης υἱὸς ῥωμανοῦ

Ἐνταῦθα τὸν πρῶτον ἔασον, τὸν δὲ δεύτερον κώλυσον, διότι ὁ μὲν μιχαὴλ πρὸς τὴν ἄνναν σώζει τὸν β' βαθμὸν, ἡ δὲ μαρία πρὸς τὸν ἰωάννην τὸν τρίτον· εὑρίσκεται οὖν ἐξ ἀμφοτέρων τῶν μερῶν ε' βαθμὸς, καὶ κωλύεται.

107.



Ὁμοίως κανταῦθα τὸν προβεβηκότα ἔασον, τὸν δὲ μετὰ τοῦτον γενόμενον διάλυσον, μὴ γενόμενον δὲ κώλυσον. ὁ γὰρ μιχαὴλ καὶ ἡ ἄννα β′ βαθμὸς. καὶ συνεζύγησαν τῇ μαρίᾳ καὶ τῷ μάρκῳ ἐξαδέλφοις πρώτοις ὑπάρχουσι καὶ πρὸς ἀλλήλους τὸν δ′ σώζουσι βαθμόν. οἱ τοιοῦτοι γάμοι πρὸ μὲν τοῦ πατριάρχου κυροῦ σισινίου προέβαινον, μετὰ δὲ τὸν τόμον κωλύονται διὰ τὸ ἐξ ἀμφοτέρων τῶν γενῶν ς′ βαθμὸν συμπεραίνεσθαι καὶ μὴ ἐξεῖναι τοὺς β′ ἀδελφοὺς πρὸς μίαν λαμβάνειν ἐξαδέλφην πρώτην μὴ οἰκείαν ἀλλ᾽ ἐξ ἀγχιστείας οὖσαν, ὡς ἐνταῦθα διεγράφη.

108.



Τοῦτο τὸ διάγραμμα σώζει τὸν ς′ βαθμὸν τὸν ἐξ ἀγχιστείας καὶ γίνεται ἀκωλύτως. λαμβάνουσι γὰρ θεῖος καὶ ἀνεψιὰ θείαν καὶ ἀνεψιὸν διὰ τὸ εἶναι ἐξ ἀμφοτέρων τῶν μερῶν τρία κα τρία. ἐνεδόθη δὲ τοῦτο διὰ χρυσοβούλλου λόγου τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, ἀλλὰ καὶ διὰ συνοδικοῦ σημειώματος τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ νικολάου.

109.



Τοῦτο τὸ διάγραμμα διαγράφει τὸν ἐξ ἀγχιστείας ζ′ βαθμὸν, ὅστις οὐ κωλύεται ἀλλ᾽ οὐδὲ γενόμενος ἐπιτιμᾶται, ὡς ἐδηλώθη γίνεσθαι ἐπὶ τοῦ καθ᾽ αἷμα ζ′ βαθμοῦ.

7

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

110.

Ὁ προγεγραμμένος γάμος κρατείτω· ὁ δὲ ὕστερος διασπασθήτω. εἰ γὰρ καὶ οὗτος ἕβδομός ἐστι βαθμὸς ἐξ ἀγχιστείας ὡς ἀπὸ τῆς ἄννης τῆς μητρὸς τῆς μάρθας· ἀπὸ γὰρ τῆς ἄννης τῆς τοῦ σκληροῦ ἐγγόνης μέχρι καὶ αὐτῆς τῆς ἐλισάβετ τρεῖς εἰσι βαθμοί, καὶ ἕτεροι τέσσαρες ἀπὸ τῶν παίδων καὶ ἐγγόνων τοῦ ῥαδηνοῦ· ἀλλ᾿ ἐπειδὴ ἡ ἐλισάβετ προεγγόνη τυγχάνει τῆς μαρίας τῆς θυγατρὸς τοῦ σκληροῦ ὡς προμάμμης τῆς ἐλισάβετ, ἄσεμνόν ἐστι καὶ ἀπρεπὲς τοὺς δύο πρώτους ἐξαδέλφους συζυγῆναι προμάμμῃ καὶ προεγγόνῃ, διά τε τὸν φάσκοντα νόμον· ὅτι τὸ φύσει δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται, καὶ διὰ τὴν τοῦ γένους σύγχυσιν. εἰ γὰρ οὕτω προβαίη, συγχυθήσεται τὰ τοῦ γένους καὶ ἔσται τῇ μαρίᾳ τοῦ σκληροῦ κατ᾿ αὐτὸν ἡ ἐλισάβετ καὶ προεγγόνη καὶ νύμφη, ὅπερ ἄτοπον. εἰ δὲ καὶ παῖδας συμβαίη τεχθῆναι ἐξ ἀμφοτέρων τῶν συνοικεσίων, διὰ μὲν τοὺς πατέρας ἔσονται οἱ αὐτοὶ δεύτεροι ἐξάδελφοι, διὰ δὲ τὰς μητέρας τὴν τοῦ θείου καὶ ἀνεψιοῦ συγγένειαν ἕξουσιν· ὁ γὰρ ἐκ τοῦ ἰωάννου καὶ τῆς μαρίας τοῦ σκληροῦ φὺς ἔσται πάντως θεῖος, ὁ δὲ ἀπὸ τοῦ παύλου τοῦ ἐγγόνου τοῦ ῥαδηνοῦ καὶ τῆς ἐλισάβετ τοῦ σκληροῦ ἀποτεχθεὶς ἔσται πάντως ἀνεψιός[1].

111.



[1] Cod. Paris. 1368 sequentia ad finem tituli usque non habet, duo autem folia in albo relicta sunt.

[library stamp]

Ἐστὶ καὶ οὗτος ὁ δεύτερος γάμος ἄτοπος, ὃν καὶ διάλυε οὕτως εὑρισκόμενον. πῶς οὐκ ἄλογον, τὸν πέτρον τόν ποτε τῆς βαρβάρας ἄνδρα καὶ γαμβρὸν τῆς μάρθας ὀνομαζόμενον, νῦν αὐτῆς τῆς μάρθας ἄνδρα γενέσθαι, θανάτῳ ἴσως τῆς βαρβάρας ἢ διαζυγίῳ διασπασθείσης τῆς πρὸς τὸν πέτρον συναφείας, ᾧ ἡ βαρβάρα πρότερον συνεζύγη.

112.



Κἀνταῦθα τὸν πρῶτον γάμον ἀγάπησον, τὸν δὲ δεύτερον κώλυσον, εἰ δὲ ἐγένετο, διάζευξον. οὐ γὰρ πρέπει δυσὶν ἀδελφοῖς συζευχθῆναι θείᾳ καὶ ἀνεψιᾷ μικρᾷ, κἂν καὶ ζʹ βαθμῶν ἔνι ἐξ ἀγχιστείας· τὴν σήμερον δὲ ἀπρακτεῖ.

113.



Κἀνταῦθα τὸν προβεβηκότα ἔασον, τὸν δὲ μετὰ τοῦτον γενόμενον διάλυσον, μὴ γενόμενον δὲ κώλυσον. οὐδὲ γὰρ πρέπει πατέρα καὶ υἱὸν συμμιγῆναι ἐξαδέλφαις δυσί, κἂν καὶ ζʹ βαθμοῦ ἐστιν ἐξ ἀγχιστείας, κατὰ τὴν συνοδικὴν διάγνωσιν τὴν καὶ ὑπογεγραμμένην οὖσαν παρὰ τοῦ χαρτοφύλακος τοῦ κυρίτζη.

114.



Τούτου τοῦ διαγράμματος τὸν πρῶτον γάμον ἔασον, τὸν δεύτερον μὴ ἐάσῃς γενέσθαι, εἴπερ συμβῇ θανεῖν τὴν πρώτην γυναῖκα, κἂν οὐκ ἔφθασε γενέσθαι μετ᾽ αὐτοῦ τελεία ἱερολογία ἢ συνάφεια· διότι ἄτοπόν ἐστι λαβεῖν τὸν αὐτὸν καὶ ἕνα ἄνθρωπον τὴν πρώτην ἐξαδέλφην τῆς γυναικὸς [ἢ] τῆς

μνηστῆς αὐτοῦ, εἰ καὶ δεσμωτικὰ ἔγγραφα πολλάκις ἐγεγόνεισαν. ἐκωλύθη γὰρ τοῦτο παρὰ τοῦ πατριάρχου κυροῦ μιχαὴλ τοῦ καὶ ἀγχιάλου, συνάπτεσθαι νομίμως γυναικὶ συγγενεῖ οὔσῃ τῇ διὰ δεσμωτικοῦ ἐγγράφου κατεγγυηθείσῃ τούτῳ καὶ μὴ φθασάσῃ λαβεῖν μνηστείας εὐχὴν μετ᾽ αὐτῆς ἢ ὡς θανούσῃ ἢ ὡς ἑτέρῳ ἀνδρὶ συναφθείσῃ ἐκ μεταμελείας, εἰ μήπω ταύτην ἑξαετῆ οὖσαν ὁ θάνατος διεδέξατο. ἔδοξε γὰρ τῇ συνόδῳ μετὰ ἑξαετοῦς γυναικὸς ἐπιθυμίαν φθορᾶς μὴ μεσολαβεῖν. τοῖτο γὰρ ἐπὶ τῶν λαϊκῶν οὐ κρατήσει· μόνοι γὰρ οἱ τοῦ βήματος μιᾶς γυναικὸς καὶ ταύτης παρθένου ἄνδρες ὀφείλουσιν εἶναι καὶ αὐτοὶ δὲ τῆς αὐτῆς ὑπάρχουσι πολιτείας.

115.

ἰωάννης ἀδελφοὶ μιχαὴλ — ἡ μελιτινιώτισσα μήτηρ
θεοδώρα — προγόνη — μαρία
μανουὴλ

Ἐγένετο τοῦτο ἐν ταῖς ἡμέραις τοῦ πατριάρχου κυροῦ μανουὴλ ἐπὶ τῷ τοῦ κυζίκου υἱῷ ἰωάννῃ τῷ κλειδᾷ ϛ´ ὄντι βαθμοῦ.

116.

ἀλέξιος ἀδελφοὶ ἰωάννης — μαρία ἀδελφαὶ εἰρήνη
γεώργιος
ξένη

Τοῦ τὸ συνάλλαγμα, εἰ καὶ ϛ´ ἐστὶ βαθμοῦ ἐκ δύο καὶ δύο συγκείμενον, ὅμως λαληθὲν συνοδικῶς ἐν ταῖς ἡμέραις τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ γερμανοῦ ἔδοξεν ἀκώλυτον εἶναι.

117.

καλὴ ἀδελφαὶ εὐφροσύνη — ἄννα ἀδελφαὶ μετζὴ
κοσμᾶς πρωτεξάδελφοι εὐδοκία — μαρία πρωτεξάδελφοι νικόλαος

Οὗτος ὁ γάμος ἄμεμπτός ἐστιν. οὐδὲ γὰρ κωλύεται δύο πρωτεξαδέλφους ἑτέρου γένους ἑτέροις πρωτεξαδέλφοις συναφθῆναι[1].

---

[1] In Cod. Paris. 1351 A repetitur §. *Μαρία ἔχουσα υἱὸν κωνσταντῖνον κτλ.*, quam supra habes §. 34 insertam.

118. *ἀλέξιος εὐδοκία ἀδελφαί μαρία*
μανουὴλ εἰρήνη
ἰωάννης ἄννα

Καὶ τοῦτο τὸ διάγραμμα, εἰ καὶ ἕκτου ἐστὶ βαθμοῦ ἐκ β' καὶ δ' συγκείμενον, ἀλλ' οὖν πάντη ἔδοξεν ἀκώλυτον εἶναι διὰ τὸ μηδεμίαν ἐν αὐτῷ γίνεσθαι σύγχυσιν ὀνόματος συγγενείας.

119. *μαρία ἀδελφαὶ εἰρήνη ἰωάννης*
υἱὸς μιχαὴλ
καλὴ ἰωάννης

Καὶ οὗτος ὁ γάμος κεκώλυται. ἄτοπον γάρ ἐστι θείαν καὶ ἀνεψιὰν συναφθῆναι πάππῳ καὶ ἐγγόνῳ.

120.
εὐδοκία ἀδελφαὶ μαρία σέργιος ἰωάννης ἀδελφοὶ θεοδώρα.

Τὸ[1] *παρὸν συνάλλαγμα κεκωλυμένον ἐστὶν ὡς οἶμαι. ὁ γὰρ σέργιος χθὲς ἦν σύγγαμβρος τῆς εὐδοκίας· τὸν γοῦν αὐτὸν σέργιον γενέσθαι καὶ γαμβρὸν ἐπ' ἀδελφοῦ τῆς εὐδοκίας ἀπρεπές ἐστιν*[2].

121.
γεώργιος ἀδελφοὶ θεόδωρος εὐδοκία ἀδελφοὶ μιχαὴλ ἄννα ἀδελφαὶ θεοδώρα

Τοῦτο τὸ συνάλλαγμα εἰ καὶ ἕκτου ἐστὶ βαθμοῦ, ἀλλ' ὡς ὂν ἐκ τριγενείας ἀκώλυτον ἔδοξεν. γίνεται γοῦν συνάφεια εἰς γυναικαδέλφια δύο ἀδελφῶν.

122.
πέτρος ἀδελφοὶ μάρθα ἰωάννης εἰρήνη ἀδελφαὶ θεοδώρα

Ἰωάννης γέγονεν ἀνὴρ τῆς μάρθας. ἀπέθανεν ἡ μάρθα καὶ ἔλαβεν ὁ τοιοῦτος ἰωάννης εἰς δεύτερον γάμον τὴν εἰρήνην, ἥτις ἔχει ἀδελφὴν θεοθώραν. ἔλαβε γοῦν τὴν τοιαύτην θεοδώραν τὴν ἀπὸ τοῦ δευτέρου γάμου γυναικαδέλφην τοῦ ἰωάννου ὁ πέτρος, ὅστις ἦν γυναικάδελφος τούτου δὴ τοῦ ἰωάννου ἀπὸ τοῦ προτέρου γάμου. συνάγεται γοῦν, ὅτι γαμβρὸς καὶ γυναικάδελφος ἔλαβεν δύο ἀδελφάς, καὶ ἐστὶν ὁ γάμος οὗτος ε' βαθμοῦ. καὶ οὐ κεκώλυται, οὔτε γὰρ νόμος τὶς περὶ τῶν ἐκ τριγενείας τοιούτων γάμων ἐμποδιστικόν τι διέλα-

[1] Cod. Lips. in margine notat: *Ἄρχονται τὰ ἐκ τριγενείας.* [2] Cod. Paris. 1343 §§. 121—129 quae sequuntur, non praestat.

βεν, ἀλλ᾽ οὐδὲ ὁ τόμος τοῦ κυροῦ σισινίου τοὺς τοιούτους γάμους ἐκώλυσεν.

123. *ἰωάννης γυνὴ εἰρήνη καλὴ κωνσταντῖνος*

θεοδώρα

Τέθνηκεν ἡ εἰρήνη καὶ ἔλαβεν ὁ ἰωάννης τὴν καλήν. ἀπέθανεν ὁ ἰωάννης καὶ ἡ θυγάτηρ αὐτοῦ ἡ προγονὴ τῆς καλῆς, καὶ ζητεῖ ἡ καλὴ τὸν ἄνδρα τῆς προγονῆς ἤγουν τὸν κωνσταντῖνον. τοῦτο τὸ συνάλλαγμα, εἰ καὶ ἐκ τριγενείας ἐστὶν, ἀλλ᾽ οὖν πάντῃ κεκωλυμένον εὑρίσκεται. ἄτοπον γάρ ἐστι τὸν ὅν εἶχε γαμβρὸν ἡ καλὴ ἐπὶ τῇ προγονῇ αὐτῆς τὸν κωνσταντῖνον νῦν εἰς ἄνδρα λαβεῖν.

124.

νικήτας ἀδελφοὶ εἰρήνη νικόλαος καλὴ ἀδελφαὶ ἄννα

Τοῦτο τὸ συνάλλαγμα εἰ καὶ κεκώλυται ἄνωθεν, ἀλλ᾽ οὖν ἐνταῦθα εὑρέθη ἐν τῷ πρωτοτύπῳ ἀκώλυτον. ἐστί γουν, ὅτι γαμβρὸς καὶ γυναικάδελφος ἐπῆραν δύο ἀδελφὰς, ὡς γενέσθαι τὸν νικόλαον γαμβρὸν τοῦ νικήτα καὶ σύγγαμβρον. προετράπη γοῦν ἐπὶ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ λέοντος τοῦ στυππῆ.

125.

μαρία ἀδελφοὶ ἀλέξιος εἰρήνη ἀνδρόνικος ἀδελφοὶ κωνσταντῖνος

Τοῦτο τὸ συνάλλαγμά ἐστι τοιοῦτον, ὅτι δύο ἀδελφοὶ ἠγάγοντο νύμφην καὶ ἀνδραδέλφην, καὶ γέγονε καὶ τοῦτο ἐπὶ τοῦ πατριάρχου τοῦ στυππῆ. ἐν γὰρ τοῖς δυσὶ τούτοις διαγράμμασιν οὐδὲ βαθμὸν ἀριθμηθῆναι δυνατόν. τοῦτο ἐπράχθη καὶ ἐπὶ τοῦ πατριάρχου τοῦ κυροῦ ἀρσενίου.

126.

βασίλειος ἀδελφοὶ ἰωάννης θέκλα ἀδελφοὶ κωνσταντῖνος
γυνὴ τούτου ἄννα

Θανόντος τοῦ βασιλείου ζητεῖ τὴν ἄνναν ὁ κωνσταντῖνος. ἔνι γοῦν ὡς ὁ γυναικάδελφος τοῦ ἰωάννου ὁ κωνσταντῖνος ἠγάγετο εἰς γυναῖκα τὴν ἐπ᾽ ἀδελφῇ νύμφην αὐτοῦ τὴν ἄνναν. καὶ ἐστὶ τοιοῦτον, ὅτι ὁ γυναικάδελφός μου ἵνα ἐπάρῃ εἰς γυναῖκα τὴν νύμφην μου. τοῦτο εἰ καί τισιν ἀκώλυτον ἔδοξεν εἶναι, ἀλλὰ κωλύεται ὡς ἀπρεπές.

127.

βασίλειος ἀδελφοὶ ἰωάννης νικηφόρος εὐφροσύνη ἀδελφαὶ εὐδοκία

θυγάτηρ μαρία

Τοῦτο τὸ διάγραμμα, εἰ καὶ ἕκτου ἐστὶ βαθμοῦ, ὡς ἐκ τριγενείας συνιστάμενον ἀκώλυτον ἔδοξεν εἶναι. ἔχει δὲ οὕτω· θεῖος καὶ γαμβρὸς ἐπ' ἀνεψιᾷ πρώτῃ ἔλαβον εἰς γυναῖκας ἀδελφὰς δύο.

128.

βασίλειος θεοφανὼ ἀδελφοὶ ἰωάννης μαρία πρωτεξαδέλφαι θέκλα.

Τοῦτο τὸ διάγραμμά ἐστιν, ὅτι ὁ γαμβρὸς καὶ γυναικάδελφος ἔσχον εἰς γυναῖκας δύο πρώτας ἐξαδέλφας, ὅπερ ἐστὶ βαθμοῦ ζ'. διὰ τοῦτο καὶ ἀκώλυτον, διὰ τὸ μὴ ἐμφαίνεσθαι σύγχυσιν. καὶ τοῦτο παρὰ πολλῶν τε καὶ ἄλλων πρὸ ἡμῶν εὐλογήθη τὸ συνοικέσιον.

129.

ἄννα ἀδελφαὶ μαρία ἰωάννης ξένη κωνσταντῖνος ἀδελφοὶ θεόδωρος

εἰρήνη παῖς τῆς ξένης

θεοδώρα

Τοῦτο τὸ συνάλλαγμα ἀφείθη ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ μανουὴλ καὶ τῶν τότε ἀρχιερέων ὡς συνιστάμενον ἐκ τριγενείας. ἐστὶ δὲ ἐν ἐρωτήσει τοιοῦτον, ὅτι τοῦ ἰωάννου ἡ θυγάτηρ καὶ ἡ ἀνεψιὰ ἤγουν ἡ ἀδελφόπαις τῆς πρώτης γυναικὸς αὐτοῦ ἵνα ἐπάρωσι δύο ἀδελφούς.

130. *Ὁ μὲν ἐπὶ τοῦ κανικλείου ἀμεταθέτως, οὐ πολὺ δὲ εἰπεῖν καὶ ἀπερισκέπτως ἐνίσταται, λέγων εἶναι τὸν εἰρημένον ἐκ τριγενείας γάμον παράνομον. ἐλέγχεται δὲ μάτην φθεγγόμενος. οὐδὲν γὰρ παρίστησιν ἐκ τοῦ νόμου καίριον. ἐγὼ δὲ ὁ δοῦλός σου τὸ μὴ παρὰ τοῦ νόμου ῥητῶς κωλυθὲν οὐ δύναμαι ἀπὸ στοχασμῶν ὡς ἐκφωνηθὲν παραδέχεσθαι. καὶ γὰρ ὁ νόμος περὶ τῶν ἐκ τριγενείας κεκωλυμένων ῥητῶς διέλαβε, φάσκων οὕτως· οὐδὲ τήν ποτε γυναῖκα λαμβάνω τοῦ προγόνου μου. οὐδὲ ἡ μητρυὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς· ἃ σχεδὸν καὶ πρώτου βαθμοῦ εἰσιν, εἴ τις κἂν τούτοις εἰσάγειν βαθμοὺς ἐκβιάσοιτο. περὶ δὲ τῶν ἄλλων ἐκ τριγενείας, ὡς ἀκωλύτων, οὐδὲν ὅλως ὁ νόμος διέλαβε. διὸ καὶ οὐδεὶς οὐδέποτε δικαστὴς τοιοῦτον γάμον διέσεισε. καθάπερ ἀμέλει καὶ ἐν τῷ τόμῳ τοῦ σισινίου ὃ μὲν ῥητῶς κεκώλυται, ἕκτου βαθμοῦ εὑρισκόμενον, μεμένηκεν ἀπαράβατον· ὃ δὲ παρεῖται, δηλαδὴ ὡς ἀκώλυτον, παρ' οὐδενὸς μετὰ ταῦτα κεκώλυται· ὅπερ ἐστὶ τὸ ἐξ ἑκατέρου μέρους ἰσάζον, ὡς ὅταν θεῖος καὶ ἀνεψιὸς θείαν λαμβάνῃ καὶ ἀνεψιάν. δέκα γὰρ καὶ*

ἑπτὰ ἔτη κοιαίστορι ὄντι ἐξυπηρετησάμην τῷ μακαρίτῃ κυρίῳ μου τῷ μυστικῷ, καὶ τοιαῦται πολλαὶ ὑποθέσεις ἐκινήθησαν ἔν τε τῇ βασιλευούσῃ καὶ ἐν τοῖς ἔξω καὶ πρὸς ἐκεῖνον ἔγραφον οἱ κριταί· καὶ εἰς τὸ κοιαιστώριον δὲ τοιαῦται πολλαὶ ὑποθέσεις ἐκινοῦντο. ἀλλ᾽ οὐδέποτε τοιοῦτος ἐκωλύθη βαθμός. ἐν μὲν γὰρ τῇ φυσικῇ συγγενείᾳ τὸν ἕβδομον βαθμὸν οὐ παρεξερχόμεθα· οὐδὲ γὰρ ἡ φύσις ἀνέχεται ὑπὲρ τοῦτον τὸν βαθμὸν τὴν ζωὴν τῶν ἀνθρώπων ἐπεκτείνεσθαι. ἐν δὲ τοῖς ἐξ ἀγχιστείας καὶ τοῖς ἐκ τριγενείας, ὅσα ὁ νόμος ῥητῶς διωρίσατο, ταῦτα ὀφείλουσι διαφυλάττεσθαι, τὸ δὲ διὰ τί; οὐ χρὴ πολυπραγμονεῖν, οὐδὲ τὰς αἰτίας ἐπιζητεῖν. ὅτι καὶ ὁ νόμος οὕτω φησίν· οὐ δεῖ πάντων τῶν νομίμων λογισμὸν ἀπαιτεῖν. εὑρίσκονται γὰρ οἱ πολλοὶ ἀναιτιολόγητοι. καὶ ἐστὶ τὸ τοιοῦτον νόμιμον δίγεστον καὶ παλαιὸν, καὶ πρὶ τῆς μοναρχίας. ὅσα δὲ μὴ ῥητῶς ὑπὸ τῶν νόμων [κεκώλυται,] ταῦτα τῶν κεκωλυμένων ὑπερτείνοντα πράττεται ἀδεῶς. ὁ δὲ πάλιν ὡς μέγα τὶ προβαλλόμενός φησιν, ὅτι ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπρὲς δεῖ ζητεῖν, καὶ ἐκ τούτου πειρᾶται κρατῆσαι τοῦ ἀγῶνος. αὐτόθεν δὲ τὴν λύσιν ὁ νόμος ἐπάγει, καὶ πᾶσαν ἀπολογίαν ἀποῤῥαπίζει. περὶ γὰρ τῶν ἐκ φυσικῆς ἐπιθυμίας προβιβαζομένων εἰς τὸ παράνομον τοῦτο διέξεισι, καί φησιν· ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ γὰρ φύσει δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας φυλάττεσθαι δεῖ. καὶ εἰκότως· εἰ γὰρ καὶ συγγένεια, ἐν τούτοις οὐ θεωρεῖται διὰ τὸ ἀκέφαλον, ἀλλὰ διὰ τὸ εὔσχημον συντηροῦνται καὶ ταῦτα. καὶ οἱ λόγοι, ἐν οἷς ἐξεφωνήθησαν, ἐν ἐκείνοις καὶ τὴν ἰσχὺν ἔχουσι. τὸ δὲ παραβιάζεσθαι αὐτοὺς ἢ ἐξ ἀντιδιαστολῆς ἀποκρίνεσθαι, παρανοοῦντος τούτους ἐστί. καὶ οἱ ἀντιλέγοντες, μηδὲ ἑπόμενοι τοῖς κειμένοις νόμοις, ἀλλ᾽ ἕτερα ἐξ οἰκείων παρεισάγοντες, οὐ δικαστῶν, ἀλλὰ νομοθετῶν τάξιν πειρῶνται ἔχειν. ἀπαρχῆς γὰρ ἀδιάκριτος ἦν ἡ πρὸς ἀλλήλους συνάφεια. τῶν δὲ νομοθετῶν ῥητῶς κωλυσάντων τὰ δοκοῦντα ἀθέμιτα, τὰ λοιπὰ προβαίνει μὴ κωλυόμενα. διὸ καὶ οὐ χρὴ ζητεῖν, τίς ὁ προτρέψας ῥητῶς τὸ τοιόνδε γενέσθαι, ἀλλὰ μάλιστα τίς ὁ γενέσθαι κωλύσας. εἰ δὲ μηδεὶς, προβαίνειν ἀνάγκη τὸ τοιοῦτον συνάλλαγμα. καὶ οὐ νῦν πρώτως ἡμεῖς τοῦτο ἀκώλυτον τάξομεν, ἀλλ᾽ ἐστὶ προβαῖνον ἐξ ἀμνημονεύτων τῶν χρόνων, παρὰ τὸ μηδεμίαν ἔχειν αἰτίαν κωλύσεως. ὁ γὰρ εὐθὴς δικαστὴς πρὸς τὸ παρὰ

τοῦ νόμου ἐκφωνούμενον ὥσπερ κανόνα τινὰ τὸν νοῦν ἀπερείδων, τὰ περιττὰ καὶ τοῦ κανόνος ἐπέκεινα παρίησιν ὡς ἀκώλυτα· εἰ μή τις διὰ φιλαυτίαν τινὰ ἢ ἀπέχθειαν παρὰ τοὺς καλῶς κειμένους νόμους καὶ τὴν ἄνωθεν κρατοῦσαν συνήθειαν διαμάχεσθαι βούλεται. καὶ ἐπὶ τῶν πρὸ ἡμῶν γὰρ πολλὰ τοιαῦτα γέγονε συνοικέσια, μήτε παρὰ τῆς ἐκκλησίας, μήτε παρά τινος δικαστοῦ κωλυθέντα· ἃ καὶ περιττόν ἐστι καταλέγειν, οὕτω σαφοῦς ὄντος καὶ ἀναμφιβόλου τοῦ παρόντος ζητήματος[1].

131. Δαπάναι[2] εἰσὶν ἀναγκαῖαι, αἵπερ εἰ μὴ γένοιντο, πρᾶγμα ἢ ἀπόλλυσθαι μέλλει ἢ χεῖρον γίνεσθαι. χρησίμους δὲ δαπάνας ἤρεσεν εἶναι τὰς βελτίω ποιούσας τὴν προῖκα, οὐ μὴν οὐ συγχωρούσας μὴ εἶναι αὐτὴν χείρω, ἐξ ὧν πρόσοδος τῇ γυναικὶ προσπορίζεται. οἷον ὡς ἐπὶ τῆς τοῦ ἄλσους φιλοκαλίας, περὶ οὗ ἐπάναγκες οὐκ ἦν· ὁμοίως καὶ ἐπὶ διδαχῆς τῶν παίδων ὧν ἕνεκα βαρύνεσθαι τὴν γυναῖκα ἀγνοοῦσαν ἢ ἄκουσαν χρὴ, ἵνα μὴ ἀναγκασθῇ τοῦ ἀγροῦ ἢ τῶν ἀνδραπόδων στερεῖσθαι. ἐν ταύταις δὲ ταῖς δαπάναις καὶ τὸ ἀρτοκοπεῖον καὶ τὸ ὡρεῖον τῷ προικῴῳ οἴκῳ προστεθὲν ὡς ἐπὶ πολὺ λέξομεν. ἐπιτερπεῖς δὲ δαπάναι εἰσὶν αἱ τὸ εἶδος μόνον κοσμοῦσαι, οὐ μὴν καὶ καρπὸν αὔξουσαι, ὡς ἐστὶ τὰ χλοηφόρα γήδια καὶ τὰ ἀναβρυτὰ ὕδατα καὶ αἱ μαρμαρώσεις καὶ αἱ λωρικατίωνες καὶ αἱ ζωγραφίαι.

132. Τὰ περὶ τὰ προικιμαῖα ἀκίνητα ἤτοι τὰ ἀδιατίμητα γινόμενα δαπανήματα πολυειδῆ καὶ διάφορα τυγχάνουσι καὶ τὸ ἀποτέλεσμα ποικίλον καὶ ἀνόμοιον ἔχοντα. ἢ γὰρ ἀναγκαῖά εἰσιν. ἀναγκαῖα δὲ λέγονται ὧν μὴ γενομένων ἢ τὰ πράγματα παντελῶς ἀπόλλυται ἢ χεῖρον γίνεται. οἷον ἐδόθη μοι οἶκος εἰς προῖκα τῆς γυναικός μου ἀδιατίμητος, καὶ σεισμοῦ γενομένου τὰ τούτου θεμέλια διεσείσθησαν καὶ γεγόνασιν ὑπόσαθρα· εἰ γοῦν δαπανήσω περὶ τὴν τούτου ἀνόρθωσιν καὶ ὑποστήριξιν, ἀναγκαῖον ποιῶ δαπάνημα τουτέστιν ἐξ ἀνάγκης τοῦ πράγματος ἀπαιτούμενον· τούτου γὰρ μὴ γενομένου ἢ παντελῶς ὁ οἶκος ἔμελλε καταπεσεῖν καὶ φθαρῆναι ἢ χείρων γενέσθαι· οὐδεὶς γὰρ βλέπων αὐτὸν ὑπόσαθρον μισθωτικῶς αὐτὸν ἐκλαμβάνεσθαι προεθυμήθη, καὶ διὰ τοῦτο καὶ ἡ ἐκ τούτου

---

[1] Est *Ἀπάντησις πρὸς τὸν λέγοντα, κεκωλυμένον εἶναι τὸν ἐκ τριγενείας γάμον καὶ ἀσυγχώρητον*, quam post Leunclavium edidit Rhallis in *Σύντ. τῶν κανόνων* V p. 366. [2] Capita 131 et 132 fugitiva sunt, utpote quae titulo potius sequenti inserenda fuerint.

πρόσοδος παντελῶς ἀπεμειοῦτο. τὸ τοιοῦτον γοῦν δαπάνημα εἴτε γνώμῃ καὶ προτροπῇ τῆς γυναικὸς γένηται εἴτε καὶ μή, ἀπαιτεῖται ἐξ ἀνάγκης μετὰ λύσιν τοῦ γάμου, ἢ μᾶλλον εἰπεῖν ἅμα τῇ ἐξόδῳ μειοῖ καὶ κολοβοῖ τὸ ποσὸν τῆς προικὸς καὶ χωρὶς δικαστηρίου. μείωσιν δὲ προικὸς ἀκούων μὴ ὑπολάβῃς αὐτὰ τὰ σώματα, τυχὸν τὸν οἶκον ἢ τὸν ἀγρὸν, περικόπτεσθαι. μάθε γὰρ ὅτι εἰ μέν εἰσιν ἐν τῇ προικὶ ἀκίνητα ἀδιατίμητα καὶ γένηται περὶ τὸν προικιμαῖον οἶκον ἀναγκαῖον δαπάνημα τυχὸν ἔξοδος γ' λιτρῶν καὶ ὁ οἶκος ἦν ἄξιος ι' λιτρῶν, οὐ περικόπτει ὁ ἀνὴρ μετὰ λύσιν τοῦ γάμου μέρος ἐκ τοῦ οἴκου ἄξιον τῶν γ' λιτρῶν καὶ λαμβάνει τοῦτο δεσποτικῶς, ἀλλ' ἔχει μόνον παρακατάσχεσιν τοῦ οἴκου ἕως οὗ τὸ ἱκανὸν αὐτῷ γένηται. εἰ δὲ σὺν τῷ οἴκῳ καὶ νομίσματα ἐδόθησαν ἐν προικὶ τυχὸν γ' λίτραι, καὶ γέγονεν ἔξοδος περὶ τὸν οἶκον τὸν ἀδιατίμητον γ' λιτρῶν, μειοῦται ἡ προὶξ ἤτοι κολοβοῦται ἅμα τῷ γενέσθαι τὴν ἔξοδον καὶ παύονται εἶναι ἐν προικὶ τὰ νομίσματα, καὶ ἐν ὅσῳ ἐλέγετο ἡ γυνὴ ἔχειν ἐν προικὶ οἶκον καὶ γ' λίτρας νομίσματα, μένει ἔχουσα προῖκα τὸν οἶκον μόνον. πανταχοῦ δὲ ἀδιατίμητον ἐθεμάτισα τὸν τῆς προικὸς οἶκον, περὶ ὃν τὰ δαπανήματα γέγονεν, ἵνα καὶ ἡ ἀπαίτησις τῆς δαπάνης ἢ μᾶλλον εἰπεῖν ἡ μείωσις χώραν ἕξει. τὰ γὰρ περὶ τὸν διατετιμημένον οἶκον γενόμενα δαπανήματα οὔτε ἀπαιτοῦνται οὔτε μείωσιν εἰσδέχονται, διότι τῶν διατετιμημένων δεσπότης ἐστὶν ὁ ἀνὴρ ὡς ἀγοραστὴς, καὶ ὡς [εἰς] ἴδια δαπανῶν ἀπαίτησιν οὐκ ἔχει· οὐδεὶς γὰρ δαπανῶν εἰς ἴδιον πρᾶγμα ἀπαιτεῖ τὰς δαπάνας· τίνα γὰρ καὶ ἀπαιτήσει αὐτάς; ἑαυτόν; καὶ τοῦτο ἄτοπον. μαθὼν οὖν τί ἐστιν ἀναγκαῖον δαπάνημα καὶ τί τὸ ἀποτέλεσμα τούτου, μάθε τί ἐστι καὶ τὸ χρήσιμον καὶ τί τὸ ἀποτέλεσμα τούτου. χρησίμους δαπάνας λέγομεν ἤτοι ἐπικερδεῖς τὰς αὐξανούσας καὶ βελτίω ποιούσας τὴν προῖκα, οὐ μὴν μὴ συγχωρούσας μὴ εἶναι αὐτὴν χείρω. οἷον ὁ ἀνὴρ περὶ τὸν προικιμαῖον ἀγρὸν ἐξοδιάσας ἐποίησε λιβάδιον, ὅπερ οὐκ ἦν ἀναγκαῖον· ἠδύνατο γὰρ καὶ χωρὶς αὐτοῦ τὸ κτῆμα συνίστασθαι καὶ μὴ γενέσθαι χεῖρον ἀλλ' ἔχειν τὴν πρώτην κατάστασιν καὶ γεωργεῖσθαι ἐν τῷ σπείρεσθαι· ἢ τοὺς ἀφήλικας δούλους τῆς γυναικὸς τοὺς μὴ διατιμηθέντας ἐδίδαξεν ἰατροὺς ἢ γραμματικοὺς ἐποίησεν. ἆρα οὖν λυθέντος τοῦ γάμου παρακατέχει ὁ ἀνὴρ τὰ προικιμαῖα πράγματα διὰ τὰς δαπάνας ταύτας ἢ μειοῦται ἡ προὶξ δι' αὐτῶν, ἢ κἂν μήτε παρακατάσχεσιν ἔχῃ μήτε ἡ προὶξ μειοῦται διὰ τὰ τοι-

αὔτα δαπανήματα, ἔχει ἀγωγὴν ἐξ ἀνάγκης καὶ ἀπαιτεῖ αὐτά; καὶ λέγομεν, ὅτι οὔτε ἡ προὶξ διὰ τῶν τοιούτων δαπανημάτων μειοῦται ὥσπερ μειοῦται διὰ τῶν ἀναγκαίων, οὔτε παρακατάσχεσίς ἐστι τῆς προικὸς, ἀλλ᾽ ἀναδίδωσι τὴν προῖκα τῇ γυναικὶ ὁ ἀνὴρ μετὰ λύσιν τοῦ γάμου κατὰ τοὺς καιροὺς τῆς ἀντιστροφῆς, καὶ μετὰ τὴν ἀντιστροφὴν ζητεῖται, ἆρα κατ᾽ ἐντολὴν τῆς γυναικὸς ἐποίησε τὰ ἐπικερδῆ δαπανήματα ὁ ἀνὴρ ἢ χωρὶς ἐντολῆς· καὶ εἰ μὲν φανῇ ὅτι κατ᾽ ἐντολὴν τῆς γυναικὸς γεγόνασι τὰ ἐπικερδῆ δαπανήματα, κινεῖ κατ᾽ αὐτῆς τὴν περὶ ἐντολῆς ἀγωγὴν καὶ λαμβάνει τὰς δαπάνας. εἰ δ᾽ ἴσως ὁ ἀνὴρ χωρὶς τῆς τῆς γυναικὸς ἐντολῆς ἐποίησεν αὐτὰς, οὐκ ἀπαιτεῖ τὴν γυναῖκα τὰ δαπανήματα, ἵνα μὴ συνωθουμένη ἡ γυνὴ εἰς τὴν δόσιν καὶ μὴ ἔχουσα ἄλλην εὐπορίαν καταναγκασθῇ πωλῆσαι αὐτὰ περὶ ἃ γέγονεν ἡ δαπάνη ἢ μὴ εὑρίσκουσα ἀγοραστὴν ὑπεκστῇ τούτων τῷ ἀνδρὶ καὶ ἐκ μεθόδου καὶ περινοίας κερδάνῃ ὁ ἀνὴρ τὰ τῆς γυναικός. ἐν τούτοις δὲ τοῖς ἐπικερδέσι δαπανήμασιν ὡς ἐπὶ πολὺ συναριθμεῖται τὸ ἀρτοκοπεῖον καὶ τὸ ὡρεῖον τὸ τῷ προικώῳ οἴκῳ προστεθέν. διὰ δὲ τούτου ὡς ἐπὶ πολὺ τοῦτο δηλοῦται, ὅτι ὅτε μὲν μὴ κατὰ τὸ ἀναγκαῖον γένηται τὸ ἀρτοκοπεῖον καὶ τὸ ὡρεῖον ἐπικερδὲς νοεῖται, ὅτε δὲ κατὰ τὸ ἀναγκαῖον καὶ ἀπαραίτητον, τότε τοῖς ἀναγκαίοις συναριθμεῖται δαπανήμασιν. ἆρα δὲ ἐπὶ τῶν ἐπικερδῶν δαπανημάτων τῶν μὴ γενομένων κατ᾽ ἐντολὴν τῆς γυναικὸς ζημιωθήσεται ὁ ἀνὴρ καὶ κερδανεῖ ταῦτα ἡ γυνή; οὔ. ἀλλ᾽ εἰ μὲν εὐπορεῖ ἡ γυνὴ καὶ δίδωσι τὰ δαπανήματα, λαμβάνει ταῦτα ὁ ἀνήρ· εἰ δὲ μὴ εὐπορεῖ, περιαιρεῖ τὰ βελτιώματα ἄνευ ζημίας τῆς γυναικός. ταῦτα καὶ περὶ τῶν ἐπικερδῶν εἰπόντες δαπανημάτων, εἴπωμεν καὶ περὶ τῶν ἐπιτερπῶν. ἐπιτερπεῖς δαπάναι εἰσὶν αἱ τὸ εἶδος μόνον κοσμοῦσαι οὐ μὴν καὶ καρπὸν αὔξουσαι, οἷον αἱ ζωγραφίαι καὶ αἱ ἱστορίαι, τὰ χλοηφόρα γήδια, τὰ ἀναβρυτὰ ὕδατα. χλοηφόρα δὲ γήδια αἱ ῥοδωνιαὶ λέγονται καὶ κρινωνιαί· λορικατίωνες δὲ λέγονται αἱ ζωγραφούμεναι σανίδες. αὗται αἱ ἐπιτερπεῖς δαπάναι, εἴτε κατ᾽ ἐντολὴν τῆς γυναικὸς γίνονται εἴτε καὶ μὴ, οὐκ ἀπαιτοῦνται· ἀλλ᾽ εἰ μὲν βούλεται ἡ γυνὴ, δίδωσι τὰς δαπάνας, εἰ δ᾽ οὖν, περιαιρεῖ αὐτὰς ὁ ἀνὴρ, εἴγε δύνανται περιαιρεθῆναι, καὶ μέλλει ἔχειν αὐτὰς ὁ ἀνήρ. ἐπεὶ οὐ περιαιρεῖ αὐτάς· οὐ γὰρ ἀκούεται κακοθελῶς θέλων αὐτὰς περιαιρῆσαι καὶ τὸ ὅλον εἰπεῖν διὰ φθόνον μόνον. εἰ δὲ τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη, πράσιμον ἦν, οὐκ εἰσι πρὸς

τέρψιν ἀλλ᾽ ἐπωφελεῖς· αὔξεται γὰρ ἡ τιμὴ καὶ ὁ ἀγοράζων αὐτὸ πλείονα δίδωσι, καὶ ἀπαιτεῖται ἡ δαπάνη τῶν ἐπιτερπῶν τοιουτοτρόπως.

Τίτλος θ΄. Περὶ δικαίου προικός.

1. *Πᾶσα προὶξ ἢ διατετιμημένη ἐστὶν ἢ ἀδιατίμητος. ἐπὶ μὲν οὖν τῆς διατετιμημένης, ἐπειδὴ ἀγοραστής ἐστιν ὁ ἀνήρ, πᾶσαν αὔξησιν καὶ ζημίαν ἐπιγινώσκει· ἐπὶ τῆς ἀδιατιμήτου δὲ πάλιν ὡσαύτως ἡ γυνή, ὥς φησι τὸ παρὸν ζ΄ κεφ. εἰσὶ δὲ καὶ ἕτερα εἴδη προικῶν τὰ λεγόμενα διατετιμημενοαδιατίμητα. ἓν μὲν τοιοῦτον, ὥς ὅταν ὁ ἀνὴρ λάβῃ προῖκα καὶ συμφωνήσῃ, ὅτι εἰ μὲν σώζονται ὅλως, κἂν χείρονα γένωνται, τὰ προικιμαῖα πράγματα, αὐτὰ ἀποδοῦναι, εἰ δὲ φθαρῶσι, τὴν τούτων διατίμησιν παρασχεῖν· ἐφ᾽ οὗ θέματος καὶ τοὺς τοκετοὺς ἡ γυνὴ κερδαίνει τῶν ἀνδραπόδων. διὰ γὰρ τὸ ὑφίστασθαι ταύτην τοιοῦτον βάρος, ὥστε καὶ χείρονα γενόμενα τὰ προικιμαῖα πράγματα, εἰ τέως ὅλως καὶ σώζονται, αὐτὰ ἀναλαβεῖν, ἔχει κέρδος τοὺς τοκετούς, ὡς βι. κη΄ τί. ιη΄ κεφ. ξβ΄ διατάττεται. ἕτερον δὲ εἶδος διατετιμημενοαδιατιμήτου προικός ἐστιν, ὡς ὅταν ὁ ἀνὴρ λαμβάνων προῖκα συμφωνήσῃ ἀποδοθῆναι τὰ προικιμαῖα πράγματα τοῦ αὐτοῦ τιμήματος οὗτινός εἰσι νῦν. ἐπὶ γοῦν τούτου [τοῦ] θέματος ὁ ἀνὴρ κερδαίνει τοὺς τοκετοὺς διὰ τὸ ὑπομεῖναι τοσοῦτον βάρος, ὥστε τὰ διατετιμημένα δοῦναι τοῦ αὐτοῦ τιμήματος ἄξια, κἂν χείρονα γένωνται, ὥς φησι τὸ κεφ. τοῦ η΄ τί. τοῦ κη΄ βι. διὰ τοῦτο δὲ λέγονται ταῦτα τὰ θέματα διατετιμημενοαδιατίμητα ὡς καὶ ἀμφοτέρων μετέχοντα. καθὸ μὲν γὰρ καὶ ἐπὶ τῶν β΄ θεμάτων αὐτὰ τὰ πράγματα εἰ σώζονται ἀναδίδονται, μετέχουσι τῆς ἀδιατιμήτου προικὸς· καθὸ δὲ πάλιν φθαρέντων αὐτῶν τὰ τιμήματα ἀναδίδονται, μετέχουσι τῆς διατετιμημένης[1].*

2. *Ἡ διατετιμημένη προὶξ τῷ ἀνδρὶ ἐγκινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν. τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ μείωσις εἰς τὴν γυναῖκα ὁρᾷ· καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων. τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρω-*

---

[1] Schol. ad Bas. XXIX, 1, 7. Cf. Syn. *Π*, 29 schol. a.

τόπυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται[1].

3. Ὑπόθες τὴν διατίμησιν πρὸ τοῦ γάμου γενέσθαι, ἥτις δοκεῖ πως ὑπὸ αἵρεσιν εἶναι, τουτέστιν ἐὰν προβῶσιν οἱ γάμοι. τῶν γάμων τοίνυν προβάντων βεβαιοῦται ἡ διατίμησις, καὶ τότε ἀληθὴς γίνεται πρᾶσις. εἰ δὲ πρὸ τοῦ γάμου τελευτήσωσι τὰ διατετιμημένα ἀνδράποδα, εἰς τὴν γυναῖκα ὁρᾷ ἡ ζημία[2].

4. Τῶν γάμων μὴ γενομένων οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει. τῶν γάμων δὲ γενομένων οὐ τὰ πράγματα, ἀλλὰ τὴν διατίμησιν ὁ ἀνὴρ ὀφείλει[3].

5. Κἂν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐγκινδυνεύει, εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο. τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα, μή κατακρημνίσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον, ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρι εὐπορίας καταδικάζονται[4].

6. Ἐὰν ὁμολογήσῃ τὶς εἴσω ἐνιαυτοῦ διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως, ἀλλὰ ἀπὸ τῆς ἡμέρας τῶν γάμων ἀπαριθμεῖται[5].

7. Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας μου θυγατρὸς ἐπιδῶ τὰ δωρηθέντα αὐτῇ παρ᾽ ἐμοῦ, οὐκ ἐγὼ ἀλλ᾽ αὐτὴ δεδωκέναι δοκεῖ[6].

8. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προὶξ ὀφείλει εἶναι. παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή.[7].

9. Τότε δίδομεν τὴν ἀπαίτησιν τῆς προικὸς προτιμοτέραν εἶναι τῶν προγενεστέρων δανειστῶν καὶ τοῦ μεταγενεστέρου δημοσίου, ὅτε αὐτὴ ἡ γυνὴ ἢ οἱ κατιόντες αὐτῆς ἀπαιτοῦσι τὴν προῖκα. οἱ γὰρ ἀνιόντες καὶ οἱ ἐκ πλαγίου καὶ οἱ ἐξωτικοὶ τάξιν ἐπέχουσι κοινῶν χρεωφειλετῶν[8].

10. Κἂν αὐτὸ τοῦτο τὸ πρᾶγμα τῆς προικὸς δοῦναι γράψῃ ὁ ἀνὴρ, ἡ γυνὴ ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ[9] δὲ τὴν διατίμησιν, ἐπιλογὴν ἔχει ὁ ἀνὴρ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν δικαίαν διατίμησιν[10].

---

[1] Proch. VIII, 1. 2. Basil. XXIX, 1, 6. [2] Schol. 1 ad Basil. l. l. [3] Proch. VIII, 3. [4] Proch. h. t. 4. [5] Proch. h. t. 5. [6] Proch. h. t. 6. [7] Proch. h. t. 8. [8] Cf. Basil. IX, 9, 8. [9] Cod. περί. [10] Epanag. XVIII, 6.

11. *Μετὰ τὸν γάμον οὐ δύναται χείρονα τὴν αἵρεσιν ο πατὴρ ποιῆσαι τῆς προικὸς, ἐπειδὴ οὔτε καταβάλλεται αὐτῷ ἡ προὶξ ἀκούσης τῆς θυγατρός*[11].

12. *Πάντες οἱ ἐπαγγειλάμενοι προῖκα ἐνέχονται, οἵας ἂν ὦσι φύσεως ἢ αἱρέσεως. εἰ δὲ μὴ γένωνται οἱ γάμοι, οὐ κινεῖται ἡ περὶ τῆς ἀπαιτήσεως τῆς προικὸς ἀγωγή. οὐ γὰρ τοῖς ῥήμασιν ἀλλὰ τοῖς πράγμασι δεῖ προσέχειν*[12].

13. *Τὸ λεγόμενον, ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ αὐτῷ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ, ὥστε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ, ἕως οὗ λάβῃ τὴν δαπάνην. εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσου ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχῃ τὰς δαπάνας. εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦται. καταβαλούσης δὲ τῆς γυναικὸς τὰς δαπάνας, ὑποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα. ἐν τῷ μεταξὺ δὲ κωλύεται ἡ ἐκποίησις αὐτοῦ*[1].

14. *Ποῖον ὀφείλει λογίζεσθαι τὸ διατετιμημένον. Ἐπεὶ νόμος ῥητῶς οὐ κεῖται διδάσκων ποῖον ὀφείλει λογίζεσθαι ἀδιατίμητον καὶ ποῖον διατετιμημένον, πράξεις δ' εὑρίσκονται τῶν ἐλλογιμοτάτων ἀνδρῶν τοῦ τε μακαρίτου μαγίστρου τοῦ δεκαπολίτου καὶ τῶν πατρικίων βάρδα καὶ νικολάου τῶν μακαριωτάτων, ἀλλὰ καὶ ἑτέρων ἀρχαίων δικαστῶν, τυποῦσαι ἐν οἷς μὴ πρόσκειται τιμῆς λόγος, ἀλλ' ἁπλῶς ἀντὶ λιτρῶν τόσων τόδε ἀδιατίμητα λογίζεσθαι, ἑπόμενοι καὶ ἡμεῖς ταῖς εἰρημέναις πράξεσι τὴν δοθεῖσαν τῷ δεῖνι προῖκα*[4] *ἀδιατίμητον λογιζόμεθα.*

15. *Γυνὴ συνισταμένων ἔτι τῶν γάμων, ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι τὴν αὐτοῦ περιουσίαν ὡς ἀπὸ ὑποθήκης*[5].

16. *Ἐχέτω δὲ ἡ γυνὴ μὴ μόνον τὴν περὶ τῆς δεσποτείας ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν, προτιμοτέρα ὑπάρχουσα πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν, τῶν τε προγενεστέρων καὶ τῶν μεταγενεστέρων*[6].

17. *Ἡ τῆς προικὸς ἐπερώτησις σιωπηρὰν αἵρεσιν ἔχει τὴν ἐὰν ὁ γάμος γένηται*[7].

---

[1] Basil. XXIX, 1, 24. [2] Basil. XXIX, 1, 37. [3] Proch. VIII, 9.
[4] Lips. *πρᾶξιν*. [5] Attal. XX, 4. [6] Attal. XX, 5. [7] Attal. XX, 2.

18. Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν[1].

Τίτλος ι'. Περὶ ἐκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς.

1. Συνεστῶτος τοῦ γάμου, ἐὰν ἡ προὶξ κατείχετο παρὰ τοῦ πενθεροῦ ἤ τινος, τῇ μὴ ἀπολλυούσῃ γαμετῇ δύναται ἡ προὶξ ἐκ τούτων καταβαλέσθαι τῶν αἰτιῶν· οἷον ἵνα αὐτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα ἢ τοὺς ἀδελφοὺς πενομένους[2].

2. Ὁ ἀνὴρ ἐπιτρέπων ἑτέρῳ τινὶ δοθῆναι τὴν προῖκα, αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι[3].

3. Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ[4].

4. Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς αὐτῶν οὐσίας καταδικάζονται[5].

5. Ὁ ἐπερωτηθεὶς τῷ γαμβρῷ αὐτοῦ προῖκα, καὶ πρὸ τοῦ ἐπιδοῦναι ταύτην ληγάτον εἶναι αὐτὴν τῇ θυγατρὶ αὐτοῦ διαθέμενος, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον, ἀλλ' εἷς μόνος ἀπαιτεῖ, εἴτε ὁ γαμβὸς εἴτε ἡ θυγάτηρ, ὃς ἐὰν συναρέσῃ αὐτοῖς[6].

6. Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας τὸν ἄνδρα κερδάναι τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾷν τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ[7].

7. Ἐὰν ἡ γυνὴ κατὰ ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ὑπαναχωρήσῃ τοῦ ἀνδρὸς, ὁ δὲ ὥσπερ ἀγοράζων τὴν φιλίαν αὐτῆς συμφωνήσῃ μὴ ἀπαιτῆσαι τὴν προῖκα εἴγε πρὸς αὐτὸν ὑποστρέψῃ, οὐκ ἔῤῥωται ἡ τοιαύτη συμφωνία[8].

---

[1] Proch. VIII, 7. — Paris. 1351 A post §. 8 collocat §§. 13. 14, post §. 11 parapraphos 15—17. Idem in fine adjicit „ἐκ τοῦ τῆς ἐκκλησίας πυξίου" paragraphos tres: Ὁ τοκετὸς τῶν προικιμαίων — Οὐ κεκώλυται ὁ ἀνὴρ τοὺς προικιμαίους — Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν —. Hanc ultimam §. Paris. 1368 in margine adscriptam habet, et praeterea paragraphos has: Τὸ προνόμιον ὅπερ ὁ ἀνὴρ — Ἡ γυνὴ διαλυομένου τοῦ γάμου - Ἔδωκέ τις προῖκα τῇ ἑαυτοῦ θυγατρὶ —. In fine idem addit caput illud, quod noster exhibet tit. X §. 43. [2] Proch. IX, 1. [3] Proch. IX, 3. [4] Proch. IX, 2. [5] Proch. IX, 4. [6] Proch. IX, 5. [7] Proch. IX, 6. [8] Proch. IX, 7.

8. Ἐάν τις συνεφώνησε πρὸς τὸν πενθερὸν, ἵνα, ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ συμφωνηθέν[1].

9. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας· ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομῆσαι. ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς ἐν διαθήκῃ δίδοται[2].

10. Ἐὰν γένηται σύμφωνον, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προὶξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προὶξ, ἔῤῥωται τὸ σύμφωνον καὶ ἀποκλείεται ὁ πατήρ. δυνατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνου τὴν προῖκα ὅτε μόνος ὁ πατὴρ μέλλει περὶ αὐτῆς ἐνάγειν[3].

11. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα τοῦ ἀνδρὸς ὑπὲρ τῆς προγάμου δωρεᾶς καὶ τῆς προικὸς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασα ἤγουν κατέχουσα οὐ δύναται ταῦτα ἐκποιεῖν, ἀλλ᾽ ἐξ αὐτῶν ἀναγκάζεται καὶ τὸν ἄνδρα καὶ τοὺς παῖδας ἀποτρέφειν[4].

12. Ἐὰν ἐνεγράφη μὲν ἐν τῷ προικῴῳ συμβολαίῳ ποσότης προικὸς, μὴ ἐπεδόθη δὲ, ἔξεστι τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ τῷ τοῦ ἀνδρὸς πατρὶ καὶ τοῖς λοιποῖς κληρονόμοις αὐτοῦ καὶ ἁπλῶς παντὶ προσώπῳ τὴν προῖκα αἰτουμένῳ ἀντιτιθέναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν εἴσω ἐνιαυτοῦ ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου[5].

13. Δύναται ὁ ἀνὴρ εἴσω δεκαετίας ἐπιμέμφεσθαι καὶ λέγειν μὴ ἐπιδοθῆναι αὐτῷ τὴν συμπεφωνημένην καὶ ἣν ἐχειρογράφησε προῖκα, μετὰ δὲ δεκαετίαν οὐδαμῶς. τοῖς δὲ κληρονόμοις αὐτοῦ ἐνιαυτὸς εἰς τὸ τὴν ἀναργυρίαν ἀντιτιθέναι. ἐὰν δ᾽ εὑρεθῶσι τὰ πράγματα πρὸς εἶδος ἐν τῇ ἀποληπτικῇ τῆς προικὸς, οὐδόλως δέχεται ἡ τῆς ἀναργυρίας παραγραφή[6].

14. Περὶ τῆς προικὸς λεγομένης ἀναργυρίας ἑτέρως ἡ ρ´ νεαρὰ διαλαμβάνει, κελεύουσα, εἰ μὲν εἴσω διετίας ὁ γάμος διαλυθείη ἢ θανάτῳ ἢ ῥεπουδίῳ ἤτοι ἐν ζωῇ διαλύσει, ἔχειν καὶ τὸν ἄνδρα καὶ τοὺς αὐτοῦ κληρονόμους τέλειον ἐνιαυτὸν ἀριθμούμενον συναπτῶς ἀπὸ τῆς τοῦ γάμου λύσεως εἰς τὸ

---

[1] Proch. IX, 8. [2] Proch. IX, 9. [3] Proch. IX, 10. [4] Cod. V, 12, 29. [5] Proch. IX, 11. [6] Attal. XXI, 1.

μέμψασθαι τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἐπέδωκαν αὐτήν· εἰ δὲ ὑπερβὰς τὴν διετίαν ὁ γάμος μέχρι δεκαετίας διαλυθῇ, τότε καὶ ὁ ἀνὴρ καὶ οἱ κληρονόμοι αὐτοῦ τρίμηνον ἄλλο μετὰ τὴν λύσιν τοῦ γάμου λαμβάνουσιν· εἰ δὲ ὑπερβῇ ἡ δεκαετία, οὔτε ὁ ἀνὴρ οὔτε οἱ κληρονόμοι αὐτοῦ ἕτερόν τινα χρόνον λαμβάνουσιν. μέμψιν δέ φησιν οὐ τὴν ἁπλῶς καὶ ὡς ἔτυχεν γενομένην, ἀλλὰ τὴν ἢ ἐγγράφως ἐπὶ μαρτύρων τελουμένην ἢ ἐν δικαστηρίῳ γενομένην ἔγκλησιν. καὶ ταῦτα μέν, εἴγε καὶ ὁ ἀνὴρ τέλειός ἐστιν καὶ οἱ αὐτοῦ κληρονόμοι. εἰ γὰρ εἴτε ὁ ἀνήρ ἐστιν ἀφῆλιξ, μέχρι τοῦ κζ΄ ἐνιαυτοῦ δύναται μόνον σιωπήσας κινεῖν, ὃν ὑπερβὰς ἐφ᾽ ὅλον σεσιγηκὼς μετὰ τῶν αὐτοῦ κληρονόμων ἀποκλείεται· εἴτε οἱ κληρονόμοι τοῦ ἀνδρός εἰσιν ἀφήλικες, ἡνίκα ἢ τὸν ἐνιαυτὸν ἢ τὸ τρίμηνον λαμβάνωσιν, ὅσου ἂν ὦσι χρόνου ὀλίγου, πενταετίαν ἔχουσι μόνην. εἴσω δὲ τοῦ κζ΄ ἐνιαυτοῦ τελευτῶντος τοῦ ἀφήλικος ἀνδρὸς καὶ κατὰ μηδὲν μεμψαμένου, τέλειον ἐνιαυτὸν οἱ αὐτοῦ κληρονόμοι λαμβάνουσι τέλειοι ὄντες· εἰ δὲ καὶ αὐτοὶ ὦσιν ἀτελεῖς πάνυ, πάλιν τὴν πενταετίαν κἀνταῦθα. ἐν κεφαλαίῳ οὖν ἔστιν εἰπεῖν, ὅτι διετίας εἴσω τοῦ γάμου διαλυθέντος καὶ τοῦ ἀνδρὸς σεσιγηκότος καὶ μηδὲν μεμψαμένου κατὰ τὸν χρόνον τῆς διετίας καὶ λαμβάνοντος μετὰ τὴν λύσιν τὸν ἐνιαυτὸν καὶ μηδὲ κατὰ τοῦτον ἐνάγοντος, ἢ τῶν αὐτοῦ κληρονόμων τὸν ἐνιαυτὸν λαμβανόντων καὶ μηδὲ αὐτῶν κατὰ τοῦτον ἐναγόντων, ἢ τοῦ γάμου μέχρι δικαετίας λυομένου καὶ κατὰ πάντα τοῦτον τὸν χρόνον σιγῶντος τοῦ ἀνδρὸς καὶ ἐν τῷ τριμήνῳ αὐτοῦ τε καὶ τῶν αὐτοῦ κληρονόμων οὐ μεμφομένων καὶ ἁπλῶς ἐπὶ τοῖς προτεθειμένοις διὰ τὴν ἀνηλικιότητα αὐτῶν, καθάπερ εἴρηται, χρόνοις οὔτε ἐγγράφως μεμψαμένων καὶ προσφωνησάντων τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἀπέδωκαν αὐτοῖς, οὔτε μὴν ἐν δικαστηρίῳ ἐναγωγὴν ποιησαμένων· οὔτε ὁ ἀνὴρ μετὰ ταῦτα οὔτε οἱ κληρονόμοι αὐτοῦ δύνανται τὴν οἱανοῦν κίνησιν ποιεῖσθαι κατὰ τῶν χρεωστούντων τὴν προῖκα, ἀλλ᾽ αὐτοὶ ὡς εἰληφότες αὐτὴν χρεωστοῦσι τῇ γυναικὶ καὶ ταύτην ἀναδιδόασιν. καὶ ταῦτα οὐχ ὡς δοκεῖ τοῖς πολλοῖς ἁπλῶς ἀεὶ καὶ ἀπροσδιορίστως, ἀλλ᾽ ὡς ὑπεμφαίνει ἡ νεαρά, ἢ περιόντος τοῦ ὑποσχομένου καὶ φάσκοντος ἐπιδεδωκέναι, ἢ τελευτήσαντος καὶ ἀδήλου ὄντος, εἴτε ἔδωκεν εἴτε οὐκ ἔδωκεν, τὰ εἰρημένα τρακταΐζεται· τότε γὰρ ἡ χρονία σιγὴ τοῦ ἀνδρὸς τῶν ὑποσχομένων αὐτῷ τὴν προῖκα τὴν εὐπορίαν τῶν ἀποδείξεων, ὥς φησιν ἡ νεαρά, διαχέουσα ὑπεύθυνον αὐτὸν

καὶ τὸ αὐτοῦ μέρος τῇ γυναικὶ ἀπεργάζεται. εἰ γὰρ ἄλλως ὁμολογούμενον εἴη, τυχὸν αὐτοῦ τοῦ ὑποσχομένου ὁμολογοῦντος, ὅτι οὐδέπω τὴν προῖκα ἀπέδωκα, πῶς ἂν εἴη δίκαιον, ὥς τινές φασι, μὴ τὸν ὑποσχόμενον καὶ ταῦτα εὐποροῦντα, κἂν ὁπόσος ἂν ῥυῇ χρόνος, ἀπαιτηθῆναι τὴν προῖκα, ἀλλὰ τὸν μηδὲ λαβόντα ἄνδρα, εἰ τυχὸν δι᾿ ἐπιείκειαν καὶ τὴν περὶ τοὺς γονεῖς εὐλάβειαν ἐσιώπησε, ταύτην εἰσπράττεσθαι; εἰ μέντοι ἐν τῷ μεταξὺ ὁ ὑποσχόμενος ἀπορήσειεν, ἐστὶν ἕτερος νόμος περὶ αὐτοῦ[1].

15. *Ἐπὶ τούτοις ζητεῖται, εἰ καταδικαζόμενος ὁ ἀνὴρ δοῦναι τὴν προῖκα καὶ προγάμου δωρεὰν ἀναγκασθείη δοῦναι*[2].

16. *Ἐστὶ τὸ μὲν ἐνταῦθα κεφάλαιον ἐκ τῆς νεαρᾶς εἴς τινα παραλλάττον, τὸ δὲ ἄλλο τοῦ δ' βι. τοῦ κώδ. ὃ παντελῶς ἀνῃρέθη. κατὰ τὸν κώδικα γὰρ ὅσος ἂν παραδράμῃ χρόνος ἐν συνεστῶτι τῷ γάμῳ, πάλιν μετὰ τὴν λύσιν ἕτερος ἐδίδοτο ἐνιαυτός. ταῦτα οὖν καινίζουσα ἡ νεαρὰ τὴν εἰρημένην τῶν χρόνων ποσότητα καὶ διαίρεσιν ἐποιήσατο καὶ συνέταξεν*[3].

17. *Τῆς προικὸς μὴ ἐπιδοθείσης ἐν συνεστῶτι τῷ γάμῳ, εἰ μὲν πρὸ τριετίας τελευτήσει ὁ ἀνήρ, οὐδεμίαν μέμψιν ἔσχε μὴ ἐπιζητήσας τὴν προῖκα· εἰ δὲ ἐπέζησε*[4] *τῷ γάμῳ ἐνήλικος ὢν ἕως δεκαετίας, αὐτὸς ὑπόκειται ἐκ τῶν ἰδίων καὶ ὅθεν δύναται πληροῦν τῇ γυναικὶ τὴν προῖκα. εἰ δ᾿ ἀνήλικος ᾖ ἐν συνεστῶτι τῷ γάμῳ, μετὰ τὴν ἐνηλικιότητα ἐχέτω δεκαετίαν, καὶ εἰ μηδὲ τότε ἀπαιτήσει τὴν προῖκα, πάλιν αὐτὸς ὑποκείσθω τῇ γυναικί· εἰ δὲ μήτε κατὰ τὴν δεκαετίαν ἐν ὅλῃ τῇ συστάσει τοῦ γάμου ἐνήλικος ὤν, [μήτε] μετὰ τὴν ἐνηλικιότητα καὶ τὴν προσθήκην τῆς δεκαετίας μηδὲν ἀπαιτήσας τελευτήσει, πρὸς τοὺς κληρονόμους αὐτοῦ ἔστω ἡ ζημία· ἐλλιποῦς δὲ τοῦ χρόνου ὄντος εἴτε τοῦ ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου ἐνήλικος ὄντος εἴτε τοῦ ἀπὸ τῆς ἀνηλικιότητος προκόψαντος εἰς τὸν ἐνήλικον χρόνον, συμπληρούσθωσαν μετὰ θάνατον αὐτοῦ οἱ εἰρημένοι χρόνοι, καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, εἰ μὲν ἐνήλικοί εἰσι, τριμήνου διάσκεψιν λαβόντες καταβαλλέτωσαν τῇ γυναικὶ τὴν προῖκα· εἰ δὲ ἀνήλικοί εἰσι, τελειούμενοι καὶ αὐτοὶ κατὰ τὴν ἡλικίαν ἐχέτωσαν πρὸς διάσκεψιν διετίας χρόνον, καὶ εἶθ᾿ οὕτως χρεῶσται καὶ ὑποκείμενοι διδόναι τὴν προῖκα τῇ γυναικὶ καταλογιζέσθωσαν*[5].

---

[1] Epan. XVIII schol. i. [2] Epan. ibid. [3] Epan. ibid. [4] Cod. *μὴ ἐπεζήτησε*. [5] Epan. XVIII, 26.

18. *Εἰ συναφθεῖέν τινες ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα φανῇ παρ' ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προὶξ μὴ δοθεῖσα τῷ συνοικήσαντι, ἀλλὰ ἀνασχόμενος ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη· οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθ' ὅσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γάρ ἐσμεν καὶ δικαιοσύνης ἐρασταὶ, καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις καὶ πρός γε τοῖς συνοικεσίοις αἱρούμεθα κρατεῖν, ὥστε ἡ μηδ' ὁτιοῦν ἐπιδοῦσα μηδ' ὁτιοῦν λαμβανέτω. εἰ δὲ ἡ μὲν δοῦναι βουληθῇ τὴν προῖκα ἢ ὁ ὑπὲρ ταύτης παρεχόμενος αὐτὴν ἢ ὅστις ποτ' ἂν εἴη, ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος μὴ ὑποδέξασθαι αὐτὴν βουληθῇ, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος καὶ ἑτοίμως ἔχει ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξειε καὶ προσαγάγοι τυχὸν, καὶ εἴγε κινητὴ καθεστήκοι καὶ σφραγίδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραν εἰσβάλλων εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστικοῦ τινες ἀπήγγειλαν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμείνοι δὲ καὶ οὕτως ἀναβαλλόμενον, μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦναι βουληθεὶς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλησιός ἐστι τῷ δεδωκότι*[1].

19. *Δύο προικῶν ὑπό τινος χρεωστουμένων τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἐκ τοῦ αὐτοῦ γάμου. εἰς δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεσίαν ἡ πρώτη προὶξ ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως*[2].

20. *Πρώτης καὶ δευτέρας προικὸς ἀπαιτουμένης ὑπὸ τῆς γυναικὸς καὶ τῶν λοιπῶν κληρονόμων νικᾷ ἡ πρώτη εἰς τὸ λαβεῖν τὸ ἱκανόν. ἐπὶ δὲ τῶν φαινομένων πραγμάτων καὶ γνωριζομένων ἑκάστη προτιμᾶται κατὰ τοῦ μέρους τοῦ προσάγοντος ἕτερον*[3].

21. *Ὅταν περὶ κέρδους ἀγωνίζωνταί τινες, προτιμᾶται ὁ περὶ τὸ κέρδος τῷ χρόνῳ πρωτεύων ἤγουν περὶ τὸν τόκον. ὑπέξελόν μοι ἐνταῦθα τὴν τῆς προικὸς ἀγωγήν*[4].

---

1 Proch. IX, 12. 2 Proch. IX, 14. 3 Attal. XIX, 22. 4 Basil. II, 3, 98 — Paris. 1351 A hic intercalat caput, quod supra positum est tit. VII §. 15.

22. *Ἡ γυνὴ προτιμάσθω περὶ τὴν προῖκα τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός*[1].

23. *Οὐ προτιμᾶται δὲ ἡ γυνὴ τῶν προτέρων δανειστῶν περὶ τὴν προγάμου δωρεάν*[2].

24. *Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μήπω προγενέστερον ὑπῆρχεν*[3].

25. *Ἡ γυνὴ περὶ τὴν προγάμου δωρεὰν οὔτε τοῦ δημοσίου χρέους, κἂν μεταγενέστερον ᾖ, οὔτε τῶν προτέρων δανειστῶν τοῦ ἀνδρὸς προτιμᾶται, ἀλλὰ μόνον τῶν μεταγενεστέρων.*

26. *Παντὸς χρέους, δημοσίου μὲν τοῦ μεταγενεστέρου μόνον, ἰδιωτικοῦ δὲ καὶ τοῦ προγενεστέρου καὶ τοῦ μεταγενεστέρου, καὶ πάσης ὑποσχέσως καὶ ἐνοχῆς τὴν γυναῖκα ζητοῦσαν τὴν προῖκα ἰσχυροτέραν εἶναι νομίζομεν. καὶ εἰ συμβῇ τὰ τοῦ ἀνδρὸς ἀπό τινος ὀργῆς βασιλικῆς ὡς πολλάκις συμβαίνει ἢ τῷ τῆς καθωσιώσεως ἁμαρτήματι διαταραχθῆναι καὶ διαφθαρῆναι, τῇ γυναικὶ τὴν προῖκα κελεύομεν δοθῆναι, καὶ εἶθ᾽ οὕτω τὰ λοιπὰ, ὡς τῷ δημοσίῳ ἔξεστι, διοικηθήτω*[4].

27. *Ἡ κεχρεωστημένη προὶξ προτιμᾶται ὅλων τῶν δανειστῶν τοῦ ἀνδρός. ὅμως ἐάν τις δανείσῃ ἐπὶ τῷ τὸν ἄνδρα ἢ τοὺς παῖδας αὐτῆς στρατευθῆναι, καὶ συνεφώνησιν ἔγγραφον, ὥστε κυριώτερον αὐτὸν εἶναι τῆς προικὸς, κάσσου τινὸς συμβάντος τουτέστιν ἀτυχήματος, προτιμᾶται ὁ τοιοῦτος τῆς προικὸς, ἐὰν ὅλως πρόσκειται καὶ ἡ στρατεία εἰς τὸν οἶκον κατὰ τὴν κζ΄ νεαράν*[5].

28. *Ὁ κατὰ βίαν ἀφελόμενός τι τῷ χρεώστῃ αὐτοῦ, οὐχ ἕξει ὁ τοιοῦτος δίκαιον δανειστοῦ*[6].

29. *Ἐὰν προσενέγκω τῷ δανειστῇ μου τὸ χρέος, ὁ δὲ μὴ δέξεται, ἀλλ᾽ ἐπαγγέλλεται μετὰ ι΄ ἢ κ΄ ἡμέρας δέχεσθαι, ἐν τῷ μέσῳ δὲ ἐναλλαγῇ τῶν νούμμων ἡ πολιτεία, οὐ ζημιοῦται ὁ δανειστὴς, ἀλλὰ πρὸς τὴν νέαν πολιτείαν ἀπαιτεῖ. εἰ δὲ καὶ ἐπίτροπος πρὸς τὸ εὐπίστως δανεῖσαι τὰ τοῦ πουπίλλου χρήματα τουτέστιν ἀνηλίκου φυλάξῃ, οὐ ζημιοῦται ἐκ τῆς τῶν νούμμων ἐναλλαγῆς*[7].

30. *Ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου προτιμᾶται ἢ πλοίου περιποίησιν, εἰ μόνον φανερῶς ἀποδειχθῇ ἡ καταβολὴ τοῦ δανείου. ἀλλὰ καὶ ὁ δανείσας ἐφ᾽ ᾧ τοῖς πρώτοις ἀποδοθῆναι δανεισταῖς εἰς τὸν τόπον αὐτῶν ὑπεισέρχεται*[8].

---

[1] Proch. IX, 15. [2] Proch. IX, 16. [3] Proch. IX, 17. [4] Epanag. XVIII, 31. [5] Imo *ϛζ΄ νεαράν*. Theod. Nov. 97 c. 6 ex Epit. XVII, 50. [6] Epit. XVII not. 68. [7] Epit. XVII, 52. [8] Epit. XVII, 81.

31. *Εἰ μὲν ὁ ἀνὴρ παρὰ γνώμην τῆς ἰδίας γυναικὸς ὑπόθηται τὰ πράγματα αὐτῆς, οὐκ ἔῤῥωται ἡ ὑποθήκη. ἐὰν δὲ συναινούσης αὐτῆς ὑπόθηται, πάλιν ἐμποδίζει τὸ δόγμα εἰ ᾔδει ὁ πρὸς τὸν ἄνδρα συναλλάξας*[1].

32. *Εἰ μὲν ὁ ἀνὴρ ὡς ἴδια τὰ τῆς γυναικὸς ὑπόθοιτο, ἀγνοεῖ δὲ ὁ συναλλάσσων τὸ δρᾶμα, ἡ δὲ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπίτηδες ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρὶ, τότε οὐ βοηθεῖται. τοῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα οὐ ταῖς πανούργοις*[2].

33. *Ἐὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν ἡ γυνὴ ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη μὴ κατέβαλεν, οὐδὲ καταβαλεῖν ἔτι ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλε, διεκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα*[3].

34. *Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ ἰδίῳ ἀνδρὶ ἢ ὑπογράψει καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ αὐτὴν ἐνοχοποιήσει, οὐδὲν τοιοῦτον ἰσχύει ἢ κρατεῖ· εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος· ἀλλ' οὕτως εἶναι, ὡσανεὶ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθησαν*[4].

35. *Γυνὴ ἐγγύας διδοῦσα ὑπὲρ χρηματικῆς δίκης οὔτ' εὐθύνεται οὔτ' ἐνέχεται*[5].

36. *Γυνὴ οὐκ ἐγγυᾶται, εἰ μὴ ἐντάξει ῥητῶς ἐν τῇ ἰδίᾳ συμφωνίᾳ οὑτωσίν· ὡς εἰ τάχα καὶ τὸ βελλιάνειον δόγμα, ὡς ὁ νόμος φησὶ, βοηθεῖ ἡμῖν τὸ ἑρμηνεῦον ῥητῶς οὑτωσὶν ὡς γυνὴ ἐγγυωμένη καὶ ἀπαιτουμένη βοηθεῖται, ἀλλ' ἐγὼ ἀκριβῶς γινώσκουσα τὴν ἐκ τοῦ νόμου βοήθειαν ἀποβάλλομαι τὴν τοιαύτην βοήθειαν καὶ ἀποπέμπομαι καὶ μηδεμίαν ὠφέλειαν ἐκ ταύτης ἐν τῇ ὑποθέσει ταύτῃ ζητήσω, ὥστε εἶναί με καταδεδικασμένην καὶ ἐνοχοπεποιημένην εἰς τὰ συμφωνηθέντα, παραβαίνοντος δηλονότι καὶ ἀποροῦντος τοῦ ἐγγυηθέντος παρ' ἐμοῦ τοῦ δεῖνος.*

37. *Οὐκ ἐνέχεται ἡ γυνὴ ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων, κἂν ἐγγυήσηται αὐτὸν, ὡς ἐκ τοῦ βελλιανείου δόγματος*

[1] Proch. IX, 18. [2] Proch. ibid. Epanag. XVIII, 27. [3] Proch. IX, 19. [4] Proch. IX, 20. [5] Epanag. XVIII, 32.

βοηθουμένη, καὶ οὐδὲ δημευομένου τοῦ ἀνδρὸς συνυπάγονται τῇ δημεύσει τὰ πράγματα τῆς γυναικὸς, οὐδὲ τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις[1].

38. Ἡ γυνὴ κἂν ὑπὲρ ἄλλου δέδωκεν ἐνέχυρα, ὅμως οὐ δύναται ταῦτα πιπράσκειν ὁ δανειστὴς, εἰ μὴ ὑποτιθεμένου αὐτὰ τοῦ ἀνδρὸς αὐτῆς προσεποιεῖτο μὴ εἶναι ἴδια καὶ περιεγράψατο τὸν δανειστὴν ἀγνοοῦντα[2].

39. Καὶ ὑπὲρ παιδὸς ἀντιφωνοῦσα γυνὴ κέχρηται τῇ παραγραφῇ[3].

40. Γυνὴ τὸ ἴδιον ἀγνοήσασα δίκαιον συγγινώσκεται[4].

41. Γυνὴ οὐ δύναται κινεῖν ἔγκλημα κατά τινος εἰ μὴ ἐπὶ ἰδίᾳ αἰτίᾳ[5].

42. Ἐὰν ὁ πατὴρ ὁμολογήσῃ προῖκα τῷ γαμβρῷ αὐτοῦ καὶ λεγατεύσῃ προῖκα, ἀνίσχυρον τὸ λεγάτον· οὐ γὰρ ἐῤῥωμένως τὶς λεγατεύει τὸν χρεώστην αὐτοῦ· εἰ δὲ τῇ θυγατρὶ, ἔῤῥωται. ἡ μὲν γὰρ προὶξ τῷ ἀνδρὶ ἀπὸ τῆς ἐπερωτήσεως διαφέρει, τὸ δὲ λεγάτον τῇ θυγατρὶ κεχρεώστηται, καὶ λαμβάνει ἑκάτερον ἡ θυγάτηρ[6].

43. Οὐκ ἐξουσιάζει ὁ ἀνὴρ τῶν ἐξωπροίκων τῆς ἰδίας γυναικός. ὅθεν εἰ κατὰ γνώμην αὐτῆς δαπανήσει αὐτὰ, καταδικάζεται εἰς ὅσον εὐπορεῖ. εἰ δὲ χωρὶς αὐτῆς ἀναλώσει αὐτὰ, τὸ πᾶν ἀπαιτεῖται[7].

Τίτλος ιά. Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.

1. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται δωρεὰ διὰ τὸν ἔρωτα, καὶ τὸ μὴ ἔχειν αὐτοὺς πρόφασιν διαζυγίου ἐκ τοῦ μὴ δωρεῖσθαι, καὶ διὰ τὸ μὴ γενέσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον. τοῦτο δὲ οὐκ ἐπὶ τῶν συνεστώτων μόνον γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί[8].

2. Οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι· καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐῤῥωμένως δωρεῖται, εἰ μὴ ἐπὶ τὰ κάστρα ἀπιόντι. ἰδιόκτητον γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου ἐκ τοῦ ἰδιοκτήτου πεκουλίου καλῶς δωρεῖται τῇ γαμετῇ μου. ὁ οὖν ἔχων υἱὸν ὑπεξούσιον[9] καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ κεκώλυται δωρεῖσθαι[10].

---

[1] Basil. XXIV, 4, 1—3 ex Synopsi Γ,9,5. [2] Basil. XXV, 7, 33. [3] Basil. XXVI, 7, 67. — Paris. 1368 hanc §. omittit. [4] Basil. LVI, 2, 3. [5] Basil. LX, 4, 24. [6] Epanag. XVIII schol. c. [7] Theod. Cod. V, 14, 8. Cf. Basil. XXIX, 5, 38 schol. l. [8] Proch. X, 1. 2. [9] Cod. αὐτεξούσιον. [10] Proch. h. t. 3.

3. Ἡ πενθερὰ τῇ νύμφῃ καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὑπάρχει λόγος ὑπεξουσιότητος[1].

4. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι πέπρακε τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις. εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακε, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα ἀκυροῦται. τυχὸν γὰρ δοῦλον ιε′ νομισμάτων ἄξιον ἐπώλησεν εἰς ε′ νομίσματα καὶ νῦν ἄξιός ἐστι ι′ νομισμάτων. τὰ πέντε δίδωσιν εἰς ὃ νῦν ἐστι εὐπορώτερος[2].

5. Ἐπὶ τῶν κεκωλυμένων γάμων εἰ μὲν τὰ δωρηθέντα φαίνεται, ἐκδικεῖται. εἰ δὲ δεδαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος μέχρις οὗ γέγονεν εὐπορώτερος[3].

6. Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται· εἰς καιρὸν γὰρ ἀναφέρεται ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος, ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστί. πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔῤῥωται[4].

7. Διαζυγίου γενομένου ἡ θανάτου αἰτίᾳ δωρεὰ οὐκ ἔῤῥωται ἀλλὰ ἀκυροῦται[5].

8. Αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν[6].

9. Οὐ λαμβάνει ὁ ἀνὴρ, εἴ τι ἐδαπάνησεν εἰς τοὺς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἢ δέδωκεν εἰς μάθησιν αὐτῶν ἢ εἰς διατροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. τὸ δὲ δοθὲν ταῖς τροφαῖς αὐτῶν λαμβάνει, ὡς ἐπὶ σωτηρίᾳ δοθὲν, ὃν τρόπον εἰ παρὰ λῃστῶν τοὺς προικιμαίους ἀναῤῥύσεται δούλους[7].

10. Ὁ πενθερὸς τῷ γαμβρῷ καὶ τῇ νύμφῃ, ὅτε οὐχ ὕπεστι λόγος ὑπεξουσιότητος, καλῶς δωρεῖται. ὡσαύτως καὶ ἡ πενθερὰ ἑκατέρῳ προσώπῳ, ἀλλὰ καὶ ἡ νύμφη καὶ ὁ γαμβρὸς τῷ πενθερῷ καὶ τῇ πενθερᾷ, καὶ ἔῤῥωνται αἱ μεταξὺ αὐτῶν δωρεαί[8].

11. Ἐὰν δὲ τῆς γυναικὸς ἀγορασάσης ἢ δανεισαμένης ὁ ἀνὴρ ὑπὲρ αὐτῆς καταβαλὼν ἐλευθερώσῃ αὐτὴν, τὸ ὅλον αὐτὴν ἀπαιτεῖ ὡς γενομένην εὐπορωτέραν[9].

12. Ἐὰν ἧττω τῶν ιβ′ ἐνιαυτῶν ἀγαγόμενός τις γαμετὴν δωρήσηται αὐτῇ, εἰ μὲν προϋπῆν μνηστεία, μένει καὶ ὡς πρὸς μνηστὴν ἡ δωρεὰ ἔῤῥωται. εἰ δὲ μὴ προϋπῆν μνηστεία, ἄκυρος

[1] Proch. h. t. 4. [2] Proch. h. t. 5. [3] Proch. h. t. 6. [4] Proch. h. t. 7. [5] Proch. h. t. 8. [6] Proch. h. t. 10. [7] Proch. h. t. 11. [8] Epan. XX, 6. [9] Epan. XX, 16.

ἡ δωρεά. οὐ γὰρ πρὸς ἑξωτικὴν ἀλλ' ὡς πρὸς γαμετὴν ἐγένετο[1].

13. Ἐὰν δωρεᾶς γενομένης ἐν γάμῳ συμβῇ συναποθανεῖν τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδεὶς ἑτέρῳ ἐνάγει, ἐπεὶ οὐδεὶς αὐτῶν ἐπέζησε τῷ ἑτέρῳ[2].

14. Κἂν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ εἰς ὃ γέγονε πλουσιώτερος· εἰ δὲ παρὰ γνώμην αὐτῆς, τέλεια πάντα τὰ ἐξώπροικα ἀναγκάζεται ἀποδοῦναι[3].

15. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τὸ ἀρκοῦν πρὸς ἀνανέωσιν τοῦ καυθέντος αὐτῆς οἴκου ἢ τοῦ ἀφανισθέντος ἀγροῦ ἢ ἄλλου τινὸς τοιούτου ἐκ τῆς ἰδίας ὑποστάσεως. ἔῤῥωται γὰρ ἡ δωρεὰ καὶ οὐδὲν ἡ γυνὴ ὑπὲρ τῶν τοιούτων δαπανημάτων τῷ ἀνδρὶ καταβαλεῖται. εἰ τάχα δὲ καὶ δωρεὰ μεταξὺ τῶν συνεύνων οὐκ ἔῤῥωται, ἀλλ' ἐὰν σιωπήσῃ ὁ δωρησάμενος μέχρι τῆς τελευτῆς, ἕτερος ἀνατρέπειν τὴν δωρεὰν οὐ δύναται ἤγουν κληρονόμος αὐτοῦ[4].

16. Ἐὰν μὴ δείκνυται πόθεν ἔσχεν ἡ γυνὴ, ἐκ τοῦ ἀνδρὸς ἢ τῶν ὑπεξουσίων, αὐτὴ δοκεῖ αὐτὰ ἐσχηκέναι. καὶ σημαίνει, ὅτι προλήψει πάντα τοῦ ἀνδρός ἐστιν, εἰ μὴ δείξει ἡ γυνὴ ὅθεν ηὐπόρησεν[5].

17. Ἐὰν δωρούμενος ἀποστείλω σοὶ πρᾶγμα, καὶ πρὶν δοθῆναί σοι ἀποθάνῃς, οὐ γίνεται σόν[6].

18. Ἐὰν ὁ ἀνὴρ βουλόμενος δωρήσασθαι τῇ γυναικὶ τοιαύτην εὗρε μέθοδον, ἵνα ἀγοράσῃ πρᾶγμα καὶ γένηται ἔγγραφον ὡς δῆθεν τῆς γυναικὸς ἀγορασάσης, οὐ πιστεύομεν τῷ ἐγγράφῳ, ἀλλὰ τῇ ἀληθείᾳ, καὶ δύναται ὁ ἀνὴρ ὡς ἀπὸ δωρεᾶς ἀνυποστάτου τὸν ἀγρὸν ἐκδικῆσαι παρὰ τῆς γυναικός[7].

19. Ἐὰν ἐν συνισταμένοις τοῖς γάμοις ὁ ἀνὴρ ὡς δωρούμενος τῇ γυναικί τινα προσέθηκε τῇ προικὶ καὶ ἐτελεύτησεν ἐφησυχάσας τῇ δωρεᾷ, ἐνάγονται οἱ κληρονόμοι ἀναγκαζόμενοι παρασχεῖν, ἅπερ ὁ ἀνὴρ ἐδωρήσατο. ἴσχυσε γὰρ τῷ θανάτῳ τοῦ ἀνδρὸς ἡ δωρεά[8].

20. Ὁ[9] ὁμολογῶν ἐγγράφως ἢ ἀγράφως ὑποδέξασθαι

---

[1] Proch. h. t. 12. [2] Proch. h. t. 13. [3] Attal. XXII, 5. [4] Attal. ibid. 2. 3. [5] Attal. ib. 4. [6] Proch. XII, 5. [7] Basil. XXII, 1, 82. [8] Basil. XXX, 1, 56. — Paris. 1351 A addit locum Basil. XXX, 1, 64. [9] Hoc et quod sequitur caput, ex Ecl. III, 1. 2 desumtum, reliqui Codices praeter Lips. non habent.

προῖκα καὶ μὴ πληρούμενος αὐτὴν, μείζων ὢν τῶν κε΄ ἐτῶν ἄδειαν ἔχει μετὰ τὸν γάμον μέχρι πενταετοῦς χρόνου καὶ μόνον ταύτην ἐπιζητεῖν καὶ ἐντελῶς κομίζεσθαι, εὐπορούντων τῶν γονέων τῆς κόρης τὰ ὑποσχεθέντα αὐτῷ ἀποπληρῶσαι· εἰ δὲ τοῦτο μὴ ποιήσει καὶ ἀμελήσει ταῦτα ἀποπληρωθῆναι, ὑποκεῖσθαι αὐτὸν τῷ μέρει τῆς γυναικὸς κατὰ δύναμιν τῶν παρ᾽ αὐτοῦ ὁμολογηθέντων. ἥττων δὲ ὑπάρχων μετὰ τὴν ἐκπλήρωσιν τῶν κε΄ ἐτῶν καὶ ἑτέρων ε΄ χρόνων δύναται ἐπιζητεῖν τὴν ὑποσχεθεῖσαν αὐτῷ προῖκα κατὰ τὴν αὐτοῦ ὁμολογίαν. περαιουμένης γὰρ μετὰ τὸν ἐντελῆ χρόνον τῆς ὡρισμένης προθεσμίας μὴ ἔχειν αὐτὸν ἄδειαν κινεῖν περὶ τὴν ἀναργυρίαν τῆς τοιαύτης καὶ παρ᾽ αὐτοῦ ὁμολογηθείσης προικὸς, ἀλλ᾽ ὑποκεῖσθαι αὐτὸν καθὰ εἴρηται τῷ μέρει τῆς γυναικὸς κατὰ τὰ παρ᾽ αὐτοῦ ὁμολογηθέντα.

21. *Γυνὴ* εἰσάγουσα προῖκα τῷ ἀνδρὶ αὐτῆς, ἐὰν συμβῇ ἀπὸ συμφορᾶς τινος τὸν ἄνδρα ὑποπεσεῖν εἰς ζημίαν ἢ χρέος εἴτε τῷ δημοσίῳ ἢ ἑτερῳδήποτε προσώπῳ καὶ τελευτήσει, μὴ ἔχειν ἄδειαν μήτε τὸν δημόσιον μήτε ἕτερον ἄνθρωπον ἐπιβῆναι εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐπάραι τὶ, μέχρις ὅτου ἡ γυνὴ τὴν ἰδίαν αὐτῆς προῖκα ἀποπληρωθῇ. μετὰ δὲ τὴν ταύτης πλήρωσιν τὰ περισσευόμενα κατὰ ἀναμοιρίαν οἱ χρεωφειλέται μεριζέσθωσαν.

Τίτλος ιβ΄. Περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτοῦ.

1. *Ἐπειδὴ* πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕρομεν αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται, τούτου ἕνεκα συνείδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀνάξιαι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν[1].

2. *Διαλύεται* γάμος κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅταν τὶς οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, ἀλλὰ τριετία μὲν παραδράμῃ ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ ὅτι ταῖς ἀλη-

[1] Proch. XI, 1. — Paris. 1368 intercalat paragraphos has: *Διελύσατό τις ἐπαγγειλάμενος ῥητά — Ἐν δὲ τῷ μζ΄ κεφ. Διαλυσάμενός τις καὶ εὐθέως.* — Idem in margine paragraphum adscriptam habet hanc: *Τῶν ἐν ταξειδίοις ὄντων τὰς γαμετάς —.*

θείαις ἐστὶν ἀνὴρ οὐ δείκνυσι. πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς πατρᾶσι διαζευγνύναι τὸ συνοικέσιον καὶ στεῖλαι διαζύγιον, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προὶξ, ἥτις ἐστὶν ὅλως ἐπιδεδομένη, ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ, εἴγε τύχοι λαβών. ἡ δὲ διὰ τῶν γάμων ἤτοι πρὸ τῶν γάμων δωρεὰ μένει παρὰ τῷ ἀνδρὶ, οὐδὲν οἴκοθεν ζημιουμένῳ. καὶ εἰ μὲν αὐτεξουσία ἐστὶν ἡ κόρη, πρὸς αὐτὴν ἡ προὶξ ἀποδίδοται μόνον· εἰ δὲ ὑπεξουσία, κοινὴ αὐτῆς καὶ τοῦ πατρός ἐστιν. εἰς δεύτερον δὲ γάμον ἐρχομένης τῆς κόρης οὐ δύναται ὁ πατὴρ ἐλαττοῦν ἣν προδέδωκε προῖκα[1].

3. Ὁ διὰ τὸ μονάσαι λύων τὸν γάμον μιμεῖται τὸν τελευτῶντα, καὶ διὰ τοῦτο ἁρμόσει ὁ ἀπὸ τελευτῆς κάσσος[2].

4. Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας ἢ τὰς προγαμιαίας δωρεὰς δεδωκότων.

5. Θεσπίζομεν καὶ τῶν ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοὺς γάμους, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γαμετὴν μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς προγάμου δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ τῇ τῆς προικός. εἰ δὲ ἄδηλον, πότερον περίεστιν ἢ μὴ τὸ εἰς τοὺς πολεμίους ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ, μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως, ὥστ' ἐνταῦθα οὐδὲ διαισίου γίνεται καιρὸς, οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων. καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μενέτω[4].

6. Ἐπειδὴ δὲ καὶ κατὰ συναίνεσιν ἢ διὰ σωφροσύνην λύεται ὁ γάμος, θεσπίζομεν μὴ ἄλλως πως ἢ παρευθὺ τὰ ἑκάτερα μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ, ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν[5].

7. Τὰς δ' αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ χωριζόμενος τὴν προῖκα

---

[1] Proch. XI, 2. [2] Cod. I, 3, 53 §. 3. — Caeterum Paris. 1351 A hoc caput non praestat. [3] Cod. V, 17, 12. — Paris. 1351 A hoc caput infra repositum habet post §. 31. [4] Proch. XI, 3. [5] Proch. XI, 4.

τῆς γυναικὸς ἀποκερδαίνειν δύναται φυλαττομένης τῆς ἐπ' αὐτῇ[1] δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαμβάνειν αὐτὸν καὶ τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν[2].

8. Εἰ συμβῇ ἕνα ἐξ αὐτῶν μετὰ τὸν γάμον ὑπὸ δαίμονος κυριευθῆναι, τούτους ἐκ τῆς τοιαύτης αἰτίας ἀπ' ἀλλήλων μὴ χωρίζεσθαι. ἄνευ γὰρ αἰτιῶν τῶν γνωριζομένων μὴ δύνασθαι ἀνδρόγυνον διαλύεσθαι, κατὰ τὸ γεγραμμένον· οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω[3].

9. Εἰ κατὰ τῆς βασιλείας βουλευομένοις τισὶ σύνοιδεν ἡ γυνὴ καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει. εἰ δ' ὁ ἀνὴρ τοῦτο προσαγγελθὲν παρὰ τῆς γυναικὸς σιωπήσει, ἐξέστω τῇ γυναικὶ διὰ οἱουδήποτε προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας λύσεως γάμου εὑρεῖν πρόφασιν[4].

10. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσας δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλέγχειν, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ διὰ ἀξιοπίστων καὶ ἐντίμων μαρτύρων καὶ δηλονότι ὀμνυόντων ἰδεῖν ὀφθαλμοῖς οἰκείοις τὴν μοιχείαν ἐπιτελουμένην, τηνικαῦτα χωρισμοῦ γινομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους τοῖς παισὶ φυλάττεσθαι. καὶ οὕτως τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι κελεύομεν τὰς ποινὰς, ἃς οἱ νόμοι διατυποῦσιν, ἀλλὰ καὶ τοὺς ὑπούργους τοῦ τοιούτου ἐγκλήματος. εἶθ' οὕτως εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα, εἰ προικῷα συμβόλαια παρηκολούθησαν τέως, καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν, ὥστε εἰ παῖδας ἔχοιεν, μόνην τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς τε δωρεᾶς καὶ τῆς προικὸς, τῆς δεσποτείας καὶ κυριότητος κατὰ τοὺς νόμους τοῖς

---

[1] Cod. *αὐτῶν*. [2] Proch. XI, 5. [3] Ecl. II, 13 in fine. [4] Proch. XI, 6.

παισὶ φυλαττομένης. τὴν δ' ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶν αὐτοῦ δωρούμεθα. παίδων δὲ μὴ ὑπόντων τὴν μὲν τῆς προγαμιαίας δωρεᾶς δεσποτείαν τῇ γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δ' ἄλλην τοῦ ἀνδρὸς ὅλην περιουσίαν τῷ δημοσίῳ φίσκῳ κατὰ τοὺς παλαιοὺς νόμους προσκυροῦσθαι[3].

11. Εἰ δέ γε γυναῖκα μὴ ἔχοι ὁ τοιοῦτος μήτε παῖδας, ἐπείπερ κουφότερον δοκεῖ πως μᾶλλον αὐτῷ τὸ τῆς μοιχείας διαπεπράχθαι, τῆς μὲν ἄλλης ποινῆς οὐκ ἀθωωθήσεται; οὐ μέντοιγε καὶ τῆς ἰδίας ἐξελαθήσεται ὑποστάσεως[1].

12. Ὁμοίως καὶ ἡ γυνὴ ἡ μοιχαλὶς ταῖς προσηκούσαις ὑποβαλλομένη ποιναῖς μοναστηρίῳ ἐμβάλλεται, καὶ ἄδειαν ἔχει ὁ ἀνὴρ εἴσω διετίας αὐτὴν ἀναλαβεῖν, μὴ βλαπτομένου τοῦ γάμου ἐκ τῶν ἐν μέσῳ. εἰ δὲ παρέλθῃ ὁ χρόνος ἢ ὁ ἀνὴρ τελευτήσῃ μὴ ἀναλαβὼν αὐτήν, κελεύομεν κουρεύεσθαι αὐτὴν καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν. καὶ εἰ μὲν ἔχει παῖδας, λαμβάνουσι τὰς η' οὐγγίας καὶ τὸ μοναστήριον τὰς δ'· εἰ δὲ μόνους ἀνιόντας ἔχει μὴ συνεργήσαντας τῷ τοιούτῳ ἀτοπήματι, λαμβάνουσι τὰς δ' οὐγγίας, τὸ δὲ μοναστήριον τὰς η'· εἰ δὲ συνήργησαν, ἢ μηδόλως εἰσὶν ἀνιόντες ἢ κατιόντες, λαμβάνει πάντα τὸ μοναστήριον, τῶν ἐν τοῖς προικῴοις συμφώνοις ἐπὶ πάντων τῶν θεμάτων τῷ ἀνδρὶ φυλαττομένων[2].

13. Ζήτει καὶ τὴν λβ' νεαρὰν τοῦ σοφοῦ κυροῦ λέοντος, ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζουσαν· κερδαίνειν δὲ τὸν ἄνδρα τῆς μοιχαλίδος τὴν προῖκα ταύτης, τὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι· τὰ μέντοι προσόντα αὐτῇ ἴσως πράγματα ἐπέκεινα τῆς προικὸς οἰκονομεῖσθαι καθὼς διορίζει ἡ αὐτὴ νεαρά[4].

14. Εἰ δὲ οὐκ ἐμοίχευσε μέν, δι' ἄλλην δέ τινα αἰτίαν ἢ τῶν δίχα ποινῆς ἢ τῶν μετὰ ποινῆς τοῦ ἀνδρὸς ἡ γυνὴ διαζευχθείη, ἐπὶ μὲν τῶν μετὰ ποινῆς αἰτιῶν αὐτὴ τὴν αἰτίαν παρασχομένη τῆς λύσεως ἀπόλλυσί τε τὴν προῖκα ὡς εἴρηται καὶ μέχρι πενταετίας κωλύεται πρὸς ἕτερον γάμον ἐλθεῖν· εἰ γὰρ εἴσω τῆς πενταετίας ἑτέρῳ συναφθείη ἀνδρί, καὶ αὐτὴ ἀτιμοῦται καὶ ὁ γάμος οὐκ ἔστι γνήσιος, ἀλλ' ὑπὸ τοῦ βουλομένου παντὸς κατηγορούμενος ὡς παράνομος. ἐπὶ δὲ τῶν δίχα ποινῆς αἰτιῶν διαζευγνυμένη τοῦ ἀνδρός, ἀλλὰ καὶ ἐπὶ τῶν

---

[1] Proch. XI, 7. [2] Epanag. XXI, 5, med. [3] Phot. XI, 1. [4] Bals. ad c. 87 syn. Trullanae.

μετὰ ποινῆς ὅτε οὐκ αὐτῆς εἴη τὸ τῆς διαζεύξεως αἴτιον, ἐνιαυτὸν ἀναμένουσα μόνον ἀκωλύτως ἑτέρῳ συνάπτεται[1].

15. *Ἡ τοῦ ἱερέως γυνὴ αἰχμαλωτισθεῖσα εἰ καὶ μολυνθῇ, οὔτε διαζυγίου αὐτῇ τοῦτο γίνεται αἴτιον, οὔτε τῷ ἱερεῖ τὸ τῆς παραδοχῆς καὶ συνοικήσεως πρόφασις καθαιρέσεως.*

16. *Τὴν δέ γε μοιχευθεῖσαν παρὰ πολεμίοις καὶ ὑποστρέψασαν κατηγορεῖσθαι παρὰ τοῦ ἀνδρὸς οὐ δίκαιον, εἰ βίᾳ τοῦτο πέπονθε, καὶ τοιουτοτρόπως συγγινώσκει τὴν βιασθεῖσαν καὶ τὸν γάμον οὐ διασπᾷ. ἀλλ' ὁ ἐκκλησιαστικὸς νόμος τὴν ὅλως ὑπὸ βαρβάρων μολυνθεῖσαν μὴ καθαριεῦσαι δι' ἐπιτιμίου οὐκ ἀνέξεται. ὡς βι. ξ' τί. λη' κεφ. ιβ'*[2].

17. *Ἀνάγνωθι καὶ τὴν ργ'*[3] *νεαρὰν τοῦ κυροῦ λέοντος τοῦ σοφοῦ βασιλέως περὶ τὸ τέλος ταῦτα λέγουσαν· οὐδαμῶς οὖν θεσπίζομεν ἔτι πρὸς συνάφειαν ἑτέρου τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας ἔρχεσθαι, καὶ ἐφεξῆς*[4].

18. *Ἀναιρεῖ ἡ τοιαύτη νεαρὰ τὴν ἰουστινιάνειον ριζ' νεαρὰν τὴν οὖσαν ἐν βι. κη' τί. ζ' καὶ λέγουσαν ἐστὶν ὅτε λύεσθαι τὸν τοιοῦτον γάμον. πλὴν δὲ ἡ τοιαύτη νεαρὰ χώραν ἔχει, ὅταν ἡ αἰχμαλωτισθεῖσα οὐκ ἐμιάνθη παρὰ τῶν βαρβάρων· τοιούτου δέ τινος γεγονότος χώραν ἔχουσι τὰ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ ξ' βι*[5].

19. *Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ*[6].

20. *Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς*[7] *συμποσιάζῃ ἢ συλλούηται*[8].

21. *Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν*[9].

22. *Ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγεσίοις παραγένηται ἐπὶ τὸ θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός*[10].

23. *Ἐὰν δὲ συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς πρὸς οὓς δύναται μένειν ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν χωρισθῆναι τῆς γυναικός, ὅτι αὐτός ἐστιν ὁ αἴτιος τούτου*[11].

---

[1] Epan. XXI schol. g in fine. [2] Bals. ad c. 1 Gregorii Neocaes. [3] Lege *λγ'*. [4] Bals. cit. [5] Bals. cit. [6] Proch. XI, 8. [7] Cod. *ἐρωτικοῖς*. [8] Proch. XI, 9. [9] Proch. ib. 10. [10] Proch. ib. 11 [11] Proch. ib. 12·

24. Ἐὰν ἡ γυνὴ εὑρεθῇ μαγγανεύουσα ἢ φόνον ἐξαμαρτάνουσα ἢ ἀνδραποδισμὸν ἢ τυμβωρυχίαν ἢ ἱερόσυλος οὖσα ἢ συσπεύδουσα λῃσταῖς ἢ παραποιήσεως ἔνοχος, ἢ ἐὰν τὰς τολμηρὰς αὐτῆς χεῖρας τῷ ἀνδρὶ ἐπιβάλῃ, ἢ μηχανῆσαι τὸ ἐξεπίτηδες ἀμβλῶσαι καὶ τὸν ἄνδρα λυπῆσαι καὶ ἀφελέσθαι τῆς ἐπὶ τοῖς παισὶν ἐλπίδος, ἢ καὶ ἕως συνέστηκε τὸ πρὸς αὐτὸν συνοικέσιον πρὸς ἑτέρους περὶ γάμων ἑαυτῆς διαλέγοιτο[1].

25. Τὰς αἰτίας δὲ, δι᾽ ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι, ἐξ ὧν δύναται καὶ λαμβάνειν τήν τε προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ταύτας εἶναι μόνας διατυποῦμεν[2].

26. Ἐὰν κατὰ τῆς βασιλείας αὐτὸς ἢ βούληταί τι, ἢ τοῦτό τισι βουλομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι᾽ ἑαυτοῦ ἢ διὰ οἱουδήποτε προσώπου[3].

27. Ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς, ἢ ἄλλων τοῦτο βουλομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσει κατὰ νόμους ἐκδικῆσαι αὐτήν[4].

28. Ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι[5].

29. Ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας τῆς αὐτοῦ γυναικὸς ἐγγράψηται καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας χωρίζεσθαι τοῦ ἀνδρὸς, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον λαμβάνειν αὐτὴν ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται. εἰ δὲ παῖδας ἔχοι, κελεύομεν πᾶσαν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς τοῖς ἄλλοις περιεχομένων νόμοις, οὕτω μέντοιγε, ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις καθυποβληθῆναι, ἃς ἔμελλε παθεῖν ἡ γυνὴ, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία[6].

30. Ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ, καθ᾽ ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ, περιφρονῶν αὐτὴν μεθ᾽ ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων, ἢ καὶ κατὰ τὴν αὐτὴν πόλιν διάγων

[1] Epanag. XXI, 5 in fine. [2] Proch. XI, 13. [3] Proch. ib. 14. [4] Proch. ib. 15. [5] Proch. ib. 16. [6] Proch. ib. 17.

ἐν ἑτέρῳ οἴκῳ μετ᾽ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ καὶ δὶς ἐγκληθεὶς παρ᾽ αὐτῆς ἢ διὰ τῶν αὐτοῦ γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ καὶ δι᾽ ἑτέρων τινῶν ἀξιοπίστων μαρτύρων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον καὶ ἀναλαμβάνειν τὴν προῖκα αὐτῆς καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως τὸ τρίτον μέρος τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία δωρεὰ ποιεῖ, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν. οὕτω μέντοιγε ὥστε εἰ παῖδας ἔχει τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας [δωρεᾶς] καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους τῆς τοῦ ἀνδρὸς περιουσίας λάβῃ, τῆς δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ δὲ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν τὴν τῶν τοιούτων πάντων πραγμάτων δεσποτείαν κελεύομεν[1].

31. Ἐὰν ἡ γυνὴ τὸν συνοικοῦντα δεῖξαι ἰσχύσειεν ἢ ἔνοχον καθεστῶτα φόνου, ἢ μαγγανείαις τε καὶ ἀγυρσίαις ἐσχολακότα, ἢ καταδικασθέντα παραποιήσεως, ἢ τάφους διορύξαντα, ἢ ἔκ τινος τῶν ἱερῶν οἴκων τὶ σεσυληκότα, ἢ λῃστρικὸν ἐπανῃρημένον βίον, ἢ τοὺς λῃστεύοντας ἀποδεχόμενον, ἢ ἕνα τῶν ἀπελατῶν, οἷς ἐστι φροντὶς τοῖς ἀλλοτρίοις ὑφεδρεύειν ὑποζυγίοις ἢ βοσκήμασι καὶ ταῦτα μεθιστᾶν ἑτέρωθι, ἢ ἐλέγξειεν ἀνδραποδιστὴν καθεστῶτα, ἢ καὶ μάστιξιν ἐπ᾽ αὐτὴν σφοδραῖς χρῷτο· εἰ τοίνυν ἡ γυνὴ τοιοῦτό τι δεῖξαι δυνηθείη, ἄδειαν αὐτῇ δίδωσιν ὁ νόμος, καὶ διαισίῳ χρῆσθαι καὶ ἀφίστασθαι τοῦ γάμου καὶ τὴν προῖκα λαμβάνειν καὶ τὴν προγαμιαίαν δωρεὰν ἅπασαν[2].

32. Εἴτε στρατιῶται εἶεν εἴτε φυδεράτοι εἴτε σχολάριοι εἴτε ἄλλοι τινὲς ὑφ᾽ ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι, κελεύομεν ὁσουσδήποτε ἐνιαυτοὺς ἐν ἐξπεδίτῳ μένουσι περιμένειν τὰς τούτων γαμετὰς, κἂν μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται. εἰ δέ τις ἐκ τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα ἀκούσει τετελευτηκέναι, οὐδὲ τότε εἰς ἑτέρους αὐτὴν ἐλθεῖν γάμους ἐπιτρέπομεν, εἰ μὴ[3] πρότερον παραγένηται ἡ γυνὴ δι᾽ ἑαυτῆς ἢ διὰ τῶν ἰδίων γονέων ἢ δι᾽ ἄλλου οἱουδήτινος προσώπου πρὸς τοὺς χαρτουλαρίους καὶ λεγαταρίους καὶ τριβούνους τοῦ ἀριθμοῦ, ἐν ᾧ ταύτης ὁ ἀνὴρ ἐστρατεύετο, καὶ ἐρωτήσει, εἰ ταῖς ἀλη-

[1] Proch. ib. 18. [2] Epanag. XXI, 6 in fine. [3] Cod. addit ἤγουν.

θείαις ἐτελεύτησεν ὁ αὐτῆς σύζυγος, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως[1] ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ταύτης ἀνὴρ τετελεύτηκε. καὶ μεθ᾽ ὃ λάβῃ ταῦτα τὰ ὑπομνήματα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας [μένειν αὐτὴν] ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν τοῦ ὅλου ἐνιαυτοῦ παραδρομὴν ἐξεῖναι τῇ αὐτῇ νόμιμον συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγαγόμενος αὐτὴν εἰς γάμον ὡς μοιχοὶ τιμωρείσθωσαν[2].

33. *Εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ᾽ ὅρκου καταθέμενοι ἐλεγχθῶσι μετὰ ταῦτα πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα λιτρῶν χρυσίου ποινὴν συνελαθήσονται καταβαλεῖν ἐπ᾽ ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι· αὐτὸς δὲ ἄδειαν ἐχέτω εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν[3].*

34. *Μετὰ πολλῆς δὲ ἀκριβείας τὸ περὶ μοιχείας ζητείσθω κεφάλαιον, καὶ ἐπιτηρείτωσαν οἱ ἀκροαταὶ τοὺς κατηγόρους. καὶ εἰ μέν ἐστιν ὁ ἴδιος ἀνὴρ ἢ ὁ πατὴρ ἢ ἡ μήτηρ αὐτῆς ἢ ἀδελφὸς ἢ θεῖος ὁ κατηγορῶν, εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεως γίνεται· εἰ δὲ ξένοι εἰσὶν οἱ κατηγοροῦντες, δέον κανονίζεσθαι τὰ πρόσωπα ποίας πολιτείας εἰσὶν, καὶ τούτους κατασφαλίζεσθαι, καὶ ἀπαιτεῖν αὐτοὺς τὴν περὶ τούτου ἀπόδειξιν. καὶ εἰ μὲν ἀποδείξουσι τὴν μοιχείαν, ῥινοκοπείσθωσαν ὅ τε μοιχὸς καὶ ἡ μοιχαλὶς, μὴ χωριζομένου τοῦ μοιχοῦ ἀπὸ τῆς γυναικὸς αὐτοῦ. εἰ δ᾽ οὐκ ἀποδείξουσιν, ἀλλ᾽ ἐλεγχθῶσιν, ὅτι δι᾽ ἔχθραν εἶπον, τὴν ταυτοπάθειαν ὡς συκοφάνται ὑπομενέτωσαν[4].*

35. *Ταῖς δὲ εἰρημέναις αἰτίαις συνείδομεν καὶ ταύτας ὀνομαστὶ προσθεῖναι ἐξ ὧν τοὺς γάμους ἔστι δίχα ποινῆς διαλύειν. καὶ αὐτίκα ἐπιφέρει καὶ τὰς αἰτίας· τὴν τῆς ἀσκήσεως δηλαδὴ, τὴν ἐπὶ τριετίαν ἀσύναπτον ὁμοζωΐαν καὶ τὴν τῆς αἰχμαλωσίας. πλὴν ἀπὸ μὲν τῶν δύο αἰτιῶν χωρὶς ποινῆς καὶ δόσεως οἱασδήτινός φησι λύεσθαι τὸ συνοικέσιον, ἀπὸ δὲ τοῦ μονάσαι θάτερον μέρος τῶν ὁμοζύγων φησὶ ταῦτα· τηνικαῦτα γὰρ κελεύομεν παῤῥησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαίνειν ὁδὸν καὶ διαλύειν τὸ συνοικέσιον καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολιμπανομένης τῷ καταλελειμμένῳ παραμυθίας. ὅπερ γὰρ συμφω-*

---

[1] Cod. *προτάξεως*. [2] Proch. IX, 19. 20. [3] Proch. ib. 21. [4] Ecl. XVII, 27.

νήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκει. διότι καὶ οὗτος, τό γε ἐπὶ τῷ συνοικήσαντι, δοκεῖ τελευτᾶν, ἑτέραν ἀνθ᾽ ἑτέρας βίου πορείαν ἑλόμενος[1].

36. Ἀλλὰ καὶ ἡ ρκγ' νεαρὰ τοῦ Ἰουστινιανοῦ φησι τὸν ἐν τῷ κόσμῳ περιλειφθέντα ἐκ τῶν ὁμοζύγων λαμβάνειν ἀπὸ τοῦ μέρους τοῦ ἀποκαρέντος, εἴ τι ἐκ τῆς τελευτῆς τούτου ἀπὸ συμφώνου ἔμελλε προσαρμόσαι αὐτῷ, ὅπερ καὶ βραχεῖαν παραμυθίαν ὠνόμασεν ἡ κβ' νεαρὰ τοῦ αὐτοῦ βασιλέως, πάντως πρὸς τὴν ἐκ τῶν ἑτέρων αἰτιῶν διδομένην ποινὴν ἀποβλέψασα· τὸ γὰρ ἀπὸ συμφώνου οὐδὲ ποινὴ λογίζεται[2].

37. Ἐρωτῶ δὲ τῆς ριζ'[3] νεαρᾶς τοῦ φιλοσόφου βασιλέως κυροῦ Λέοντος λεγούσης ἐξ ἀποκάρσεως τοῦ ἀνδρὸς μὴ δίδοσθαι ὑπόβολον τῇ γυναικί, τῆς δὲ ριζ' νεαρᾶς τοῦ Ἰουστινιανοῦ διοριζομένης τὰ ῥηθέντα ἄνωθεν, ἀπαιτηθήσεταί τι παρὰ τῆς γυναικὸς χάριν ὑποβόλου ἐκ τοῦ ἀποκαρέντος ἀνδρὸς ἢ οὔ;[4].

38. Τὸ παλαιὸν οὐκ ἀπὸ συμφώνου ἐδίδοτο τὸ ὑπόβολον, ἀλλὰ ἀπὸ τοῦ νόμου. εἴ τι γὰρ ἡ γυνὴ ἐδίδου χάριν προικός, τοσοῦτον καὶ ὁ ἀνὴρ ὑποβάλλειν ποσὸν εἰς τὴν κοινὴν περιουσίαν ἠναγκάζετο· ὅθεν καὶ ὑπόβολον ὠνομάσθη. καὶ σήμερον τοιοῦτον ὑπόβολον ὁ ἀνὴρ οὐ δίδωσιν, ἀλλὰ ἀπὸ συμφώνου τὶ μέρος ὅσον συμφωνήσει ἐκ προτελευτῆς τῇ γυναικί. εἰ δὲ [μὴ] συμφωνήσει τὶ περὶ ὑποβόλου, οὐκ ἀναγκασθήσεταί τι δοῦναι. νομίζω οὖν ὅτι ἡ μὲν νεαρὰ τοῦ σοφοῦ περὶ τοῦ ὑποβόλου φησὶ τοῦ ἐκ τοῦ παλαιοῦ νόμου ἐπιγινωσκομένου καὶ ἐξ ἀνάγκης διδομένου, ἡ δὲ νεαρὰ τοῦ Ἰουστινιανοῦ περὶ τοῦ κέρδους τοῦ ἐκ προτελευτῆς κατὰ τὸ [σύμφωνον] διδομένου. τὸ γοῦν ἐκ προτελευτῆς ἑνὸς τῶν ὁμοζύγων συμφωνηθὲν δίδοσθαι ποσὸν πρὸς τὸν ἐναπομείναντα ἀπαιτήσει πάντως μετὰ τὴν τοῦ ἑτέρου ἀπόκαρσιν ὁ εἰς τὸν βίον περιλειφθείς, οἷον ἐὰν ᾖ καὶ ὅπως ἂν καλῆται, καὶ συμβαίνει τοιουτοτρόπως ἐὰν ἀποκαρῇ ἡ γυνὴ ἀπαιτεῖν τὸν ἄνδρα τὸ ἐκ προτελευτῆς ἐκείνης συμφωνηθὲν δοθῆναι τῷ περιόντι ποσόν, κἂν ὑπόβολον καλῆται καταχρηστικῶς[5].

39. Ὁ μονάσας ἀζημίως λύει τὴν πρὸς αὐτὸν συστᾶσαν μνηστείαν. εἰ δὲ γήμας μονάσει, τῷ ἀπὸ τελευτῆς ὑπόκειται κάσσῳ. ἀμφοτέρων δὲ μονασάντων, ἀζημίως ὁ γάμος λύεται[6].

---

[1] Bals. ad Phot. XIII, 4. [2] Bals. cit. [3] Novella Leonis ejus argumenti non extat. [4] Bals. cit. [5] Bals. cit. [6] Athan. ex Nov. 123.

40. Ὁ μέλλων μονάζειν τοῖς μὲν παισὶ τὸ ἐκ νόμων ἐποφειλόμενον ἐπιδιδότω ἢ προσαναπληρούτω μέρος, τῇ δὲ γαμετῇ τὴν προῖκα καὶ τὰ ἀπὸ τελευτῆς ἁρμόζοντα[1].

41. Ὁ δι᾽ ἄσκησιν λύων τὸν ἴδιον γάμον τῷ ἀπὸ τελευτῆς ὑπόκειται[2].

42. Οὐ δύναται ὁ ἀνὴρ διαζύγιον πέμπειν τῷ πατρὶ τῆς θυγατρὸς[3], οὔτε ὁ πατὴρ ὁ συναινέσας τῷ γάμῳ μὴ συναινούσης αὐτῷ τῆς θυγατρὸς εἰ μὴ ἄρα ἀπὸ μεγάλης καὶ εὐλόγου αἰτίας γένηται. εἰ δὲ συναινούσης αὐτῆς διαλυθῇ ὁ γάμος, οὐ δύναται ἀναγκάζειν αὐτὴν[4] ἐν τῷ ὑποστρέφειν τὸν ἄνδρα[5].

43. Ἐὰν οὖν παρὰ τὰς γεγραμμένας αἰτίας τὰς νομίμους ὁ ἀνὴρ στείλῃ ῥεπούδιον, ἀπόλλυσι τὴν δωρεὰν καὶ ἄλλο τρίτον αὐτῆς. εἰ δὲ ἡ γυνὴ στείλῃ ἄλογον ῥεπούδιον, ἀπόλλυσι τὴν προῖκα, καὶ πρὸς τούτοις ἐν μοναστηρίῳ ἐμβάλλεται διὰ πάσης τῆς ζωῆς αὐτῆς, καὶ τὰ πράγματα αὐτῆς διαιροῦνται. καὶ εἰ μὲν παῖδές εἰσιν, λαμβάνουσιν οὐγγίας η΄, τὸ δὲ μοναστήριον οὐγγίας δ΄. εἰ δ᾽ οὐκ εἰσι παῖδες, ἀλλὰ γονεῖς μὴ συναινέσαντες τῷ ῥεπουδίῳ, αὐτοὶ μὲν λαμβάνουσιν οὐγγίας δ΄, τὸ δὲ μοναστήριον οὐγγίας η΄. εἰ δὲ συνήνεσαν, ὅλην τὴν οὐσίαν τὸ μοναστήριον λαμβάνει. δυνατὸν γὰρ ταῦτα λέγειν καὶ ἐπὶ ἀνδρὸς ῥεπουδιατεύοντος ἐκ τῆς ρκζ΄ νεαρᾶς, τῆς λεγούσης ἴσας εἶναι τὰς ποινὰς τῶν ἀλόγων ῥεπουδίων καὶ τὸν ἄνδρα ὁμοίως ὑποκεῖσθαι τοῖς κατὰ γυναικὸς ὁρισθεῖσιν[6].

44. Ἐπειδὴ δέ τινες τὸν ἡμέτερον νόμον παραβαίνειν σπουδάζουσιν, ἐν ᾧ ἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα, ἐξ ὧν μόνον ῥεπούδιον δύναται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς ἢ ἐκ τῆς γυναικὸς, κελεύομεν παρ᾽ ἐκείνας τὰς αἰτίας μηδενὶ τρόπῳ ῥεπούδιον γίνεσθαι ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. εἰ δὲ παρὰ τὰς ὑφ᾽ ἡμῶν διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν, εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι, καὶ τόν τε ἄνδρα τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ ἐκ τῆς ἑκατέρου περιουσίας ἀνὰ δ΄ οὐγγίας τοῖς μοναστηρίοις ἐν οἷς ἐμβάλλονται ἀφορίζεσθαι· τοῦ αν-

---

[1] Athan. ex Nov. 5. [2] Athan. ex Nov. 22. — Paris. 1351 A hic intercalat §.: *Εἰ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικόν — μέρει συγχωρουμένης.* [3] Lege: *ἡ μήτηρ — τῷ ἀνδρὶ τῆς θυγ.* [4] Cod. *αὐτόν.* [5] Basil. XXVIII, 7, 18. 19. [6] Phot. XIII, 4.

δρὸς δηλαδὴ μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλ᾽ ἀνιόντας, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνήνεσαν, τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἀφορίζεσθαι· εἰ δὲ οἱ ἀνιόντες τῇ λύσει συνήνεσαν, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις δίδοσθαι. τιμωρεῖσθαι δὲ τοὺς ὑπουργοῦντας καὶ τοὺς τὰ συμβόλαια τῆς λύσεως συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς καὶ ἐξορίαις. εἶτα ἐπάγει, ὡς, εἰ βούλοιντο πρὶν ἐμβληθῶσι μοναστηρίοις οἱ τὸν γάμον ἐπιχειρήσαντες λύειν συναφθῆναι πάλιν ἀλλήλοις, εἶναι αὐτοῖς ἄδειαν καὶ συγχώρησιν τῶν ποινῶν, εἰ δὲ βουλομένου τοῦ ἑνὸς μὴ συναινοίη ὁ ἕτερος, κατὰ τοῦ [μὴ] βουλομένου κρατεῖν τὰς ποινάς. καὶ ταῦτα μὲν ὁ Ἰουστινιανός. ὁ δὲ μετ᾽ αὐτὸν Ἰουστῖνος ἐξεῖναι καὶ δίχα ποινῶν κατὰ συναίνεσιν λύεσθαι τοὺς γάμους κελεύει ἐν ἰδίᾳ διατάξει, ἥτις κατὰ τὸ σύνταγμα ρμʹ τῶν νεαρῶν ἀριθμεῖται[1].

45. Ἀλλὰ καὶ τὴν ἄπροικον γυναῖκα ἐκβάλλων ἀλόγως δίδωσιν αὐτῇ τὸ δʹ τῆς περιουσίας αὐτοῦ τῆς καθαρᾶς. εἰ δὲ συμβῇ πλείονας εἶναι παῖδας τῶν τριῶν, οὐ τὸ δʹ ἀλλὰ παιδὸς ἑνὸς ἀναλογίαν λαμβάνειν· οὐ δύναται γὰρ τὸ διδόμενον αὐτῇ ὑπερβαίνειν τὰς ρʹ λίτρας τοῦ χρυσίου. οὐχ ὑπόκειται δὲ τούτοις ἡ ἄπροικος γυνὴ ἀλόγως τοῦ ἀνδρὸς ἀναχωροῦσα, ὡς ἡ νεαρὰ αὕτη λέγει[2].

46. Τοσοῦτον δὲ ἀκώλυτός ἐστιν ἡ τῶν γάμων διάλυσις, ὅτι εἴρηται ἐν βι. μεʹ τί. αʹ, ὡς ἐάν τις τῶν συνοικούντων ὁμολογήσῃ ποινὴν ἐκ τοῦ ὑπ᾽ αἰτίαν αὐτοῦ λυθῆναι τὸν γάμον, οὐκ ἔῤῥωται· ἀρκεῖ γὰρ ἡ τῷ νόμῳ ἐπὶ τῶν τοιούτων ὡρισμένη ποινὴ, εἰ μὴ ἄρα καὶ ἡ ἐπερώτησις τοιαῦτα περιέχει[3].

47. Ὅτι οὐ καλῶς ἐπερωτῶ τινα ποινὴν ἐκ τοῦ μὴ γαμηθῆναί μοι. οὔτε μὴν τὴν ἤδη γαμηθεῖσάν μοι ποινὴν ἐπερωτᾷν δύναμαι, ἐὰν λύσῃ τὸν γάμον[4].

48. Τὰ αὐτὰ καὶ περὶ γυναικὸς ἐπερωτώσης ἄνδρα. ὅτι ἀνισχύρως τὶς πακτεύει μὴ ἐξεῖναι αὐτῷ λῦσαι τὸν γάμον, καὶ οὐκ ἔῤῥωται ἡ ἐπὶ τούτῳ ἐπερωτηθεῖσα ποινή[5].

49. Εἴ τις τῶν διὰ σωφροσύνην λυσάντων τὸν γάμον ἄλλην ἀγάγηται γαμετὴν ἢ πορνεύσῃ, τὴν πᾶσαν αὐτοῦ περιου-

---

[1] Epanag. XXI schol. f. [2] Phot. XIII, 4. [3] Phot. ibid. [4] Phot. ibid. [5] Phot. ibid.

σίαν οἱ παῖδες λήψονται. εἰ δὲ παῖδας οὐκ ἔχουσιν οἱ πταίσαντες, τὸ δημόσιον διαδέξεται τὴν τούτων περιουσίαν[1].

50. Ἐπὶ ἀνδρογύνου εἰ μὲν κουρευθῇ ἡ γυνὴ παῖδας ἔχουσα, ἐξουσίαν ἔχει καταλιμπάνειν τὸ τρίτον τῆς προικὸς αὐτῆς τοῖς παισὶν, εἰ μήγε καὶ πλέον τοῦ τρίτου ἑκουσίως βούλεται αὐτοῖς διδόναι· τὸ γὰρ τρίτον ἐξ ἀνάγκης δίδωσι· τὸ δὲ δίμοιρον ἀναλαμβάνεται ἐκείνη. ἐκ δὲ τῶν τοῦ ἀνδρὸς πραγμάτων οὐδὲν λαμβάνει, εἰ μὴ τὸ θεώρετρον· τὸ γὰρ ὑπόβολον εἴτε ἡ γυνὴ κουρευθῇ εἴτε ὁ ἀνὴρ οὐ δίδοται.

51. Τοῦτο δὲ γίνεται εἰ ἀγαθῇ χάριτι λυθῇ ὁ γάμος. εἰ δὲ τυχὸν ἀπὸ μοιχείας ἀποκατασταθῇ ἐν μοναστηρίῳ ἡ γυνὴ, ἄδειαν ἔχει ὁ ἀνὴρ εἴσω διετίας ἀναλαβεῖν αὐτὴν μὴ βλαπτομένου τοῦ γάμου ἐκ τῶν ἐν μέσῳ. εἰ δὲ παρέλθῃ ὁ χρόνος ἢ ὁ ἀνὴρ τελευτήσῃ μὴ ἀναλαβὼν αὐτὴν καὶ ἀποκαρῇ, εἰ μὲν ἔχει παῖδας, λαμβάνουσιν ἐκεῖνοι τὸ δίμοιρον, τὸ δὲ τρίτον δίδοται τῇ μονῇ ἐν ᾗ ἀποκείρεται· εἰ δὲ παῖδας οὐκ ἔχει, ἔχει δὲ γονεῖς καὶ οὐ συνέπραξαν ἐν τῇ μοιχείᾳ, τὸ τρίτον λαμβάνουσιν οἱ γονεῖς, τὸ δὲ δίμοιρον ἡ μονή. κερδαίνει δὲ ὁ ἀνὴρ τὸ συμφωνηθὲν ὑπόβολον καὶ ὅσον ἐξ ἀπαιδίας κερδάναι αὐτὸν συμπεφώνηται.

52. Λύεται ὁ ἀνὴρ τῆς γυναικὸς καὶ ἐὰν λωβός ἐστιν· ὡσαύτως καὶ ἡ γυνὴ τοῦ ἀνδρός[2].

Τίτλος ιγ'. Περὶ τῶν ἐν ζωῇ δωρεῶν.

1. Τῶν δωρεῶν αἱ μέν εἰσιν ἐν ζωῇ γινόμεναι καὶ πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν γνωρίζουσαι καὶ τὴν εὐγνωμοσύνην ἐπιζητοῦσαι· αἱ δὲ ἐν αἰτίᾳ θανάτου γινόμεναι καὶ μετὰ τὸν ὡς εἰπεῖν αἴτιον ταύτης τῆς δωρεᾶς θάνατον τὴν περαίωσιν καὶ τὴν βεβαίωσιν ἔχουσαι. πρὸ γὰρ τοῦ τελευτῆσαι τὸν δωρησάμενον οὐδὲν ἕξει ὁ τὴν δωρεὰν κατέχων ἐκ τοῦ δωρηθέντος κτήματος, διότι πρόσκειται τὸ μετὰ θάνατον[3].

2. Τῶν ἐν ζωῇ δωρεῶν αἱ μέν εἰσιν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ τὴν περαίωσιν δεχόμεναι καὶ ὡς εἰπεῖν ἀπεντεῦθεν ἤδη τὴν παράδοσιν ποιούμεναι καὶ τῆς δεσποτείας καὶ

---

[1] Athanas. ex Nov. 117. Paris. 1351 A hoc caput inter §. 51 et 52 reponit. [2] Haec §. in reliquis praeter Lips. deest. Est autom ex Ecl. II, 13. [3] Proch. XII, 1.

τῆς χρήσεως τοῦ δωρουμένου κτήματος ἢ χρήματος, τουτέστι κινητοῦ ἢ ἀκινήτου πράγματος, μηδενὸς ἔξωθεν ἄλλου λογισμοῦ παρακολουθοῦντος ἢ προσκειμένου ἢ προσδιοριζομένου, ἀλλ' εὐθὺς τοῦ πράγματος ἀπὸ προσώπου εἰς πρόσωπον μεταβαίνοντος, ἤγουν ἀπὸ τοῦ τὴν δωρεὰν ποιοῦντος εἰς τὸν τὴν δωρεὰν δεχόμενον, ἄνευ τῆς οἱασοῦν προφάσεως ἢ αἱρέσεως. αἱ δέ εἰσιν ὑπὸ αἵρεσιν διδόμεναι, διαφόροις τρόποις καὶ χρόνοις εἰδοποιούμεναι, καὶ ὡς ἂν ὁ δωρούμενος ἐπείπῃ καὶ προσδιορίσηται[1].

3. *Μετὰ* θάνατον δωρεά ἐστιν, ὅτε τὶς ἑαυτὸν θέλει μᾶλλον ἢ τὸν λαμβάνοντα ἔχειν, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου[2].

4. *Τρία* ἐστὶν εἴδη τῶν ἐν αἰτίᾳ θανάτου δωρεῶν. ἓν μὲν, ὅτε μηδενὸς ἐπηρτημένου φόβου δωρεῖται διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου. δεύτερον δὲ, ὅτε τὶς διὰ τὸν ἐπηρτημένον ἔξωθεν καὶ οὐκ ἐκ τοῦ λαμβάνοντος θάνατον δωρεῖται, ἐφ' ᾧ παραχρῆμα δεσπόσαι τὸν λαβόντα. τρίτον, ὅτε δι' ἀποδημίας κίνδυνον δίδοται, ἐφ' ᾧ τὸν λαβόντα μὴ δεσπόσαι ἕως ἂν ὁ δεδωκὼς ἀποθάνῃ· οἷον ὁ κίνδυνον λῃστῶν ἢ πολεμίων ἢ ναυάγιον ἢ τόπους ἐπιβουλευομένους εὐλαβούμενος, ἀλλὰ καὶ ὁ νοσῶν, καὶ ὁ ἄνδρα δυνατὸν ἢ γῆρας εὐλαβούμενος. ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν[3].

5. *Ἐὰν* ὁ ὑπεξούσιος κελεύσει ἢ βουλήσει πατρὸς δωρήσηται, δοκεῖ αὐτὸς ὁ πατὴρ δωρεῖσθαι. καὶ ἐάν τις τὸ σὸν πρᾶγμα βουλήσει τῇ σῇ δωρήσηταί τινι ὡς ἴδιον, δοκεῖς σὺ τοῦτο δωρεῖσθαι[4].

6. *Αἱ* ἐμπεφανισμέναι δωρεαὶ οὐ δέονται τῆς τῶν γειτόνων μαρτυρίας. ἐμπεφανισμένας δὲ δωρεὰς παρίστησι τὸ νόμιμον τὰς ἐμφανιζομένας δικαστῇ[5].

7. *Τὰς* δωρεὰς ἐμφανεῖς ἐπὶ πράξεως ὑπομνημάτων γίνεσθαι παρεκελεύσαντο οἱ πάλαι βεβασιλευκότες, εἴγε δωρεὰ μείζων ἦν τῶν σ' νομισμάτων. ὁ δὲ Ἰουστινιανὸς ἐθέσπισε, μέχρι φ' νομισμάτων καὶ ἀνεμφανίστων οὐσῶν ἐῤῥῶσθαι τὴν δωρεὰν, ὡς μηδὲ δεῖσθαι πράξεως ὑπομνημάτων, εἰ καὶ τῶν φ' νομισμάτων ὑπερβαίνοιεν τὴν ποσότητα, ἀλλ' ἔχειν αὐτὰς τὸ ἰσχυρὸν ἐκέλευσεν[6].

---

[1] Proch. XII, 2 [2] Proch. ib. 3. [3] Proch. ib. 4. [4] Proch. ib. 6. 7.
[5] Basil. XLVII, 1, 63. [6] Theoph. Inst. II, 7 §. 2 ex Epitome.

8. *Αἱ ἐν γάμῳ γενόμεναι δωρεαὶ τοῦ προτελευτῶντος ἐπὶ τῆς αὐτῆς γνώμης τοῦ δωρησαμένου μενούσης βεβαιοῦνται*[1].

9. *Ἐὰν γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς αὐτῆς δαπανήσῃ περὶ συνηθείας προκοπῆς συγγενῶν αὐτῆς, ἔῤῥωται ἡ δωρεά*[2].

10. *Οὐκ ἔῤῥωται δωρεὰ διὰ τὸν ἔρωτα, καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον. τοῦτο μὲν ἐν γάμῳ ἐπὶ τῆς αὐτῆς γνώμης τελευτώντων ἐῤῥῶσθαι, ἐπὶ δὲ διαζυγίου μὴ ἐῤῥῶσθαι*[3].

11. *Ἐὰν ἡ δωρεὰ πρᾶσις γένηται, οὐ συνίσταται ἡ πρᾶσις, ἀλλ' ἡ δωρεὰ μένει ἐῤῥωμένη*[4].

12. *Τὰς βασιλικὰς δωρεὰς ἐν ὑπομνήμασιν ἢ εἰς βασιλέα γενομένην δωρεὰν οὐκ ἐῤῥῶσθαι*[5].

13. *Ἐὰν δωρήσωμαι τῇ γαμετῇ μου ἐφ' ᾧ δοῦναί μοι αὐτὰ ἐν προικὶ καὶ προτελευτήσω, βεβαιοῦται*[6].

14. *Ἐὰν ἀνὴρ καὶ γυνὴ συνεστῶτος τοῦ γάμου ἀλλήλοις χαριζόμενοι εἰ καὶ τελευτῶντες τὴν δωρεὰν ἐπικυρώσουσιν, ἔῤῥωται, κἂν ὁσηδήποτέ ἐστι μὴ χρῄζουσα πράξεως ὑπομνημάτων. εἰ δὲ προτελευτήσει ὁ τῆς δωρεᾶς τυχών, ἐπανατρέχει τὸ δωρηθὲν ἐπὶ τὸν χαρισάμενον. τὸ αὐτὸ καὶ ἐὰν ῥεπουδίῳ λυθῇ ὁ γάμος*[7].

15. *Ὅτι τὰ πράγματα τῆς γυναικὸς οὐ συμβάλλονται τοῖς πράγμασι τοῦ ἀνδρὸς δημευομένου [ἢ] χρεωστοῦντος πριμήπηλον*[8].

16. *Οὐκ ἀνακαλεῖταί τις ἃ δεδώρηται, λέγων ὅτι ἠπατήθην περὶ τὴν δωρεάν. ἀλλὰ κἂν ἐνδιαθήκως εἴπῃ, ὅτι κακῶς ἐδωρησάμην, οὐκ ἐκκαλεῖται ἃ ἐδωρήσατο. ὁ γὰρ δωρησάμενός ἐστιν ὁ μὴ δυνάμενος τὴν κατὰ ἀπάτην δωρεὰν ἀνατρέψαι*[9].

17. *Ἄγραφος ἁπλῆ δωρεὰ συνίσταται, ὅταν τὶς τῶν ἐντελῶν χρόνων ὑπάρχων ἐπὶ πέντε ἢ τριῶν μαρτύρων δωρήσηταί τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων· πέντε μὲν μαρτύρων εἰς τόπους συνισταμένους καὶ εὑρισκομένων ἀνθρώπων, τριῶν δὲ εἰς τόπους ἐρήμους καὶ μὴ εὑρισκομένου τοῦ μέτρου τῶν πέντε*[10].

---

[1] Dig. XXXIII, 4, 1 §. 3 ex Epit. [2] Dig. XXIV, 1, 5 §. 17 ex Epitome. Cf. Basil. XXX, 1, 5. [3] Dig. XXIV, 1, 1. 3. [4] Cod. IV, 38, 3. 9. Cf. Epit. XVI, 33. [5] Ex Nov. 52, ut videtur, habet Epitome. [6] Dig. XXIV, 1, 59. [7] Ex Epitome, ubi laudatur Cod. V, 12, 25. [8] Cod. IX, 49, 9. [9] Theod. Cod. VIII, 55, 4. Cf. Basil. XLVIII, 2, 4 schol. [10] Hoc et quae

18. Ἔγγραφος ἁπλῆ δωρεὰ συνίσταται, ὅταν ὑπὸ τοῦ τελείαν ἄγοντος ἡλικίαν συνταγῇ, ὑπογραφὴ καὶ κατὰ τὸν προειρημένον τρόπον ἐπὶ πέντε ἢ τριῶν μαρτύρων ἐπὶ τοῦτο προσκληθέντων ἐγγράφως μαρτυρηθῇ καὶ ἀπολυθῇ.

19. Εἰ δέ τις ποιήσει δωρεὰν εἴς τινα πρὸς τὸ μετὰ τὴν τελευτὴν αὐτοῦ λαβεῖν τὰ δωρηθέντα αὐτῷ πράγματα, καὶ ἀπεντεῦθεν ἤδη τὴν δεσποτείαν καὶ μόνον δωρήσηται αὐτῷ, καὶ τὴν τοιαύτην δωρεὰν ἐγγράφως ἐπὶ πέντε ἢ τριῶν μαρτύρων γίνεσθαι κατὰ τοὺς προειρημένους τρόπους.

20. Ἡ διὰ προσδοκίαν θανάτου δωρεὰ, ἤτοι μετὰ ἀποβίωσιν τοῦ δωρουμένου τὴν σύστασιν ἔχουσα, γίνεται καὶ αὐτὴ, ὡς ἀνωτέρω δεδήλωται, διά τε τοῦ δωρουμένου καὶ ε′ ἢ γ′ μαρτύρων ὑπογραφῆς συντηρουμένης.

21. Εἰ δὲ αὐτὸς ὁ δωρούμενος διατάξηται ἐγγράφως ἐν τῇ αὐτῇ δωρεᾷ αὐτοῦ μὴ μεταμεληθῆναι ἢ διαστρέψαι τὴν τοιαύτην δωρεὰν, ταύτην εἶναι κεκυρωμένην, μόνον ἵνα δηλωθῇ ἡ διάταξις αὐτοῦ καὶ ἐν τῷ ὕφει καὶ ἐν τῇ ὑπογραφῇ αὐτοῦ.

Τίτλος ιδ′. Περὶ ἀνατροπῆς δωρεῶν.

1. Αἱ μετὰ θάνατον δωρεαὶ λεγάτοις ἐοίκασιν. ὡς οὖν ἐκεῖνα βουλομένου τοῦ τελευτήσαντος λύονται καὶ ἀκυροῦνται, οὕτω καὶ αἱ μετὰ θάνατον δωρεαὶ, εἰ μὴ ἄρα ὁ δωρούμενος ἀμεταμέλητον εἶναι τὴν ἑαυτοῦ γνώμην ὁμολογήσει καὶ ἰσχυρίσεται[1].

2. Ἐν τῇ κβ′ νεαρᾷ περὶ μητρὸς δευτερογαμησάσης καὶ προδωρησαμένης τῷ ἐκ τοῦ πρώτου γάμου παιδὶ λέγεται μὴ ἄλλως ἀνατρέπειν τὴν δωρεὰν, πλὴν εἰ μὴ ἐπιβουλεύοντα περὶ τὴν ζωὴν αὐτῆς ἢ χεῖρας αὐτῇ ἀσεβεῖς ἐπάγοντα ἢ πρὸς ἀφαίρεσιν τῆς ὅλης αὐτῆς οὐσίας πράττοντά τι τὸν λαβόντα τὴν δωρεὰν αὐτὴ ἀποδείξειεν[2].

3. Ὁ πατὴρ ἔτι νήπιον ὄντα τὸν παῖδα καὶ τῷ ἄγαν τῆς ἡλικίας ἁπαλῷ μηδὲ φθεγγόμενον ἀλλὰ καὶ μηδεμίαν ἔχοντα αἴσθησιν ἢ νόησιν τῶν πραττομένων αὐτεξούσιον ποιήσας, ἐὰν δωρήσασθαι αὐτῷ τι βουληθῇ, ὡς ἐπὶ τελείου πάντα

---

sequuntur capita, ex Ecl. IV, 1—5 desumta, in reliquis praeter Lips. Codicibus desunt.

[1] Epanag. XXII, 5. [2] Epan. ib. schol. c.

ποιείτω δωρεαστικὸν συντάττων γραμματεῖον, οὐ πρὸς αὐτὸν μέντοι τὸν ἴμφαντα παῖδα ἀλλὰ πρὸς ἕνα ἀξιόπιστον καὶ εὐνούστατον αὐτοῦ οἰκέτην ὑποδεχόμενον τὴν δωρεὰν ὀνόματι αὐτοῦ καὶ προσπορίζοντα αὐτῷ[1].

4. Ἐάν τις μὴ ἔχων υἱὸν πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχῇ δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεὰ καὶ παλινδρομείτω πάλιν πρὸς τὸν δωρησάμενον ἐξουσίαν ἔχοντα ὡς βούλεται ταῦτα διοικεῖν[2].

5. Τὸ ἐν ἀγνοίᾳ ἢ κατὰ πλάνην διδόμενον ἀπαιτεῖται. ὁ δὲ ἐν γνώσει διδοὺς τὸ μὴ χρεωστούμενον δωρεῖται[3].

6. Οὔτε ἄνηβος οὔτε ἄνους δύναται δωρεῖσθαι· ἐν οὐδενὶ γὰρ τούτων ἐστὶ βούλησις[4].

7. Αἱ γινόμεναι χάριτες τῶν δωρεῶν εἰς ἀχαριστίαν ἀνατρεπέσθωσαν.

8. Δεῖ τὴν δωρεὰν ἄχρι φ' νομισμάτων ἐῤῥῶσθαι κἂν μὴ ἐμφανισθῇ. ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν καὶ τῶν εὐσεβείας λόγῳ γινομένων καὶ τῶν εἰς μνηστὴν διδομένων[5].

9. Οὐ μόνον ὁ νοσῶν δύναται δωρεῖσθαι, ἀλλὰ καὶ ὁ κίνδυνον λῃστῶν ἢ πολεμίων εὐλαβούμενος ἢ ἄνδρα δυνατὸν ἢ ναυάγιον ἢ γῆρας· ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν[6].

10. Ἐὰν ὁ θάνατος μὴ ἐπακολουθήσῃ, τέλειον οὐκ ἔχει ἡ θανάτου αἰτίᾳ δωρεά[7].

11. Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον σκαιαῖς κατὰ τούτου χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ ἢ ζημίαν περιβάλῃ μεγίστην ἐξ οἰκείας ἐπιβουλῆς, ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάκτα, εἴτε ἐγγράφως ἢ ἀγράφως γεγονότα μὴ πληρώσῃ ταῦτα, μία γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐὰν ἐν δικαστηρίῳ κατὰ σύστασιν φανερῶς ἀποδειχθείη, ἀνατρεπέσθωσαν αἱ γινόμεναι δωρεαί[8].

Τίτλος ιε'. Περὶ πράσεως καὶ ἀγορασίας.

1. Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκάτερον συναινέσαν μέρος ὁ μὲν τὴν καταβολὴν ποιήσηται τοῦ τιμήματος, ὁ δὲ παραδώσει τὸ πιπρασκόμενον· οὐ

---

[1] Epanag. ib. 8. [2] Proch. XIII, 1. [3] Basil. XXIV, 6. 1. [4] Proch. XIII, 2. [5] Attal. XXIX, 6. [6] Attal. ib. 9. [7] Attal. ib. 10. [8] Proch. XIII, 3.

μόνον δὲ ἀλλὰ κἂν ὁ ἕτερος τούτων ἢ τὴν καταβληθεῖσαν τιμὴν ἀναλάβῃ ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβῃ, ἐφ᾽ ᾧ τὴν πρᾶσιν ἀδιάλυτον προβῆναι, καὶ οὕτω τὰ τῆς πράσεως ἐῤῥῶσθαι[1].

2. *Τὸ δὲ ἀῤῥαβῶνος χάριν παρεχόμενον ἔλεγχός ἐστι καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας συστάσεως, οὐ μὴν αὐτὸ σύστασις. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν τῆς ἀγράφως γινομένης. ἐπὶ δὲ τῆς ἐγγράφως γινομένης οὐχ ἑτέρως τὸ τέλειον προσγενήσεσθαι λέγομεν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμβόλαια τῆς πράσεως συγγραφῇ, ἢ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράψῃ δὲ ὁ πιπράσκων. εἰ δὲ διὰ ταβελλίονος γένηται, καὶ κόμπλα παρακολουθήσει προταχθείσης ὑπογραφῆς καὶ τοῦ συμβολαίου*[2].

3. *Τὸ δὲ δι᾽ ἀῤῥαβῶνος γινόμενον [ἐν] ὑστεροβουλίᾳ κείμενον διαλυομένης τῆς πράσεως, εἰ μὲν ἀγοραστὴς εἴη ὁ διαλύων καὶ ὑποχωρῶν, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα· εἰ δ᾽ ὁ πράτης, τὸ διπλοῦν παρασχεῖν ἀναγκάζεται, τουτέστιν αὐτὸ τὸ δοθὲν καὶ ἕτερον τοσοῦτον*[3].

4. *Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν*[4].

5. *Δοκεῖ πως τοῦτο ἐναντίον τῷ ἐν τῷ ε΄ βι. τοῦ κώδ. ὑπὸ θαλελαίου λεγομένῳ, ὅτι τὸ ἐκ τῶν προικιμαίων χρημάτων ἀγοραζόμενον οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικός. καί φασιν, ὅτι τοῦτο μέν, ἡνίκα ὁ ἀνὴρ εὐπορεῖ· χρεωστῶν γὰρ τὰ νομίσματα, δίδωσιν αὐτὰ καὶ οὐ τὸ ἐκ τούτων ἀγορασθέν· τὸ δὲ ἕτερον, ἡνίκα παντελῶς ἀπορήσει ὁ ἀνὴρ θεματίζεται· μὴ γὰρ εὐπορῶν ἀναδοῦναι τὸ χρήματα, ὑπὸ τὴν τῆς γυναικὸς δεσποτείαν ὅσα ἐξ αὐτῶν ἠγοράσθησαν καταλιμπάνει*[5].

6. *Οὐδεὶς ἐκ τοῦ παρ᾽ αὐτοῦ ἐγχειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται κινητὸν ἢ ἀκίνητον ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἑτέρου. καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει καὶ τὸ δοθὲν τίμημα οὐ λαμβάνει. ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ προκουράτορος τοῦ βασιλέως, εἰ μὴ παρὰ τοῦ δημοσίου*[6].

---

[1] Proch. XIV, 1. [2] Proch. ibid. [3] Proch. ibid. [4] Epanag. XVIII, 17. [5] Epanag. ib. sch. d. [6] Proch. h. t. 2. — In Paris. 1368 additur: *ἡ δὲ μ΄ νεαρὰ τοῦ κυροῦ λέοντος καὶ ἀγοράζειν φησὶ τοὺς ἄρχοντας τοὺς ἐν τῇ πόλει καὶ νεουργεῖν, ὁμοίως δὲ καὶ τοὺς ἔξω, στρατηγοῦ πλήν.* Eadem Paris. 1351 A in margine habet adscripta. Cf. Harm. III, 3, 7.

7. Ὁ κατὰ τόπον ἄρχων εἰ διὰ χαριστικῆς ἀπό τινος τῶν ὑπὸ χεῖρα δεσπότης κτήματός τινος ἀναφανῇ ἢ διὰ πράσεως, οὐδὲν ἀπὸ τῶν τοιούτων πράξεων κερδανεῖ, οὐδὲ χρόνῳ ἡ ἀπὸ χαριστικῆς ἢ ἀπὸ διαπράσεως γεγενημένη αὐτῷ διακατοχὴ τὸ βέβαιον λαμβάνει, ἀλλὰ καὶ ἄρχοντος αὐτοῦ καὶ τῆς ἀρχῆς παυομένου, ὅσος ἂν ῥυῇ χρόνος, τοῦ προτέρου δεσπότου ἔγκλησιν ποιοῦντος ἢ τῶν αὐτοῦ κληρονόμων, ὁ μὲν στερεῖται οὗ διὰ πράσεως ἢ χαριστικῆς δεσπότης ἐνομίσθη, ὁ δὲ πρότερον ἀληθῶς γεγονὼς κύριος ἐγκαλῶν ἀναλαμβάνει τὸ ἴδιον, οὐδενὶ χρόνῳ πρὸς τὴν ἀνάληψιν τοῦ ἰδίου κτήματος κωλυόμενος[1].

8. Ὁ δικαίωμα ἔχων εἴτε πράσεως εἴτε ἀγορασίας εἴτε κρίσεως, ἔπειτα τούτων οὐδὲν ἐπὶ κρίσεως παραστὰς ἐμφανίσει, εἰ μὲν γινώσκων ἔχειν αὐτὰ οὐ προεκόμισεν, εἶτα κατεδικάσθη, οὐ δύναται ἐν ἐκκλήτῳ προσάγειν αὐτά· ὁ γὰρ τῶν ἰδίων ὀλιγωρήσας δικαιωμάτων αὐτὸς πρὸ τῶν ἄλλων τὴν ἐκείνων ἀσθένειαν ἐλέγχεται συνειδώς. εἰ δ' ἀγνοῶν, ὅτι ταῦτα ἔχει, διὰ τοῦτο οὐ προκομίσειεν, ὅρκῳ τὴν ἄγνοιαν βεβαιῶν δύναται ταῦτα καὶ μετὰ τὴν ψῆφον τὴν δικαστικὴν ἐπὶ τῆς ἐκκλήτου προάγειν καὶ τὸ ἴδιον διεκδικεῖν δίκαιον[2].

9. Ὁ ἀποκρύπτων χάρτην ἐκλαβῆς αὐτοῦ ὡς ἐπηρεάζων τὸν πρωτότυπον, ἐκπίπτει τῆς διακατοχῆς τοῦ ἐκδεδομένου[3].

10. Μετὰ τὸ πραθῆναι καὶ ἀγορασθῆναί τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας τῆς τε ἐγγράφου καὶ τῆς ἀγράφου πράσεως καὶ ἀγορασίας, ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος εὐθέως τὸν ἀγοραστὴν ὁρᾷ, εἰ καὶ τὰ μάλιστα μήπω τὸ πρᾶγμα παραδέδοται[4].

11. Τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος, καὶ τελευτήσει ἢ μέρος τὶ βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα ἢ ὀφθαλμὸν, ἢ οἰκία οὖσα ἡ πεπραμένη ἢ πᾶσα ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ, ἢ ἀγρὸς βίᾳ ποταμῶν ὅλος ἢ ἐκ μέρους ἀπόληται, εἴτε τῇ πλημμύρᾳ τοῦ ὕδατος ἢ δένδρων ἐξ ἀνέμου καταπεσόντων πολλῶν ἥττων ἢ καὶ χείρων γένηται ὁ ἀγρὸς, ἐπὶ τούτων πάντων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ[5].

12. Καθόλου γὰρ ἴσθι, ὅτι δίχα δόλου ἢ ῥᾳθυμίας τοῦ πράτου εἰ συμβῇ τῷ πράγματι τοιοῦτόν τι, ἕξει τὸ ἀμέριμνον ὁ πράτης[6].

13. Ὥσπερ ἡ ἐκ τύχης ἐλάττωσις ἤτοι ἀπώλεια τοῦ πε-

---

[1] Epanag. XXIII, 19. [2] Epanag. XIII, 17. [3] Epanag. ib. 18. — In Paris. 1368 haec §. deest. [4] Proch. h t. 3. [5] Proch. ibid. [6] Proch. ibid.

πραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτω καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ πράγματι, τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς μετὰ τὸ συστῆναι τὴν πρᾶσιν, τοῦ κέρδους ὁ ἀγοραστὴς ἀπολαύσει. χρὴ γὰρ ἐκεῖνον ἔχειν τὸ κέρδος, ὃς καὶ κινδυνεύει διὰ τῆς τούτου μειώσεως[1].

14. *Ἡ πρᾶσις καὶ ἀπεντεῦθεν ἤδη, ἤγουν εὐθέως καὶ παραυτὰ χωρίς τινος προσδιορισμοῦ ἢ αἱρέσεως καὶ χρόνου ἀναβολῆς, τελειοῦσθαι δύναται, ὡς ὅταν δώῃς τὸ σὸν ἐπὶ τῷ λαβεῖν τόδε. καὶ ὑπὸ αἵρεσιν γίνεται· οἷον ὁ δεῖνα ὁ οἰκέτης, εἴγε εἴσω μηνὸς ἀρέσει σοι, ἔστω σοι πεπραμένος νομίσμασι δέκα*[2].

15. *Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτεθειμένον ὑπό τινος χρυσίον κατὰ πλάνην ἀπομεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος*[3].

16. *Ὁ βλέπων πιπρασκόμενον ὑφ᾽ ἑτέρου ἴδιον αὐτοῦ πρᾶγμα καὶ μὴ ἀντιλέγων, αὐτὸς δοκεῖ πιπράσκειν αὐτό*[4].

17. *Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξῃ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ καταδικάζει με. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ παραδόσεως νομῆς ἀργούσης*[5].

18. *Ἐάν τις εἱρκτῇ τινα βαλὼν παρασκευάσῃ τὶ πρᾶξαι, ἀνίσχυρόν ἐστιν*[6].

19. *Ἐπίτροπος οὐ δύναται ὀρφανικὸν ἀγοράσαι πρᾶγμα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουρατόρων καὶ προκουρατόρων*[7].

20. *Δύναται πολλάκις καὶ αὐτὸς ὁ ἐπίτροπος καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν πραγμάτων τοῦ ἀνήβου τῶν πιπράσκεσθαι δυναμένων πίστει ἀγαθῇ φανερῶς ἀγοράσαι. καὶ γὰρ τοῖς νομίσμασι τοῦ ἀνήβου λαθραίως μὲν κεχρῆσθαι κεκώλυται, φανερῶς δὲ ταῦτα δανείσασθαι οὐκ ἀπηγόρευται. ἐὰν δὲ ἀκίνητα ᾖ, οὐ δύναται δίχα δεκρέτου ταῦτα ἀγοράζειν. θεμάτισον δὲ δύο εἶναι ἐπιτρόπους, ἵνα τοῦ ἑνὸς αὐθεντοῦντος ὁ ἕτερος ἀγοράσῃ· ἐπεὶ αὐτὸς ἑαυτῷ αὐθεντῶν οὐ δύναται ἀγοράζειν ὁ ἐπίτροπος*[8].

21. *Οὐδενὶ χρόνῳ κυροῦται τὸ βίαιον*[2].

---

[1] Proch. h. t. 4. Cf. Epanag. XXIII, 4. [2] Proch. ib. 5. [3] Proch. ib. 9. [4] Proch. ib. 10. [5] Proch. ib. 6. [6] Basil. X, 2, 22. [7] Proch. cit. 8. [8] Epanag. XXIII, 15. [9] Basil. X, 2, 21 th. 2.

22. Ὁ ποιήσας τὴν βίαν ἀναγκάζεται ἀποκαταστῆσαι, κἂν ἕτερος ἔχῃ τὸ πρᾶγμα[1].

23. Ἔχοντί μοι πράσιμον πρᾶγμα ἐνήγαγες περὶ τῆς αὐτοῦ δεσποτείας, καὶ παρελθόντος τοῦ καιροῦ, καθ' ὃν αὐτὸ χρησίμως ἠδυνάμην πωλῆσαι, τῆς δίκης ἀπέστης. ἔχω κατά σου ἐπὶ τῷ ἀζημίῳ τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν[2].

24. Τὰς πράσεις καὶ τὰς δωρεὰς καὶ τὰς διαλύσεις, αἵτινες κατὰ βίαν ἐξεβιβάσθησαν, προστάττομεν ἀσθενεῖν[3].

25. Ἐπίτροπος πιπράσκων οὐχ ὑπόκειται δεφενσίωνι, εἰ μὴ ῥητῶς ὁμολογήσει. δεσπότης δὲ ὑπόκειται, εἰ μὴ ῥητῶς ἀποτάξηται[4].

26. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τὶ τοῦ πεκουλίου καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, καὶ ὅσα μετὰ τὴν πρᾶσιν προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ πράτῃ, τυχὸν τοκετοὶ καὶ τὰ ἀπὸ τῶν ἔργων τῶν ἐκ τοῦ πεκουλίου δούλων[5].

27. Ὁ φυγάδα οἰκέτην ἢ κλέπτην πωλῶν, εἰ μὲν ᾔδει, εἰς τὸ διαφέρον κατέχεται· εἰ δ' ἠγνόει, ἐπὶ μὲν τοῦ φυγάδος τὸ τίμημα ἀπαιτεῖται, ἐπὶ δὲ τοῦ κλέπτου οὐδέν. εἰ μέντοι ἀγνοῶν κλέπτην εἶναι τὸν οἰκέτην πιστὸν εἶπεν αὐτὸν, ὡς εἰδὼς κατέχεται. τὸ δὲ διαφέρον καὶ εἰς τοὺς ὑπονοθευθέντας καὶ εἰς τὰ κλαπέντα ἀναφέρεται[6].

28. Ἐκεῖνο δ' ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ὅτι ὁ πιπράσκων δοῦλον, καὶ γινώσκων αὐτὸν ἢ κλέπτην ἢ δαιμονῶντα ἢ μαινόμενον, ἵνα προσφωνῆται περὶ τούτου τῷ ἀγοραστῇ· εἰ γὰρ μὴ τοῦτο ποιήσει αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψῃ τῷ ἠγορακότι, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο ἐν τῷ οἴκῳ τοῦ ἠγορακότος[7].

29. Τὴν μὲν περὶ τοῦ φυγάδος ἀγωγὴν ἐντὸς ἓξ μηνῶν κινεῖσθαι μόνον, τὴν δὲ περὶ τῶν λοιπῶν κεφαλαίων ἐντὸς ἐνιαυτοῦ. καὶ ὅτι ὁ κινῶν περὶ τοῦ φυγάδος ὀφείλει παραστῆσαι αὐτόν[8].

30. Ὁ ἐν ἀγνοίᾳ πωλῶν ὑπαίτιον κατέχεται, ὅσον ἧττονος ἠγόρασεν ἂν, εἰ ᾔδει ὁ ἀγοραστής· ὁ δὲ ἐν εἰδήσει, εἰς πᾶν τὸ διαφέρον· δηλονότι τελευτήσαντος· εἰ γὰρ ζήσαντα, στρέφεται καὶ τὸ τίμημα ἀναδίδοται[9].

---

[1] Basil. eod. 14 th. 6 med. [2] Bas. X, 3, 33. [3] Bas. X, 2, 35. [4] Epan. XXIII, 16. [5] Proch. h. t. 7. [6] Epan. XXIII, 20. [7] Proch. h. t. 11. [8] Epan. XXIII schol. a. [9] Epan. XXIII, 21 et schol. b.

31. *Εἰ πρὸ παραδόσεως φύγῃ ὁ πραθεὶς δοῦλος ἢ καὶ κλαπῇ ὑπό τινος, [ὡς] μὴ δόλον ἢ ῥᾳθυμίαν ἐλέγχεσθαι περὶ ταῦτα τοῦ πράτου, σκοπήσωμεν εἰ ὁ πράτης ἐκ τούτων ὀφείλει ζημιοῦσθαι. καὶ δεῖ οὕτως διαστίξαι· εἰ μὲν εἰς ἑαυτὸν ὁ πράτης ἀνεδέξατο τὴν τοῦ πεπραμένου οἰκέτου φυλακὴν, ἕως τῆς παραδόσεως χρεωστεῖ ἀκριβεστάτην καὶ ὑπερβάλλουσαν παραφυλακὴν, καὶ αὐτὸς ἐπιγνώσεται τὴν ἐντεῦθεν ζημίαν· εἰ δὲ μὴ ἀνεδέξατο εἰς ἑαυτὸν, ἕξει τὸ ἀμέριμνον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ζώων. πάντως δὲ χρεωστεῖ ὁ πράτης τῷ ἀγοραστῇ τὴν διαυθέντευσιν καὶ ἐκδίκησιν*[1].

32. *Ἐὰν εὑρεθῇ τὸ πραθὲν ὑπαίτιον ἢ ἐμπαθὲς, οἷον δοῦλος φυγὰς ἢ ῥεμβὸς ἢ κλέπτης ἢ δαιμονιζόμενος, ἢ εἴτε τὸ ἄλογον πνεύμονα ἔχον ἢ κεκλασμένον ὦμον ἢ ἕτερον αἴτιον, εἰ μὲν πρὸς ἔπαινον αὐτοῦ εἴπῃ ὁ πράτης καὶ συμφωνήσει τοῦτο ἀπαθὲς, ἔχει ὁ ἀγοραστὴς ἐξουσίαν εἴσω ἑξαμήνου ἀντιστρέφειν τοῦτον· μετὰ δὲ τὸ ἑξάμηνον οὐχὶ, ἀλλ' ἕως πληρουμένου ἐνιαυτοῦ κινεῖν τὴν μειοῦσαν τὸ τίμημα ἀγωγήν. εἰ δὲ μὴ εἴπῃ πρὸς ἔπαινον τοῦ πωλουμένου σώματος ὁ πράτης, εἴσω μὲν δύο μηνῶν ἔχει τὴν ἀντιστρέφουσαν τὸ πρᾶγμα ἀγωγὴν ὁ ἀγοραστὴς, μετὰ δὲ τοὺς δύο μῆνας ἄχρις ἑξαμήνου τὴν μειοῦσαν τὸ τίμημα. ὀφείλει γὰρ ὁ πράτης προλέγειν τὰ πάθη τῷ ἀγοραστῇ καὶ τὰ αἴτια τοῦ πωλουμένου*[2].

33. *Ἐὰν ἐκνικηθῇ τὸ πραθὲν πρᾶγμα ἐξ αἰτίας προηγουμένης τῆς πράσεως, ἐὰν μετὰ δεφενσίωνος ὁ πράτης ἐπώλησεν, ἀπαιτεῖται τὸ διπλοῦν τοῦ τιμήματος· εἰ δὲ χωρὶς δεφενσίωνος, ἁπλοῦν τὸ τίμημα*[3].

34. *Δύνανται οἱ συναλλάσσοντες μέχρι τοῦ ἡμίσεος τοῦ τιμήματος περιγράφειν ἀλλήλους καὶ περιγράφεσθαι. εἰ δ' ἐπέκεινα γένηται ἡ περιγραφὴ, ἢ τὸ πλέον ἀποδίδοται ἢ ἡ πρᾶσις ἀναλύεται*[4].

35. *Ὁ ἀπὸ τοῦ δημοσίου ἀγοράσας εὐθὺς ἔχει τὸ ἀφρόντιστον, μηδεμιᾷ τὸ καθόλου ἀγωγῇ ἐναγόμενος*[5].

36. *Ὁ κατὰ βίαν πρᾶγμα ἢ ἀγρὸν πεπρακὼς δύναται ἀναδιδοὺς ὅπερ ἔλαβε τίμημα τὴν κατὰ βίαν γενομένην πρᾶσιν ἀνατρέπειν, καὶ οὐ μόνος αὐτὸς, ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ*[6].

37. *Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ,*

---

[1] Epan. eod. 5. [2] Attal. XI, 3. [3] Attal. ib. 4. [4] Attal. ib. 2. [5] Attal. ib. 6. [6] Basil. XIX, 10, 61. Cf. *Πεῖρα* 38, 51.

δύναται τὸ τίμημα ἀναδιδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μηδὲ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ τιμήματι δοῦναι, ἔχειν αὐτὸν τὸ πεπραμένον πρᾶγμα. τὸ αὐτὸ δὲ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαινέτω[1].

38. Τὰ τοῦ αἰχμαλώτου πράγματα ἕως ἂν ἐπιστρέψῃ οὐ πιπράσκονται[2].

39. Ἐὰν ὁ δημόσιος διὰ δημόσια χρέα πωλήσῃ πράγματα τοῦ χρεώστου, οὐδὲ αὐτὸς ὁ χρεώστης οὐδὲ ὁ δανειστὴς αὐτοῦ δύναται προσαγαγεῖν τὸ χρέος καὶ ἐκδικῆσαι τὰ πράγματα· πάντων γὰρ προτιμότερός ἐστιν ὁ δημόσιος[3].

40. Ποτὲ καταλλαγὴ ἦν πραγμάτων ἀντιδιδομένων, ὕστερον δὲ γέγονεν ἡ πρᾶσις ἐπινοηθέντων τῶν ἀργυρίων· χωρὶς γὰρ ἀργυρίων οὐ συνίσταται πρᾶσις. συνίσταται δὲ ἡ πρᾶσις καὶ ἐγγράφως καὶ ἀγράφως. καὶ ἡ μὲν ἔγγραφος συνίσταται ἅμα τῷ τελεσθῆναι τὸ συμβόλαιον· ἡ δ' ἄγραφος ἅμα τῷ ὁρισθῆναι καὶ τῷ τυπωθῆναι τὸ τίμημα[4].

41. Ἐάν τινες ἐπίκοινον πρᾶγμα ἔχοντες συμφωνήσωσι μηδέτερον αὐτῶν ἐξεῖναι πωλεῖν ἑτέρῳ τινὶ, ἀλλὰ πρὸς ἀλλήλους γίνεσθαι τὴν πρᾶσιν, εἶτα εἷς ἐξ αὐτῶν ἕλοιτο πωλῆσαι τὸ μέρος αὐτοῦ, ὀφείλει πρότερον διαμαρτύρασθαι τῷ κοινωνῷ, εἰ πρόθεσιν ἔχοι τοῦ ἀγοράσαι, καὶ εἰ μὴ βούλοιτο, ἀκωλύτως ὁ προελόμενος πωλῆσαι τηνικαῦτα τῷ τυχόντι πιπράσκει[5].

42. Σημείωσαι, ὅτι ὁ ἥττονος τοῦ δικαίου τιμήματος ὠνούμενος κτῆμα ἐντὸς τῆς τετραετίας κινουμένης τῆς δίκης ἐπιλογὴν ἔχει ἢ τὸ ὅλον τίμημα καταβαλεῖν καὶ τοὺς τόκους τοῦ μὴ καταβληθέντος τιμήματος καὶ παρακατέχειν τὸ πρᾶγμα, ἢ ἀντιστρέφειν τὸ κτῆμα, ἀναλαμβάνειν δὲ τὸ τίμημα ὃ κατεβάλετο, ἀποδιδοὺς ἐκ τοῦ τιμήματος πρὸς τὸν πράτην καθαροὺς καρποὺς τοῦ περιττῶς κατεχομένου παρ' αὐτοῦ μέρους τοῦ κτήματος καὶ τὴν τιμὴν τῶν ἴσως παρ' αὐτοῦ γεγονυιῶν καινοτομιῶν[6].

43. Ἡ τοιαύτη δίκη ἐκρίθη ἐξωνησαμένου τοῦ πρωτοβεστιαρίτου κτῆμα τῆς μονῆς δαβίδος εἰς λίτρας ε' καὶ τιμηθὲν ὕστερον λιτρῶν ιγ'[7].

44. Οὐ μόνον μετὰ τὴν παράδοσιν τοῦ ἀγορασθέντος, ἀλλὰ

---

[1] Basil. XIX, 10, 72. Cf. Πεῖρα 38, 12. [2] Epit. XVI, 72. [3] Attal. XI, 5. [4] Attal. ib. 1. [5] Epanag. XXIII, 13. [6] Πεῖρα 38, 12. [7] Πεῖρα ibid.

καὶ πρὸ τῆς παραδόσεως κινδυνεύει ἐπ᾽ αὐτῷ ὁ ἀγοραστὴς, δηλονότι εἰ μὴ ὑπερέθετο μεταφέρειν τὴν δεσποτείαν αὐτοῦ ὁ πράτης, ἢ αἱρετή ἐστιν ἡ πρᾶσις καὶ ἀπώλετο τὸ ἀγορασθὲν πρὸ τοῦ ἐκβῆναι τὴν αἵρεσιν· τότε γὰρ ὁ πράτης ζημιοῦται[1].

45. Ὁ ἐν εἰδήσει πωλῶν βίτιόν τινι τουτέστιν ἐπίψογον, οὐ μόνον εἰς τὸ τίμημα, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν ἐκ τούτου ζημίαν κατέχεται[2].

46. Ὁ μαινόμενος καλῶς πωλεῖ ὅτε νήφει, ἐὰν μέντοιγε μείζων ἐστὶ τῶν κε΄ ἐνιαυτῶν[3].

47. Ὁ κατὰ νόμους πεκούλιον ἢ ἰδικὸν κτῆμα ἔχειν παραχωρούμενος ὑπεξούσιος καλῶς ἀγοράζει παρὰ τοῦ ἰδίου πατρός[4].

48. Ἡ εἰκονικὴ πρᾶσις ἡ ἄνευ δηλονότι τιμήματος ὡς μηδὲ γενομένη λογίζεται, οὔτε δοκεῖ ἐκποιεῖσθαι τὸ πρᾶγμα[5].

49. Τὴν εἰκονικὴν πρᾶσιν ἤγουν τὴν δίχα τιμήματος ἀντὶ μηδὲ γενομένης ὀφείλομεν παραλαμβάνειν· ὅθεν οὔτε ἐκποιεῖσθαι δοκεῖ τὸ πρᾶγμα ἐφ᾽ ᾧ γέγονε τὸ τοιοῦτον συνάλλαγμα[6].

50. Εἰκονικὴ τοῦ πράγματος πρᾶσις μετὰ τὴν ἀπόδοσιν τοῦ τιμήματος βεβαία ἐστὶν[7].

51. Ὁ κατὰ ἄγνοιαν πωλήσας ἀλλότριον οὐκ ἐνέχεται εἰς τὸ διαφέρον, ἀλλ᾽ εἰς μόνον ὃ ἔλαβε τίμημα· ὁ δὲ κατὰ ἄγνοιαν ἀλλότριον δωρησάμενος οὐκ ἐνέχεται[8].

52. Ἔγγραφος καὶ ἄγραφος πρᾶσις καὶ ἀγορασία ἐφ᾽ οἱῳδήποτε εἴδει καὶ πράγματι τῆς τιμῆς στοιχουμένης συνίσταται ἀδόλῳ τῶν συναλλασσόντων συμφωνίᾳ. ἡνίκα οὖν ἡ τιμὴ τῷ πράτῃ, τὸ δὲ εἶδος τῷ ἠγορακότι δοθῇ, τὴν τοιαύτην πρᾶσιν ἐκ μεταμέλου ἑνὸς αὐτῶν μὴ ἀνατρέπεσθαι. δεῖ γὰρ τὸν ἀγοραστὴν πρὸ τοῦ συναλλάγματος δι᾽ ἐρεύνης γίνεσθαι ἀκριβοῦς καὶ οὕτω συναλλάσσειν. εἰ δὲ ὡς εἰκὸς μετὰ τὴν πρᾶσιν εὑρεθῇ τὸ πραθὲν σῶμα ἐλεύθερον ἢ καὶ δαιμονιῶν, τοῦτο ἀναδίδοσθαι[9].

---

[1] Epit. XVI, 5. [2] Epit. ibid. not. 18. [3] Epit. ibid. 44. [4] Epanag. XXIII, 12. [5] Cf. Basil. XIX, 1, 55. [6] Cf. Basil. l. c. [7] Cf. Basil. II, 3, 16. [8] Non iuvenio. — Paris. 1368 in margine adscriptum habet locum: Ὁ μὲν ἐν εἰδήσει τὸ ἀλλότριον κτλ. Cf. Harm. III, 3, 22. — Praeterea in textu nonnulli addunt: Ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν κλέπτην κτλ.
[9] Ecloga IX, 1. — Hanc §. solus praestat Lipsiensls.

Τίτλος ιϛ΄. Περὶ ἐμφυτεύσεως.

1. Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ ὀρφανοτροφείου καὶ τῶν ξενώνων καὶ τῶν νοσοκομείων καὶ τῶν πτωχείων γίνεσθαι κελεύομεν ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων[1].

2. Οἱ εὐαγεῖς τόποι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια καλῶς πωλοῦσι καὶ κτήσεις, δηλονότι ἐξεταζομένης τῆς ἐκποιήσεως παρὰ τῷ μητροπολίτῃ συνόντων καὶ τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων· καὶ εἰ μὴ εὑρεθῇ ἄλλος πόρος ἐξ οὗ δοῦναι τὰ δημόσια δυνηθῶσι, βεβαιούσθω τῶν ἀκινήτων ἡ πρᾶσις ἐπὶ τοῦ δεκρέτου καὶ διδόσθω τὸ τίμημα τῶν πραθέντων τῷ δημοσίῳ καὶ ἀπόδειξις τῶν καταβληθέντων[2].

3. Ἐὰν ἰδιώτης παρά τινος χρεωστῆται ἐκκλησίας, ἀναγκάζεται λαβεῖν καὶ ἀντὶ τοῦ χρέους ἀκίνητον πρᾶγμα[3], μὴ ὑπόντος τινὸς πόρου ἐξ οὗ τὸ χρέος λυθείη, μηδὲ ἄλλου εὑρισκομένου ἀγοραστοῦ, μηδὲ τὰ κάλλιστα τῶν κτημάτων ἐκλεγομένου τοῦ δανειστοῦ ἀλλὰ τὰ μέσα τῶν εὐπόρων καὶ ἀπόρων ἀναγκαζομένου λαβεῖν, ἀλλὰ καὶ τῆς δεκάτης μοίρας τῆς δικαίας τοῦ κτήματος διατιμήσεως προστιθεμένης ἐν τῷ τιμήματι, ἀλλὰ καὶ ἐπὶ κ΄ ἡμέρας διαγινωσκομένου πρὸς ἅπαντας ὅτι τὸ κτῆμα πιπράσκεται, κατὰ τὴν ρκ΄ νεαρὰν, ἧς ἐστὶ τὸ κεφάλαιον[4].

4. Αἱ ἐκκλησίαι καὶ οἱ λοιποὶ σεπτοὶ οἶκοι καλῶς μισθοῦσι καὶ ἐμφυτεύουσιν, οὐ μὴν ἀλλὰ καὶ τοῖς ἰδίοις κληρικοῖς χωρὶς τῶν κεκωλυμένων ἔξεστι τοῦτο ποιεῖν[5].

5. Αἱ ἐκκλησίαι κωνσταντινουπόλεως ὑποτιθέτωσαν καὶ ἀκίνητον πρᾶγμα προφάσει τῶν δημοσίων καὶ τῶν ἀναγκαίων χρειῶν, παρέχουσαι τέταρτον τῆς ἑκατοστῆς μοίρας τόκον[6].

6. Διὰ μόνον ἀνάῤῥυσιν αἰχμαλώτων πωλοῦνται καὶ ὑποτίθενται τὰ ἱερὰ σκεύη[7].

7. Ἐὰν παρὰ τὰ εἰρημένα πραθῇ ἢ ἄλλως ἐκποιηθῇ πρᾶγμα ἐκκλησιαστικὸν, ἀναδίδοται μετὰ τῶν καρπῶν αὐτοῦ, καὶ εἴ τι ἐδόθη διὰ τὸ συνάλλαγμα, μένει παρὰ τῇ ἐκκλησίᾳ[8].

---

[1] Proch. XV, 1. [2] Proch. ib. 2. [3] Proch. ib. 3. [4] Epanag. X schol. b. [5] Theod. Nov. 123 §. 16. [6] Theod. Nov. 120 §. 7. [7] Theod. Nov. 120 §. 22. [8] Theod. Nov. 120 §. 24.

8. *Τὰ ἐρείπια τῆς ἐκκλησίας κωνσταντινουπόλεως διηνεκῶς ἐμφυτευέσθωσαν ἐπὶ τῇ τρίτῃ μοίρᾳ τῶν ἐῤῥωμένων τῆς κτίσεως ἐνοικίων ἢ ἐπὶ τῷ ἡμίσει τῶν μετὰ τὴν ὑπὸ τοῦ ἐμφυτευτοῦ γενομένην ἐπανόρθωσιν τῶν ἐνοικίων*[1].

9. *Τὰς δὲ μισθώσεις παρὰ τῶν εἰρημένων εὐαγῶν οἴκων κατὰ δύο τρόπους γίνεσθαι συγχωροῦμεν, ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ἢ εἰς ὅσον ἂν τοῖς συναλλάττουσι συναρέσῃ, μὴ ὑπερβαινούσας δηλαδὴ τὸν τριακονταετῆ χρόνον*[2].

10. *Τοῖς οἰκονόμοις καὶ ὀρφανοτρόφοις καὶ τοῖς τῶν λοιπῶν εὐαγῶν οἴκων διοικηταῖς, ἔτι γε μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσί τε καὶ παισὶ καὶ τοῖς ἄλλοις τοῖς κατὰ γένος αὐτοῖς ἢ ἐκ γαμικοῦ δικαίου συναπτομένοις, ἀπαγορεύομεν ἐμφυτεύσεις τε καὶ μισθώσεις ἤγουν ὑποθήκας πραγμάτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων ἢ δι᾿ ἑαυτῶν ἢ διὰ παρενθέτων προσώπων λαμβάνειν· γινωσκόντων, ὡς, εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ ἐκμισθωσάμενον τοῦ ἐμφυτευθέντος πράγματος, ζημιοῦσθαι δὲ καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν. τοὺς δὲ τοιαύτην ἐμφύτευσιν διαπραξαμένους οἰκονόμους καὶ χαρτουλαρίους καὶ διοικητὰς τοσοῦτον ἅμα ζημιοῦσθαι καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τιμῆς ὑπέστη ζημίαν*[3].

11. *Ἐὰν ἐπὶ τριετίαν ὁ ἐμφυτευτὴς τοῦ λαϊκοῦ μὴ καταβάλῃ τὸν ἐμφυτευτικὸν κανόνα, ἐκπίπτει τῆς δεσποτείας καὶ τῆς κυριότητος τοῦ πράγματος*[4].

12. *Ἡ ἐμφύτευσις οὔτε ἐκμισθώσεως οὔτε ἐκποιήσεως εἶδός ἐστιν, ἀλλ᾿ ἴδια νόμιμα ἔχει. καὶ γὰρ δύναταί τις ἐμφυτευτικῶς τὸ ἴδιον πρᾶγμα ἐκδιδόναι εἰς τὸ διηνεκὲς, ὅπερ ἡ μίσθωσις οὐκ ἔχει· ἐπεὶ δὲ τέλος λαμβάνει ἐτήσιον ὁ ἐκδιδοὺς τὸ πρᾶγμα ἐμφυτευτικῶς, οὐδ᾿ ἐκποίησίς ἐστι τὸ γενόμενον ἢ δοκεῖ. ἐπειδὴ καὶ ἐὰν ὁ ἐμφυτευτικάριος μέλλει πρὸς ἕτερον μεταφέρειν τὸ πρᾶγμα, ὀφείλει διαμαρτύρασθαι πρότερον τῷ δεσπότῃ τοῦ πράγματος, ἵνα, ἐὰν ἐκεῖνος βούληται τοῦτο ἀγοράσαι, προτιμηθῇ διδοὺς τὸ παρ᾿ ἑτέρου καταβαλλόμενον τίμημα*[5].

---

1 Proch. h. t. 4. 2 Proch. ib. 5. 3 Proch. ib. 6. 4 Attal. XII, 7. 5 Attal. XII, 6. — Paris. 1368 in margine adscribit: *Ὁ ἐμφυτευτὴς καὶ ὁ ἐκμισθωτὴς κτλ.* Cf. Blastarem *E*, 8.

13.[1] *Διηνεκεῖς ἐμφυτεύσεις ἀκινήτων δικαίων γίνονται ἐπὶ τελέσματι ἐνιαυσιαίῳ συμφωνουμένῳ καὶ ἐπιμελείᾳ τε καὶ διορθώσει τῶν ἐκδιδομένων. εἰ δέ τις ἐκ τῶν φροντιστῶν χαρτουλαρίων ἢ καὶ λοιπῶν πρὸς βλάβην ἢ περιγραφὴν τῆς πρωτοτύπου δεσποτείας φανῇ τι ἀπεργαζόμενος, οὗτος μὲν παρευθὺ ἐκπιπτέτω ἐκ τοῦ στρατεύματος αὐτοῦ, ἀκυρούσθω δὲ καὶ ἡ τοιαύτη ἔκδοσις.*

14. *Τὸν διηνεκῶς ἐμφυτευσάμενον τὸ ἐνιαυσιαῖον ἀδιαστρόφως καταβαλλόμενον τέλεσμα, καὶ εἰς τὴν τοῦ ἀκινήτου ἀγωνιῶντα σύστασίν τε καὶ ἐπιμέλειαν, μὴ ἀποκινεῖσθαι ἐκ τῆς τοιαύτης ἐκδόσεως, ἀλλ᾽ ἐξεῖναι αὐτῷ τὸ δίκαιον τῆς τοιαύτης ἐμφυτεύσεως κληρονόμοις καταλιμπάνειν, δωρεῖσθαί τε καὶ ἐν προικὶ ἐπιδιδόναι ἢ καθ᾽ ἕτερον τρόπον μετεκχωρεῖν καὶ διαπιπράσκειν, προτίμησιν δηλονότι τῷ πρωτοτύπῳ δεσπότῃ πρὸ διαπράσεως παρέχοντι τὸν αὐτὸν τὸ τοιοῦτον ὠνήσασθαι δίκαιον. ἐκείνου δὲ μὴ βουλομένου, ἀπαρεμποδίστως μετὰ β′ μῆνας τῆς τούτου [προ]τροπῆς πιπράσκειν αὐτὸν τοῖς μὴ κεκωλυμένοις προσώποις τά τε ἐμπονήματα καὶ τὸ τῆς τοιαύτης ἐμφυτεύσεως δίκαιον, ἀναγκαζομένου τοῦ πρωτοτύπου δεσπότου ἐπιτηδείους ὄντας τοὺς ἐπεισερχομένους ἐμφυτευτὰς ἐγγράφως εἰσδέχεσθαι. μὴ ποιοῦντα δὲ τοῦτο τὸν ἐμφυτευτὴν ἐκπίπτειν τῆς ἐμφυτεύσεως.*

15. *Τοῦ διηνεκοῦς ἐμφυτευτοῦ, εἰ μὲν εὐαγοῦς οἴκου ἐστὶν, ἐπὶ τριετίαν ἀγνωμοῦντος τὸ ἐτήσιον τέλος ἢ καὶ χεῖρον ποιοῦντος τὸ ἐμφυτευθὲν πρᾶγμα, ἄδειαν ἔχει ἡ δεσποτεία τοῦτον ἐκ τοῦ τοιούτου ἀκινήτου ἐξῶσαι δικαίου, τὰ δὲ ὡς εἰκὸς παρ᾽ αὐτοῦ χρεωστούμενα παραχωρεῖν. εἰ δὲ ἑτέρων τινῶν ἐμφυτευτὴς ὑπάρχει, ἐπὶ τριετίαν ἀγνωμονῶν ἢ ἀμελῶν τοῦ ἐμφυτευθέντος ἀκινήτου δικαίου καὶ αὐτὸς ἐξεούσθω κατὰ τὸν ὅμοιον τρόπον.*

16. *Ἡ τῆς βασιλίδος πόλεως ἁγιωτάτη ἐκκλησία καὶ οἱ τῆς περιοικίδος αὐτῆς σεπτότατοι οἶκοι, τό τε ὀρφανοτροφεῖον, τὰ πτωχεῖα, οἱ ξενῶνες, κεκώλυνται πάρεξ τῶν ἐρειπίων τόπων διηνεκῶς ἐκδιδόναι ἀκίνητον δίκαιον· βασιλικῷ δὲ οἴκῳ ἀνταλλάσσειν καὶ μόνῳ. αἱ δὲ ἐν ἐπαρχίαις οὖσαι σεπταὶ ἐκκλησίαι τε καὶ μοναστήρια, πρὸς δέ γε καὶ τὰ τῆς βασιλίδος πόλεως εὐαγῆ μοναστήρια ἄδειαν ἐχέτωσαν καὶ διηνεκεῖς ἐμφυτεύσεις ποιεῖν.*

---

[1] §§. 13—16 solus Lipsiensis praestat ex Ecloga XII, 1—4.

Τίτλος ιζ'. Περὶ χρέους, περὶ δανείου, τόκου, ἐνεχύρων, καὶ περὶ ἐγγυητοῦ καὶ συμβολαίων.

1. *Χρέος ἐστὶ λῆψις καὶ ἀναδοχὴ ἐξ αἰτίας τοῦ ἐν χρείᾳ τῆς τοῦ χρήματος καταβολῆς γεγονότος, διὸ καὶ χρέος καλεῖται, ὀφειλόμενον καὶ ἀντιχρεωστούμενον μετ' εὐχαριστίας καὶ εὐγνωμοσύνης τῷ καταβάλλοντι, δι' οὗ οἱ ἐν τῇ πολιτείᾳ τὴν ἀνισότητα καὶ ἀνωμαλίαν τοῦ βίου δοκοῦσί πως εἰς ἰσότητα μεταῤῥυθμίζειν, πάλαι μὲν τούτου τοῖς ἀνθρώποις εἰσοικισθέντος, ἔπειτα δὲ καὶ νόμοις γνωρισθέντος καὶ διαιτηθέντος*[1].

2. *Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλειονές εἰσι τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες*[2].

3. *Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου*[3].

4. *Ἴσμεν, ὡς τῶν ὑποτεθέντων ἐνεχύρων ἀγρῶν τοὺς καρποὺς καὶ τῶν οἰκημάτων τὰ ἐνοίκια καὶ καμάτους τῶν δούλων ψηφίζεσθαι εἰς τὸ χρέος ὁ παλαιὸς ἐνομοθέτει νόμος, καὶ ἐξισουμένων πρὸς τὸ χρέος ἀπέλυε τὸν δανειστὴν τοῦ δανείου ἀναδιδοὺς αὐτῷ καὶ τὸ ἐνέχυρον· ἑτέρᾳ δέ τινι βαρυτέρᾳ τοῦτον δουλείᾳ ἤτοι ζημίᾳ συνεχωρήθη πιέζεσθαι, φημὶ τῇ καταβολῇ τῶν τόκων. ἡμεῖς δὲ διὰ ταύτης ἡμῶν τῆς νομοθεσίας καὶ αὐτὸ τὸ τοῦ τόκου ὄνομα τῆς πολιτείας ἀπελαύνοντες, οὔτε τοὺς καρποὺς ἁπλῶς οὔτε τοὺς καμάτους τῶν δούλων οὔτε τὰ ἐνοίκια συγχωροῦμεν εἰς χρέος λογίζεσθαι, ἀλλὰ νέμεσθαι μὲν τὸν δανειστὴν τῶν ἐνεχυρασθέντων ἀγρῶν τοὺς καρποὺς καὶ τῶν οἰκημάτων τὰ ἐνοίκια καὶ τοὺς καμάτους τῶν δούλων ἄχρις ἂν ἡ ἐκεῖθεν εἰσφορὰ τῷ τρίτῳ μέρει τοῦ δανείου ἐξισωθείη, μετὰ τοῦτο δὲ εἴ τις ἂν ἐκ τῶν ἀγρῶν ἢ δούλων ἢ τῶν οἴκων πρόσοδος κομίζοιτο, ταῦτα ψηφίζεσθαι καὶ λογίζεσθαι εἰς τὸ χρέος. εἰ μέντοι κατὰ τὸν καιρὸν τοῦ δανείσματος τοιοῦτον προβῇ σύμφωνον, ὥστε ἐξ ἀρχῆς τῶν ἐνεχυρασθέντων τοὺς καρποὺς ἢ τὰ ἐνοίκια ἢ τοὺς καμάτους*

---

[1] Epan. XXVIII, 1. [2] Epan. cit. sch. a. Proch. XVI, 1. [3] Proch. XVI, 3. Epan. cit. 3.

εἰς ἀναπλήρωσιν τοῦ χρέους λογίζεσθαι, καὶ τοῦτο γίνεσθαι συγχωροῦμεν. εἴ τι γὰρ ἂν ὁ δανειστὴς ἐπὶ τὸ φιλανθρωπότερον πράξει, ἀκώλυτον εἶναι σὺν ἐπαίνῳ θεσπίζομεν. τοὺς μέντοι τόκους, ὡς προείρηται, περιελόντες, ἐπὶ μόνων τῶν ὀρφανῶν καὶ ἀνηλίκων συγχωροῦμεν αὐτοὺς καταβάλλεσθαι. ἐνεχυράζειν δὲ γεωργικὸν πρόσωπον ἀγρὸν παντελῶς ἀποκλείομεν· οὐ γάρ ἐστιν ὡς ἀληθῶς εἰπεῖν ἐνεχυράζειν ἀγρὸν τοῦτο, ἀλλ' ἐκείνου τῆς ζωῆς διαφθορὰν ἀπεργάζεσθαι[1].

5. *Ὁ δανειστὴς ἀντὶ τόκων συμφωνήσας καταμένειν ἐν τοῖς οἰκήμασι τοῦ χρεώστου, καὶ οἰκήσας ἐν τῷ οἴκῳ, οὐ μὴν ἑτέρῳ μισθώσας αὐτὸν, οὐχ ὑπομένει ζήτησιν ὡς πλείονα ποσότητα διὰ τοῦ ἐνοικίου λαβὼν τῶν νενομισμένων τόκων. εἰ καὶ τὰ μάλιστα γὰρ ἠδύνατο πλείονος μισθωθῆναι τὰ οἰκήματα, οὐ διὰ τοῦτο δοκεῖ ἀθέμιτον τόκον εἰληφέναι, ἀλλὰ μᾶλλον ἐλάττονος ποσότητος τὸν οἶκον μισθώσασθαι*[2].

6. *Χρῆσις καρπῶν φθείρεται τῇ τελευτῇ τοῦ τὴν χρῆσιν ἔχοντος, οὐ τῇ τελευτῇ τοῦ τὴν δεσποτείαν ἔχοντος*[3].

7. *Ἐπιτρέπων ὁ δανειστὴς πραθῆναι τὸ ἐνέχυρον ἐκπίπτει αὐτοῦ*[4].

8. *Ἐὰν ἡ μήτηρ σου ἐπὶ τούτῳ τῷ ὅρῳ κατενεχυρίασε τὸν ἀγρὸν αὐτῆς, ἵνα τοὺς καρποὺς αὐτοῦ ἀντὶ τοῦ τόκου λάβῃ ὁ δανειστὴς, οὐ δύνασαι μέμφεσθαι αὐτῷ ὡς πλείονα τοῦ νομίμου τόκου διὰ τῶν καρπῶν λαμβάνοντι· ἐπειδὴ ἄδηλόν ἐστι τὸ τῶν καρπῶν ἀποτέλεσμα καὶ συμβαίνει γενομένης ἀφορίας μηδὲ τοὺς νομίμους τόκους ἀπολαμβάνειν αὐτόν*[5].

9. *Ὁ τὴν ἰδίαν συγγραφὴν ἢ τὴν ἐπ' αὐτῷ γενομένην καταβολὴν ἀρνούμενος τὸ διπλάσιον μετὰ τοὺς ἐλεγμοὺς καταθήσει. ὁ δὲ παραυτὰ τοῦ ἀρνήσασθαι ἐξ ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν, ἐκφεύξεται τὴν καταδίκην τοῦ διπλασίονος· βραδέως δὲ ὁμολογῶν καταθήσει τὰς δαπάνας τῆς δίκης, ὅρκῳ τοῦ ἀντιδίκου φανερουμένης τῆς ἐν τῇ δαπάνῃ ποσότητος*[6].

10. *Ὁ τὴν οἰκείαν οἰκειόχειρον τοῦ χρέους συγγραφὴν ἀρνούμενος, ἢ καὶ τὰ οἰκεῖα μὲν γράμματα συντιθέμενος, ἀρνεῖται δὲ τὴν καταβολὴν τῆς ποσότητος, ὡς ἔνθεν ἀναγκασθῆναι τὰς συστάσεις ποιεῖν τῶν ἐποφειλομένων, μετὰ ἀπόδειξιν τῆς ἀληθείας διπλῇ ποσότητι ὁ ἀρνησάμενος τὸ χρέος καταδικαζέσθω*[7].

---

[1] Epan. cit. 2. [2] Epan. cit. sch. a. [3] Non invenio. [4] Basil. II, 3, 158. [5] Epan. cit. sch. a. [6] Epan. cit. 13. [7] Est summa Nov. 18. Cf. *Ἀνέκδοτα* mea p. 212.

11. Ὁ δανειστὴς τὰς οἰκείας ἀρνησάμενος ἀποδείξεις διπλάσιον τὸ περιεχόμενον αὐτοῖς ποσὸν μετ᾽ ἐλέγχους καταλογιζέσθω τῷ χρεώστῃ[1].

12. Τῶν δούλων οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται· καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή[2].

13. Τῶν ἀρνουμένων χρεωστῶν οὐ λογισθήσονται αἱ μετὰ ταῦτα προσφερόμεναι τῶν καταβολῶν ἀποδείξεις, ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται[3].

14. Οὐ δοκεῖ πρᾶγμα ἀπόλλειν ὁ μὴ ὢν αὐτοῦ δεσπότης. τοῦτό μοι νόει ἐπὶ τῶν κατεχόντων ἐνέχυρα καὶ κίνδυνον ἐξ οἱασδήτινος αἰτίας παθόντων. ἡ γὰρ ζημία τούτων εἰς τοὺς δεσπότας ἀνατρέχει, οὐ μὴν δὲ καὶ εἰς τοὺς δανειστάς· οὗτοι γὰρ τὸ ἀκίνδυνον ἕξουσι, πλὴν εἰ μὴ κατὰ δόλον ἢ ῥᾳθυμίαν ἡ ζημία γέγονε τῶν κατεχόντων αὐτά. τότε γὰρ ζημιοῦνται αὐτοὶ ταῦτα καὶ τὸν ἐκ τούτων κίνδυνον ἐπιγινώσκουσι, κἂν μὴ ὦσι δεσπόται[4].

15. Ἐὰν ὁ δανειστὴς μὴ παρ᾽ ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσεν· τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα ἀπαιτεῖν τὸ αὐτῷ κεχρεωστημένον. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων προσώπων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην, τοῦτο ἰσχὺν ἔχει[5].

16. Τὰ τυχηρὰ τῶν ἀλόγων καὶ τὸν χωρὶς ῥᾳθυμίας θάνατον καὶ τὴν φυγὴν τῶν μὴ φυλάττεσθαι εἰωθότων δούλων καὶ τὴν ἁρπαγὴν καὶ τὸν θόρυβον καὶ τὸν ἐμπρησμὸν καὶ τὰ πλήθη τῶν ὑδάτων καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν οὐδὲν ἐπιγινώσκει. ἐκ τούτων οὖν τῶν τυχηρῶν ὁ κατὰ χρῆσιν λαβὼν πρᾶγμα ἢ καὶ ἀδιατίμητον προῖκα οὐ κινδυνεύει, οὐδὲ ζημιοῦται τοῦ πράγματος τυχηρῶς φθαρέντος, εἰ μήπου διατετιμημένον ἔλαβεν αὐτό· ἀεὶ γὰρ ἡ διατίμησις αὔξει τὴν φύσιν τοῦ συναλλάγματος, καὶ εἰ φυσικῶς ἀπαιτεῖ τὸ συνάλλαγμα ἄκραν ἐπιμέλειαν, προστίθησιν αὐτῷ καὶ τὸν κίνδυνον τῶν τυχηρῶν. ἐν τούτοις νόει μοι καὶ τὴν διατετιμημένην προῖκα, ἐπεὶ οὐδὲ αὕτη κίνδυνον τυχηρὸν ὑφίσταται, ἀλλ᾽ ἀπαιτεῖται παρά τε τῆς γυναικὸς καὶ τῶν κληρονόμων αὐτῆς[6].

---

[1] Epan. cit. 15. [2] Epan. cit. sch. a. [3] Proch. XVI, 13. Epan. cit. 14. [4] Bas. II, 3, 83 cum scholio. Cf. Harm. III, 9, 16 schol. [5] Proch. h. t. 5. [6] Bas. II, 3, 23 cum scholio. Cf. Harm. App. II, 55 schol.

17. *Τὸ συμφωνῆσαι τὸν χρεώστην ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερβαίνειν διάπρασιν γενέσθαι τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγὴν, ὅταν ἐλάττονος πωλήσῃ ὁ δανειστής. ὑπόκειται γὰρ τότε ὁ δανειστὴς τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι*[1].

18. *Ἐὰν οἱ καταβαλλόμενοι τόκοι συμψηφιζόμενοι περιστήσωσι διπλοῦν τὸ κεφάλαιον, παύεται τὸ χρέος*[2].

19. *Οὐκ ἔστι τόκος ὑπὲρ κεφάλαιον*[3].

20. *Ὁ ἐμπρησμὸς οὐκ ἀπαλλάσσει τὸν δανειστὴν τοῦ χρέους. ἔγνως δὲ τοῦτο πολλαχοῦ καὶ μάλιστα ἐν τοῖς δε ῥέβους, ὅτι κἂν συμβῇ τὰ πράγματα τοῦ χρεώστου ἐμπρησθῆναι, οὐκ ἐλευθεροῦται τοῦ χρέους*[4].

21. *Ὁ δανειστὴς, ὅστις ἀγροὺς ἢ οἴκους εἰς ὑποθήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις καὶ τοῖς καταλυομένοις οἴκοις ἐξ αὐτοῦ γενομένην εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν κατὰ δόλον ἢ πταῖσμα τὸ πρᾶγμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, καὶ τούτου ἕνεκεν τῇ ἀγωγῇ ἐνάγεται, ἵνα τοιοῦτον ἀποκαταστήσῃ τὸ πρᾶγμα, ὁποῖον ἦν ἐν καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται*[5].

22. *Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον ζητοῦσι προσωπικῶς οἱ χρεῶσται. οὐδὲ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου, τουτέστι διαπιπράσκειν τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα πράγματα*[6].

23. *Οὔτε ὁ δανειστὴς οὔτε ὁ τούτου κληρονόμος μετὰ τὴν τοῦ χρέους καταβολὴν δύναταί τινα χρονίαν παραγραφὴν ἕνεκεν τοῦ ἐνεχύρου προσενεγκεῖν τῷ χρεώστῃ*[7].

24. *Γνωστέον, ὅτι οὔτε γαμετὴ ὑπὲρ τοῦ ἀνδρὸς οὔτε ἀνὴρ ὑπὲρ γαμετῆς ἢ μήτηρ ὑπὲρ υἱοῦ ἢ υἱὸς ὑπὲρ πατρὸς ἢ πατὴρ ὑπὲρ υἱοῦ αὐτεξουσίου ἢ ἀπελεύθερος ὑπὲρ πάτρωνος ἐνέχεται. ἐφ᾽ οἷς γὰρ ἕκαστος τούτων συναλλάξει, ἐκεῖνος μόνος ἐνέχεται*[8].

25. *Ὁ δανειστὴς καὶ ὁ τούτου κληρονόμος οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον μετὰ τὸ πληρωθῆναι τὸ χρέος, τουτέστι τὴν τριακονταετίαν*[9].

26. *Ἡ τριακονταετία ἀποκλείει τὴν περὶ χρέους ἀγωγὴν,*

[1] Proch. h. t. 4. [2] Attal. XV, 17. [3] Non invenio. [4] Epit. XVII, 45. — Basil. XXIII, 1, 55 cum scholiis. [5] Proch. h. t. 6. [6] Proch. h. t. 7. [7] Epanag. cit. 8. [8] Attal. XVI, 2. [9] Proch. h. t. 8.

καὶ ἐὰν ἐπὶ τοσοῦτον ὁ δανειστὴς μὴ κινήσῃ κατὰ τοῦ χρεώστου ἢ τόκον λάβῃ[1].

27. *Ὁ ὑποθήκην δούλους λαβὼν καταλογιζέσθω τοὺς κόπους αὐτῶν ἤτοι τοὺς καμάτους εἰς τόκον ὃν ἐποφείλεται, καὶ μετὰ ταῦτα εἰς τὸ κεφάλαιον, καὶ εἰ πληρωθῇ ἐξ αὐτῶν, ἀναδιδότω τῷ χρεώστῃ τὰς ὑπολοίπους*[2].

28. *Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην αὐτοῦ πραγματείας τινὸς, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ πληρουμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου, πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής*[3].

29. *Δανείζει τὶς οὐκ ἐπὶ τῷ λαβεῖν τὸ αὐτὸ, ἀλλ᾽ ἐπὶ τοῦ αὐτοῦ γένους· οἷον δανείζει νομίσματα οὐκ ἐπὶ τῷ λαβεῖν αὐτὰ μόνα, ἀλλ᾽ ἐπὶ τῷ λαβεῖν καὶ ἕτερα, πλὴν καὶ αὐτὰ νομίσματα*[4].

30. *Οἱ συγχρησάμενοι τοῖς ἀργυρίοις τῶν νέων ἐπίτροποι ἑκατοστιαῖον τόκον ἀπαιτοῦνται*[5].

31. *Ὅσα ἐκ τῆς ἐπιτροπῆς χρεωστεῖται, μετὰ τόκων ἑκατοστιαίων χρεωστεῖται*[6].

32. *Τῆς δούλης οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται· καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή*[7].

33. *Οἱ ἄρχοντες τῶν ἐπαρχιῶν καὶ οἱ περὶ αὐτοὺς κεκώλυνται πραγματεύεσθαι καὶ δανείζειν καὶ τοκίζειν. οἱ δὲ ταξεῶται καὶ δανείζουσι καὶ τοκίζουσι. καὶ ὁ ἄρχων ἐντόκως δανείζεται*[8].

34. *Οὐ χρὴ ζητεῖν ἡμᾶς ἐν τοῖς δανείοις, πόθεν ηὐπόρησέ τις ὅπερ ἐδάνεισεν, ἀλλὰ μόνον εἰ ταῖς ἀληθείαις ἠρίθμησεν*[9].

35. *Ὁ δανείσας ἄρχοντι ἐπαρχίας, ἐὰν ἐν τῇ ἐπαρχίᾳ, ἧς ἄρχει, παραγένηται λαβεῖν παρ᾽ αὐτοῦ τὸ χρεωστούμενον, ὡς ἀγοραστὴς τῶν νόμων ἐξορίζεται. εἰ δὲ μέλλοντι αὐτῷ ἄρχειν δανείσει τὴν δόσιν τῆς ἀρχῆς, αὐτὸς καὶ ὁ ἄρχων ἐξοριζέσθω*[10].

36. *Διαφέρει τὸ δάνειον τοῦ χρέους, ὅτι τὸ μὲν χρέος γενικόν ἐστι· χρέος γάρ ἐστι καὶ τὸ ἀπὸ τοῦ δανείου χρεωστούμενον καὶ τὸ ἀπὸ λεγάτου καὶ ἀπὸ τιμήματος πραθέντος πράγματος ἀπολιμπανόμενον καὶ τὸ ἀπὸ καταδίκης. δάνειον δὲ τὸ ἀπὸ καταβολῆς νομισμάτων χρεωστούμενον*[11].

---

[1] Attal. XV, 10. [2] Epan. cit. sch. a. [3] Proch. h. t. 9. [4] Att. XV, 2. [5] Epan. cit. sch. a. [6] Epan. ibid. [7] Proch. h. t. 2. Cf. supra §. 12. [8] Att. XV, 4. [9] Att. ib. 8. [10] Att. ib. 9. [11] Att. ib. 3.

37. *Τὸ κληρονομιαῖον χρέος κατὰ ἀναλογίαν τῶν κληρονομιαίων μερῶν οἱ κληρονόμοι καταβάλλουσιν*[1].

38. *Ὁρίζει καὶ ποσότητα ῥητὴν τοῖς τόκοις ἡ διάταξις, ἵνα οἱ μὲν ἰλλούστριοι καὶ ἀνωτέρω δ' νομίσματα ἐπερωτῶσιν ὑπὲρ τῆς λίτρας τόκον καὶ μόνον, ἀργυροπράται δὲ καὶ ἔμποροι ἄχρι διμοίρου ἑκατοστῆς ἤτοι νομίσματα η', οἱ δὲ λοιποὶ πάντες νομίσματα ς'. εἰ δὲ πρὸς εὐαγῆ οἶκον τὸ δάνειον εἴη, πάντας τούτους ἄχρι γ' νομισμάτων ἐπερωτᾷν*[2].

39. *Ἡ ἀναργυρία διττή ἐστιν. ἢ γὰρ ἐχειρογράφησέ τις λαβεῖν νομίσματα καὶ οὐδόλως ἔλαβεν, ἢ εἰς πλείονα ἐχειρογράφησε καὶ ἥττονα ἔλαβε. καὶ δύναται κινεῖν ἐντὸς διετίας περὶ ἀναργυρίας ἢ τοῦ παντὸς ἢ τοῦ μέρους, καὶ ἀναγκάζεται δεικνύειν ὁ δανειστὴς εἴ τι κατεβάλετο*[3].

40. *Οἱ ἀναισχύντως τοκίζοντες καὶ τόκους τόκων λαμβάνοντες ἀτιμοῦνται*[4].

41. *Ἄτιμός ἐστιν ὁ τόκους τόκων ἀπαιτῶν, καὶ οὐκ ἔστι δεκτὸς εἰς μαρτυρίαν*[5].

42. *Τοῖς χρεώσταις αἰτοῦσι δίδοσθαι προθεσμίαν δίδοται. τῶν δὲ μετὰ τὴν προθεσμίαν μὴ διδόντων ἐνέχυρα λαμβάνονται, καὶ εἰ ἐντὸς β' μηνῶν μὴ δῶσι, πιπράσκονται, καὶ εἴ τι περιττεύσει ἐκ τῆς τιμῆς, ἀναλαμβάνουσι*[6].

43. *Καλῶς ἀπαιτεῖται τοὺς οἰκείους λόγους προσφέρειν ὁ δανειστὴς εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν, ὅτε ἀγράφως κατέβαλεν ὁ χρεώστης καὶ ὁ δανειστὴς ἐσημειώσατο ἐν τοῖς βρεβίοις αὐτοῦ. ἔξεστιν αἰτεῖν αὐτὸν καὶ ὅρκον*[7].

44. *Εἴ τις διὰ περιγραφὴν κρύπτεται, τουτέστι διὰ τὸ λανθάνειν τὸν δανειστὴν, καὶ μὴ διαδεφενδεύεται, καὶ νομὴν καὶ διάπρασιν ἐπὶ τοῖς οἰκείοις ὑφίσταται*[8].

45. *Ὁ προσποιησάμενος ἑαυτὸν αὐτεξούσιον καὶ δανεισάμενος, γενόμενος δὲ ἀποκληρονόμος ἢ αὐτεξούσιος, κἂν μὴ εὐπορῇ, ἀπαιτεῖται*[9].

46. *Ἐὰν γυνὴ ἐπὶ περιγραφῇ δανειστῶν χρεωστοῦντι τῷ ἀνδρὶ ποιήσῃ ἔγγραφον ὀνόματι προικὸς, ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀνὴρ καὶ σβέννυται ἡ προίξ. [οὐδὲ γὰρ συνίσταται προὶξ] ἐπὶ περιγραφῇ δανειστῶν. διὰ τῆς ἀγωγῆς ταύτης . . .*[10].

47. *Οὐκ ἀναγκάζεται ὁ δανειστὴς μέρος ἐλευθερῶσαι τοῦ ἐνεχύρου, εἰ μὴ ὅλον ἀπολάβῃ τὸ χρέος*[11].

---

[1] Att. ib. 7. [2] Att. ib. 16. [3] Att. ib. 11. [4] Bas. XXI, 3, 19. [5] Bas. ib. sch. 2. [6] Epit. XVII not. 10. [7] Epit. ib. 25. [8] Epit. ib. 8. [9] Epit. ib. 5. [10] Epit. ib. 17. [11] Epit. ib. 24.

48. *Οἱ χειρογραφήσαντες ὑπέρ τινος μέλλοντος δανείσασθαι, ἐὰν αὐτοῖς ἤ τισιν ἐξ αὐτῶν μὴ καταβληθῶσι τὰ δανειζόμενα, εἰ μήτε ἐγγυήσωνται τὸν δανειζόμενον, οὐ κατέχονται. ἔχουσι γὰρ τὴν τῆς ἀναργυρίας παραγραφὴν ἐντὸς τοῦ ὡρισμένου χρόνου, τουτέστι τῆς διετίας. ὅτι κἂν ὑπὲρ ἑαυτοῦ τις καὶ μὴ ὑπὲρ ἄλλου χειρογραφήσῃ, καὶ μὴ ἀπαριθμηθῇ αὐτῷ τὰ πράγματα, οὐκ ἐνέχεται, εἰ μὴ ἄρα μέρος καταβάλῃ*[1].

49. *Ὁ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησεν περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται. χεῖρον δὲ τοῦτο ποιῶν, κἄντε ἀγρός ἐστι κἄντε οἶκος, ἀναγκάζεται τοιοῦτον ἀποκαταστῆσαι τὸ πρᾶγμα, ὡς ἦν ἐν καιρῷ τῆς ὑποθήκης. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου*[2].

50. *Τὰ εἰς περιγραφὴν τῶν δανειστῶν ἐλάττονος πωλούμενα ἢ λεγατευόμενα ἢ δωρούμενα ἢ εἰς προῖκα διδόμενα καὶ ἁπλῶς [ἐκποιούμενα], εἴσω ἐνιαυτοῦ ἕξει τὴν ἀγωγὴν, ἐν ᾧ δύναται κινεῖν*[3].

51. *Τὰ κληρονομιαῖα βάρη πρὸς τοὺς γεγραμμένους κληρονόμους καταβάλλεται τὸ χρέος, κἂν οἱ μὲν μείζονα ἐκληρονόμησαν, οἱ δὲ ἐλάττονα*[4].

52. *Ὁ τὰ ἀλλότρια πράγματα οἰκείῳ προσώπῳ δανείζων καὶ ἐπερωτῶν αὐτὰ ἐπ᾽ αὐτὸν ἀποδοθῆναι, αὐτὸς κτᾶται τὴν ἐνοχὴν, οὐ μὴν ὁ κύριος τῶν χρημάτων, εἰ μὴ ἄρα [ὁ] ταῦτα δανείζων ἐκχωρήσει ἐπ᾽ αὐτὰς τὰς ἐπὶ τῷ χρέει ἀγωγάς*[5].

53. *Ὁ περισσότερα ἀπαιτῶν ὧν ἐποφείλεται, καὶ τοῦ χρεωστουμένου ποσοῦ ἐκπίπτει καὶ ἄλλο διπλοῦν δίδωσι, εἰ μὴ ἄρα μετεμελήθη πρὸ κατάρξεως*[6].

54. *Περαιτέρω τῶν ν´ ὑπερπύρων χειρόγραφον οὐκ ἔῤῥωται ἰδιόγραφον μὴ ἔχον τριῶν μαρτύρων ὑπογραφήν. σὺ δὲ γνῶθι ὡς φησιν ἡ νεαρὰ, μὴ ἐῤῥῶσθαι ἀμάρτυρον ἰδιόχειρον περαιτέρω τῆς μιᾶς λίτρας, εἴπερ ἐναγόμενος οὐ προσίεται τὴν αὐτοῦ πίστιν, δηλονότι ἔχον τριῶν μαρτύρων ὑπογραφήν*[7].

55. *Ὁ ἔχων ἀναργυρίας παραγραφὴν καὶ μὴ δυνάμενος ἀντιθεῖναι αὐτὴν διὰ τὸν φόβον τοῦ ἰδίου διαδίκου, ποιείσθω διαμαρτυρίαν παρὰ τῷ ἄρχοντι ἢ τῷ ἐπισκόπῳ, καὶ διακόπτει τὸν τῆς διετίας καιρόν*[8].

56. *Ἐν τῇ παραγραφῇ τῆς ἀναργυρίας ὁ δανειστὴς βαρεῖται τῇ ἀποδείξει. οὐ μόνον δὲ εἴσω τῶν δύο ἐτῶν δύναται*

---

[1] Epit. ib. 37. [2] Epit. ib. 56. [3] Epit. ib. 11. [4] Epit. ib. 27. [5] Epit. ib. 28. [6] Epit. ib. 31. [7] Epit. ib. 33. [8] Epit. ib. not. 50.

τοῦτο δεῖξαι, ἀλλὰ καὶ διὰ παντὸς, τουτέστι διὰ τῆς τριακονταετίας, οὐ κωλύεται δεικνύειν, ὡς ἀπηρίθμησεν ὁ δανειστὴς τῷ χρεώστῃ τὰ νομίσματα[1].

57. Ὁ χειρογραφῶν καὶ μηδὲν λαβὼν, ἐὰν καταβάλῃ μέρος τοῦ κεφαλαίου ἢ τοῦ τόκου, δοκεῖ τὸ πᾶν χρέος συγγνῶναι, καὶ οὐδὲ ἔχει τὴν τῆς ἀναργυρίας παραγραφήν[2].

58. Ἐὰν ἁρπαγῶσι τὰ δανεισθέντα τοῖς πραγματευταῖς, κινείτω ὁ δανειστὴς κατὰ τῶν πραγματευτῶν καὶ μὴ κατὰ τῶν ἁρπασάντων. ἔγνως γὰρ πολλαχοῦ, ὡς ὁ κίνδυνος τῶν δανεισθέντων πραγμάτων εἰς τοὺς δανειζομένους ἀνήκει[3].

59. Ὁ ἐμπρησμὸς οὐκ ἀπαλλάσσει τὸν χρεώστην τοῦ δανείου, ὅτι πᾶσι τοῖς τυχηροῖς τοῖς ἐπὶ δανεισθείσῃ ποσότητι ὁ δανεισάμενος ὑπόκειται[4].

60. Εἴ[5] τις δανείσειε καὶ ἐγγυητὴν ἢ μανδάτορα ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην εὐθὺς κατὰ τοῦ μανδάτορος ἢ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω, μηδὲ ἀμελήσας τοῦ δανεισαμένου τὰς παρενθήκας διενοχλείτω ἀλλὰ χωρείτω πρῶτον ἐπὶ τὸν τὸ χρυσίον εἰληφότα καὶ τὸ δάνεισμα πράξαντα, καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπεχέσθω. εἰ δ᾽ οὐκ ἰσχύει παρὰ τοῦ δανεισαμένου λαβεῖν ἢ εἰς μέρος ἢ εἰς ὁλόκληρον, καθ᾽ ὅσον ἂν παρ᾽ αὐτοῦ μὴ δυνηθῇ λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητὴν ἢ τὸν ἀντιφωνητὴν ἢ τὸν μανδάτορα χωρείτω, καὶ παρ᾽ ἐκείνου τὸ λειπόμενον κομιζέσθω. καὶ ἐν μὲν παρόντες αὐτῷ τύχοιεν ἀμφότεροι, ὅ τε πρωτότυπος, ὅ τε ἐγγυησάμενος ἢ μανδατορεύσας ἢ ἀντιφωνήσας, τὰ προειρημένα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δ᾽ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς παρείη, τὸν δὲ πρωτότυπον ἀπεῖναι συμβαίη, δεικνύτω ὁ δανειστὴς τὸν ἐγγυητὴν ἢ ἀντιφωνητὴν ἢ μανδάτορα, καὶ ὁ τῷ πράγματι δικάζων διδότω καιρὸν τῷ ἐγγυητῇ, ταὐτὸν δ᾽ εἰπεῖν ἀντιφωνητῇ καὶ μανδάτορι, βουλομένῳ τὸν πρωτότυπον ἀγαγεῖν, ἐφ᾽ ᾧ ἐκεῖνον πρότερον ὑπομεῖναι τὴν ἐναγωγὴν, οὕτω τε δὲ αὐτοὺς τῇ καταλοίπῳ πεφυλάχθαι βοηθείᾳ, καὶ ἀμυνέτω γε τῷ ἐγγυητῇ καὶ ἀντιφωνητῇ καὶ μανδάτορι εἰς τὴν τοῦ ἐγγυηθέντος παράστασιν, ὥστε αὐτὸν ἀχθέντα τῆς ἐν τῷ τέως ἐναγωγῆς ἀπαλλάξαι τοὺς ὑπὲρ αὐτοῦ διενοχλουμένους. εἰ δ᾽ ὁ χρόνος ὁ ἐπὶ τούτῳ ταχθεὶς ἐξίκοιτο, τηνικαῦτα ὁ ἐγγυητὴς ἢ ὁ μαν-

---

[1] Epit. ib. 39. [2] Epit. ib. 40. [3] Epit. ib. 43. [4] Epit. ib. 45.
[5] Nonnulli praeponunt rubricam: εἰς τὸν αὐτὸν τίτλον.

δάτωρ ἢ ὁ ἀντιφωνητὴς ἀγωνιζέσθω τὴν δίκην καὶ τὸ χρέος ἐκτιννύτω, ὑπὲρ τοῦ ἐγγυηθέντος, ἢ ὑπὲρ οὗ τὰς ἐντολὰς ἔγραψεν ἢ τὴν ἀντιφώνησιν ὑπεισῆλθε, παρὰ τοῦ δανείσαντος ἐκχωρούμενος ἀγωγάς. οὐ μὴν οὐδὲ ἐπὶ τὰ πράγματα τοῦ δανεισαμένου, εἰ παρ᾽ ἑτέρου κατέχοιτο, χωρήσει πρότερον, πρὶν ἂν διελθεῖν τὴν ἐπὶ ταῖς προσωπικαῖς ὁδὸν κατά τε μανδατόρων καὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν· οὕτω τε ἐπὶ τὰ πράγματα ἐλθεῖν τοῦ πρωτοτύπου, εἴγε παρ᾽ ἑτέρων κατέχοιτο, καὶ τοὺς ἐπειλημμένους αὐτῶν ἐνοχλῆσαι. εἰ δὲ μὴ ἐκεῖθεν σχοίη τὸ ἱκανὸν, τηνικαῦτα χωρείτω κατὰ τῶν πραγμάτων τῶν ἐγγυητῶν καὶ τῶν μανδατόρων καὶ ἀντιφωνητῶν, ταὐτὸν δ᾽ ἔστιν εἰπεῖν καὶ εἴ τινας ἐγγυητὰς ἔχοιεν ἅπαντες οὗτοί σφισιν αὐτοῖς ὑπευθύνους καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένους. κατὰ μέντοι τοῦ πρωτοτύπου καὶ τῶν ὄντων παρ᾽ αὐτῷ πραγμάτων, εἴτε ταῖς προσωπικαῖς εἴτε ὑποθηκαρίαις εὐθὺς εἴτε ἀμφοτέραις χρήσασθαι βουληθείη, πᾶσαν αὐτῷ δίδομεν ἄδειαν, τὴν ἔμπροσθεν εἰρημένην ἡμῖν ὁδὸν καὶ τάξιν ἐπὶ τῶν ἄλλων προσώπων τε καὶ θεμάτων νομοθετήσαντες· καὶ οὐ τοῦτο μόνον ἐπὶ δανειστῶν φαμεν, ἀλλὰ καὶ εἴ τις ὠνήσαιτό τι παρά τινος[1].

61. Ὁ ἐγγυώμενος ἤ ἀντιφωνῶν ὑπέρ τινος καὶ αὐτὸς μὲν γίνεται ἔνοχος, κἀκεῖνον δὲ οὐκ ἐλευθεροῖ[2].

62. Ὁ ἐγγυησάμενός τινα παριστᾶν εἴσω ῥητοῦ χρόνου ἢ καὶ ἀντιφωνήσας φανερὰν καταβαλέσθαι ποσότητα, μὴ ἀπαιτείσθω μετὰ παραδρομὴν εὐθέως τοῦ χρόνου, κἂν ᾖ ἑξάμηνον ἢ πλεῖον χρόνου ἡ προθεσμία, ἀλλ᾽ ἐχέτω ἕτερον ἑξαμηνιαῖον χρόνον. παραδραμούσης δὲ καὶ τῆς δευτέρας προθεσμίας μηκέτι τὸν ἐγγυηθέντα παραγέτω, ἀλλὰ τὴν ποινὴν ἀπαιτείσθω[3].

63. Πάσῃ ἐνοχῇ δύναται προστίθεσθαι ἐγγυητὴς, καὶ τῇ περὶ χρέους καὶ τῇ περὶ τῶν ἐν χρήσει δοθέντων καὶ τῇ περὶ τῶν παρατεθέντων ἐνοχῇ. καὶ ἐνέχεται ὁ ἐγγυητὴς μετὰ τὴν ἀπορίαν τοῦ πρωτοτύπου. εἰ δὲ μὴ συμφωνήσει ὁ ἐγγυητὴς, αὐτὸς ποιεῖ τὸ ἱκανὸν ἀντὶ τοῦ πρωτοτύπου[4].

64. Εἴ τις δανείσειε χρυσίον τῇ τοῦ δανεισαμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκτισιν χρυσίου μὴ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο καὶ χρυσίον πάντως ἐκζητοίη, τὸ δὲ οὐκ εἴη πρόχειρον, οὐδέ τις κινητὴ

---

[1] Proch. h t. 10. [2] App. Ecl. XXVII. Cf. Epit. XIX, 11. [3] App. Ecl. XXX. [4] Attal. XVIII, 1.

περιουσία, δίδομεν τῷ δανειστῇ βουλομένῳ καὶ ἀκίνητα πράγματα λαβεῖν ἀντὶ χρυσίου· εἰ δέ τις ὠνούμενος ἀκίνητα αὐτοῦ πράγματα παρείη, τοῦ δανειστοῦ πολλάκις θρυλλοῦντος, ὡς ὑπόκειται τὰ τοῦ δανεισαμένου πράγματα, καὶ ταύτῃ φοβοῦντος τοὺς προσιέναι βουλομένους ταῖς ἀγορασίαις, τηνικαῦτα ἐπὶ μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πολιτείας ἄρχοντες κατὰ τὴν ἑκάστῳ τεταγμένην ὑπὸ τοῦ νόμου καὶ ἡμῶν δικαιοδοσίαν, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ τῶν θεμάτων ἡγούμενοι παρασκευαζέτωσαν, ἀκριβοῦς διατιμήσεως γενομένης τῶν πραγμάτων τοῦ χρεωστήσαντος, δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς μετὰ τοιαύτης ἀσφαλείας, μεθ᾽ ἧς ἂν ὁ χρεώστης δοῦναι δυνηθείη. τῶν μέντοι διδομένων ἀκινήτων ἡ ἐπιλογὴ τῷ δανειστῇ ἔσται. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν δόντα μὲν χρυσίον, λαβεῖν δὲ χρυσίον μὴ δυνάμενον, ἀλλὰ ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὰ γοῦν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων, καὶ ἃ ἐκεῖνος αἱρεῖται, λαβεῖν καὶ ταύτῃ ἔχειν παραψυχήν, ὅτιπερ εἰ καὶ χρυσίον οὐκ εἴληφεν, ἀλλ᾽ ἀντ᾽ ἐκείνου τὸ αἱρεθὲν αὐτῷ κατεκτήσατο[1].

65. Εἰ καὶ πολλοῖς τοῖς πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ᾽ οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας ἀπευκταίαν εἶναι ταύτην κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ ὑποθέσει τόκον λαβεῖν, ἵνα μὴ νόμον ἀνθρώπων φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβῃ, εἰς τὸ χρέος λογισθήσεται[2].

66. Ὁ ἀπό τινος χρεωστούμενος, εἰ γραφῇ ὑπ᾽ αὐτοῦ εἰς μέρος κληρονόμος, κινεῖ κατὰ τῶν συγκληρονόμων κατὰ ἀναλογίαν ὑπὲρ ὧν ἐποφείλεται. εἰ δὲ [μόνος] κληρονόμος γένηται τοῦ χρεώστου, τῷ λόγῳ τῆς συγχύσεως καὶ ὁ ἐγγυητὴς ἐλευθεροῦται. εἰ δεσπότης γὰρ γένοιτο τοῦ δανειστοῦ οὐκέτι σώζεται ἡ περὶ τοῦ χρέους ἀγωγή, ἀλλὰ σβέννυται διὰ τῆς συγχύσεως τῇ ἑνώσει τῶν δύο ὑποστάσεων τοῦ τε χρεώστου καὶ τοῦ δανειστοῦ[3].

67. Ἐάν τις ἀπαριθμήσῃ νομίσματα καὶ ἄλλος ὑπὲρ αὐτοῦ ἐπερωτηθῇ, κατέχεται ὁ ἐπερωτηθεὶς, καὶ οὐ δύναται λέ-

---

[1] Proch. h. t. 11. [2] Proch. h. t. 14. [3] Epit. XVII, 44.

γειν, ὅτι [ἐμοὶ] οὐκ ἀπηριθμήθη τὰ νομίσματα. εἰ δὲ μὴ ἐπερωτηθῇ ὁ ὑπογράψας, ἀλλὰ ψιλῶς ὑπέγραψεν ὑπὲρ ἄλλου, οὐ κατέχεται[1].

68. Ὁ πρὸ δικαστικῆς ψήφου σήμαντρα ἐπιθεὶς πρὸ τῶν θ' ἡμερῶν τοῦ πένθους ἢ ὄχλησιν ἐπάγων τῷ τελευτήσαντι ἢ γαμετῇ ἢ παισὶν αὐτοῦ, τῆς τε δίκης ἐκπιπτέτω καὶ ἕτερον τοσοῦτον προσαπολλύτω[2].

69. Κελεύομεν τὰς πράσεις καὶ ἀλλαγὰς καὶ δόσεις ἀῤῥαβώνων καὶ πάντα τὰ ἐγγράφως γινόμενα συναλλάγματα καὶ τὰς ἐγγράφους διαλύσεις μὴ ἄλλως ἐῤῥῶσθαι, ἐὰν μὴ καὶ εἰς καθαρὸν ἐνεχθῶσι καὶ ὑπογραφῶσι παρὰ τῶν εἰρημένων μερῶν· καὶ εἰ διὰ ταβελλίωνος γίνονται τὰ ἔγγραφα, λάβωσι καὶ τοῦ ταβελλίωνος τὸ τέλεσμα[3].

70. Ὥσπερ οὐ χρὴ καυθέντων τῶν γραμματείων τοὺς χρεώστας ἀρνεῖσθαι, οὕτως ἄδικόν ἐστι καὶ δανειστὴν λέγοντα ἀπολέσαι τὸ γραμματεῖον πάντως πιστεύεσθαι. ὀφείλει οὖν ἄλλας προσφέρειν ἀποδείξεις[4].

71. Κελεύομεν τὰς τῶν γραμματείων συγκρίσεις ἀπὸ ἀγοραίων γίνεσθαι συμβολαίων, καὶ μὴ ἀπὸ χειρογράφων, εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὴν ἔχουσι τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσουσιν, ὅτι ὑπέγραψαν, ἢ ἀρνούμενοι περὶ τοῦ ἰδιοχείρου ἀπὸ κρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσι· καὶ τότε τὴν σύγκρισιν μεθ᾽ ὅρκου γίνεσθαι· ταῦτα δὲ πάντα κρατεῖν θεσπίζομεν ἐν τοῖς ἐφεξῆς χρόνοις[5].

72. Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγὰς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές[6].

73. Ἐὰν περὶ πίστεως συμβολαίων γένηται ζήτησις, καὶ ὁ ἕτερος τῶν δικαζομένων φήσῃ ἐν ἑτέροις τόποις ἔχειν τοὺς μάρτυρας τοῦ συμβολαίου, ἵνα ὁ δικαστὴς συνίδῃ, πέμπεσθαι ὀφείλ[ουσιν] οἱ πρωτότυποι ἢ ὁ προκουράτωρ αὐτῶν ἐν τοῖς τόποις ἐν οἷς οἱ μάρτυρες διάγουσι, καὶ ἢ βεβαιουμένου τοῦ συμβολαίου διὰ τῆς τῶν μαρτύρων καταθέσεως ἢ μὴ βεβαιουμένου ὑποστρέψωσι, καὶ τότε γίνεται ὁ ἀπόφασις περὶ τῶν γραμματείων[7].

74. Ἐάν τις προαγάγῃ χάρτην, καὶ ἀποδείξῃ τοῦτον ἀληθῆ εἶναι ἢ διὰ μαρτυρίας πολλάκις ἢ συγκρίσεως, ἐκεῖνος δὲ, καθ᾽ οὗ ὁ χάρτης προηνέχθη, μετὰ ταῦτα ὡς πλαστὸν αὐτὸν βούλεται

---

1 Epit. ib. 38. 2 Epit. ib. 67. 3 Epan. XIII, 2. 4 Epan. ib. 5. 5 Epan. ib. 8. 6 Epan. ib. 3. 7 Epan. ib. 7.

διαβάλλειν, ὀμνυέτω μὲν πρὸ πάντων, ὅτι οὐ συκοφαντικῇ προαιρέσει τὸν χάρτην ἐπιζητεῖ προενεχθῆναι· καὶ ἐπειδὰν ὀμόσῃ, τότε ἀναγκαζέσθω ὁ τὸν χάρτην ἅπαξ προαγαγὼν καὶ πάλιν αὐτὸν προαγαγεῖν, εἰ μὴ ἄρα ὄμνυσιν αὐτὸς ἐκ τῶν ἐναντίων, ὅτι τὸν χάρτην οὐκ ἔχει, οὐδὲ κατὰ δόλον αὐτὸν ἀπώλεσεν. ἄχρι δὲ καταδίκης μόνον ἐξέστω διαβάλλειν τὸν προσενεχθέντα χάρτην πλαστόν. ἐὰν γὰρ καταδίκη γένηται, καὶ μὴ ἔκκλητος παρακολουθήσῃ, οὐκ ἔξεστι τὸν ἅπαξ δειχθέντα ἀληθῆ χάρτην ὡς πλαστὸν αἰτιᾶσθαι[1].

75. Ἐὰν ἐγγυήσηταί τις, ὅτι παρίστησιν ἐντὸς τοῦδε τοῦ χρόνου τόνδε, ἐπείτοιγε δίδωσι πρόστιμον, φαμὲν ὅτι κἂν μὴ παραστήσῃ ἐντὸς τῶν ϛ' μηνῶν, δίδοται αὐτῷ ἕτερος τοσοῦτος χρόνος. εἰ δὲ πλείων εἴη ὁ ἐξ ἀρχῆς, ἑξαμηνιαῖος μόνον εἰς ὑπέρθεσιν αὐτῷ δίδοται, οὗ ἐντὸς εἰ παραστήσει τὸν πρωτότυπον, οὐκ ἀπαιτεῖται τὸ πρόστιμον[2].

76. Ἀπὸ συμφώνου τόκος οὐκ ἀπαιτεῖται. οἷον συνεφώνησα, ὅτι εἰς τὴν λίτραν ἵνα μοι διδῷς νομίσματα ζ', καὶ ἐστὶ τὸ σύμφωνον τοῦτο ἁπλοῦν. εἰ δὲ προστεθῇ, ὅτι ἐὰν οὐ δώσω τὸν τόκον, ἵνα ἀπαιτῶμαι πρόστιμον τόδε, ἢ ἐὰν οὐ φυλάξω πάντα τὰ ἀνωτέρω γεγραμμένα, τότε εὐθύνομαι καὶ ἀπαιτοῦμαι τὸν τόκον. ἀνεπερώτητος δὲ τόκος ἀπαιτεῖται ἐπὶ προικὸς καὶ ὀρφανικῶν χρημάτων καὶ χρεωστουμένου τιμήματος ἀπὸ πράσεως μετὰ προκάταρξιν τῆς δίκης, οἷον ὅτι χρεωστεῖ μοι καὶ οὐ δίδωσί μοι τὸ χρυσίον μου, καὶ ἄρχεται τρέχειν ὁ τόκος[3].

77. Τὰ πρόστιμα τῶν χαρτίων οὐκ ἀπαιτοῦνται, εἰ μὴ ἐπὶ μόνων τῶν γαμικῶν συμφώνων, καὶ τῶν πράσεων καὶ τῶν ἀγορασιῶν, καὶ ἐπὶ τῶν αἱρετῶν δικαστῶν· ἀλλὰ τοῦτο κατὰ φιλάγαθον γνώμην τῶν δικαστῶν. ὁ γὰρ νομοφύλαξ πάντων τῶν συμφώνων τὰ πρόστιμα σήμερον ἀπαιτεῖ[3].

78. Ἐάν[4] τις ἐγγράφως ἢ ἀγράφως λογάριον ἢ ἀργύριον ἢ ἕτερον εἶδος τὸ οἱονοῦν ἐν τῇ γῇ ἢ ἐν τῇ θαλάσσῃ δανείσηται, κατὰ τὸ στοίχημα καὶ τὴν μεταξὺ αὐτῶν προθεσμίαν ἀπολαμβανέτω ὁ δανείσας τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν ἢ ναυάγιον θαλάσσης ἢ καὶ ἑτέραν τὴν οἱανοῦν ἀφορμὴν πρὸς διαστροφὴν ἢ ἀναγωγὴν προτίθεσθαι τοῦ δανείσαντος. ἐὰν δὲ ὁ δανεισάμενος ἐνέχυρα τέ-

[1] Epan. ib. 9. Basil. XXII, 1, 79. [2] Bas. XXVI, 1, 90. [3] Non invenio. [4] §§. 78—81 solus Lipsiensis praestat ex Ecloga X, 1—4.

θεικεν, καὶ αὐτὸς μετὰ τὴν τοῦ χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀναλαμβανέτω τὰ ἴδια, μὴ δυναμένου τοῦ τὰ τοιαῦτα κατεσχηκότος ἐνέχυρα λέγειν κατὰ τοῦ δανεισαμένου, ἢ ὅτι ἀπώλεσεν αὐτὰ ἢ ἑτέραν τινὰ προφέρειν πρόφασιν, εἰ μήπω ἀποδειχθῇ τοιαύτην ὡς εἰκὸς ἐπελθεῖν συμφορὰν ὅτι ἀπώλεσεν αὐτὰ καὶ σὺν τοῖς ἰδίοις ἀπολεσθῆναι καὶ τὰ ἀλλότρια, καθὼς λοιπὸν περὶ τούτου τηρήσουσιν οἱ ἀκροαταί.

79. Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολογίαν ἐκπροθεσμήσας ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ δύο καὶ τρεῖς προτροπάς τε καὶ διαμαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παῤῥησιασθῆναι ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχυρα κατέχων, ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν ἐγγράφως διὰ ταβουλαρίων ἢ καὶ ἐκδίκων ἐπισημειουμένων ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ κεχρεωστημένα αὐτῷ παρακρατεῖν καὶ τὸ ὡς εἰκὸς περιττευθὲν ἀποκαθιστᾶν τῷ χρεωστοῦντι. εἰ δὲ ἡ τῶν ἐνεχείρων δικαία διάπρασις οὐ σώζει τὴν ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτείτω τὸν χρεώστην τὸ λειπαζόμενον.

80. Ὁ δανειστὴς ἐὰν ἐνέχυρα λάβῃ καὶ ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν ἢ καὶ εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους καὶ ἄλλην τοσαύτην ποσότητα τῷ κρατηθέντι ἢ καὶ τοῖς τούτου γονεῦσι καταβαλλέτω.

81. Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος καὶ μὴ εὐπορῇ τὴν τούτου ποιῆσαι ἀπόδοσιν, ἀνέγκλητος ἔστω ἡ γυνὴ αὐτοῦ ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρέχειν τῷ δανείσαντι, εἰ μήπω εὑρεθῇ ἑκουσίως ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς.

Τίτλος ιη΄. Περὶ μισθώσεως καὶ ἐκμισθώσεως.

1. Ἐὰν συμφωνηθῇ τοὺς μισθωσαμένους οἶκον ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος· εἰ δὲ κατὰ ῥαθυμίαν αὐτοῦ συνέβη, ἐνέχεται[1].

2. Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ, καὶ σχῇ, ἐνέχεται, εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται[2].

3. Ὁ μισθωσάμενος ἀγέλην οὐκ ἐνέχεται, ἐὰν δειχθῇ, ὅτι

---

[1] Proch. XVII, 1. [2] Proch. h. t. 4.

χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλοντο· ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν[1].

4. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥᾳθυμίας καὶ ἀπὸ ἀπειρίας ἐνέχονται[2].

5. Ἐὰν ναύκληρος μὴ δυνάμενος εἰσελθεῖν ἐν τῷ λιμένι μεταγάγῃ τὰ φορτία εἰς πλοῖόν σου, καὶ ναυαγήσῃ τὸ σὸν, ἐνέχεται ὁ πρῶτος ναύκληρος, ἐὰν παρὰ γνώμην τῶν δεσποτῶν τὰ φορτία μετήγαγεν ἢ παρὰ καιρὸν ἢ εἰς ἀνεπιτήδειον πλοῖον. εἰ δὲ μὴ ἐποίησε ῥᾳθυμίαν, οὐκ ἐνέχεται[3].

6. Ἐὰν πλοῖον ναυαγήσῃ διὰ τὸ μὴ σχεῖν κυβερνήτην, ἐνέχεται τοῖς ἐπιβάταις ὁ ναύκληρος, καὶ ἀποδίδωσι τὰ ναῦλα, ἅπερ ἔλαβεν ἐν προχρείᾳ, ὡς μὴ μετακομίσας[4].

7. Ἐὰν λάβῃ τὶς ἐπὶ τῷ ἐγκλεῖσαι ἢ γλύψαι λιθέαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο[4].

8. Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται· καὶ ἐὰν ἑτέρῳ τὸ ἑτέρου παράσχῃ, κἂν ἐν ἀγνοίᾳ[6].

9. Εἰ μισθώσομαι βαλανεῖον ἐπὶ ἐνιαυτὸν καὶ πέσῃ τῷ τρίτῳ μηνὶ, ἀναλαμβάνω τὸ περιττὸν τοῦ μισθοῦ[7].

10. Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους, καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι[8].

11. Εἰ τόπον εἰς βοσκὴν μισθώσω, καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτανῶν βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματα, εἰ μὲν ᾔδειν, εἰς τὸ διαφέρον ἐνέχομαι· εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν[9].

12. Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τῷ βαστάσαι τὶ δῆλον, καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται, ὁστισδήποτε ἔβλαψεν[10].

13. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως συναινοῦντος ἑκατέρου μέρους ὁ μισθωτὸς ἐπιμείνῃ, ἀνανεοῦται εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν ἡ μίσθωσις, οὐ μὴν καὶ εἰς τὸν λειπόμενον χρόνον ὅλον, εἴγε εἰς πενταετίαν τυχὸν ἦν ἡ προτέρα μίσθωσις. ὅπερ καὶ ἐπὶ τῶν πολιτικῶν ἐστι μισθώσεων. εἰ δὲ καὶ τὸν δεύτερον ἐπιμείνῃ, ἐνέχεται εἰς αὐτὸν, καὶ ἐπὶ τῶν ἑξῆς ὡσαύτως[11].

---

[1] Proch. h. t. 2. [2] Proch. h. t. 3. [3] Proch. h. t. 6. [4] Proch. h. t. 7. 8. [5] Proch. h. t. 9. [6] Proch. h. t. 10. [7] Epanag. XXIV sch. d. [8] Proch. h. t. 14. [9] Proch. h. t. 15. [10] Proch. h. t. 21. [11] Proch. h. t. 12.

14. Ἐάν τις ἑνὶ ἐνιαυτῷ συγχωρήσῃ τῷ μισθωσαμένῳ διὰ τὴν ἀφορίαν, καὶ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία καὶ ἡ συγχώρησις τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθωτὸς, [οὐ] συλλογίζεται[1].

15. Εἰ συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον, καὶ σχῇ, εἶτα δοῦλος αὐτοῦ ἢ ξένος εἰσαγάγῃ πῦρ καὶ καύσῃ, ἐνέχεται[2].

16. Ἐὰν δίαιταν εἰς ἐνιαυτὸν μισθωσάμενος ὅλον παράσχω τὸν μισθὸν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν[3].

17. Ὁσάκις ἐπὶ τῷ γενέσθαι τὶ δίδοταί τι, μίσθωσίς ἐστιν[4].

18. Ἡ μίσθωσις ἀπὸ τῆς κατὰ συναίνεσιν ἀγωγῆς καὶ αὐτὴ ἐνάγεται. ἐστὶ δὲ, ὅταν τις ἴδιον οἶκον ἢ ἀγρὸν πακτεύσῃ πρός τινα ἐφ᾽ ᾧ λαμβάνειν ἐτήσιον πάκτον, ἢ ὅταν δώσει ὕλην χαλκόν τινα ἢ ἄργυρον τεχνίτῃ ἐπὶ τῷ κατασκεύασαι αὐτῷ ἔργον τὶ ἐπὶ μισθῷ· καὶ ὡσαύτως ἐπὶ κατασκευῆς οἴκου καὶ λοιπῆς ὑπηρεσίας ἐπὶ μισθῷ γενομένης μίσθωσις ὁρίζεται[5].

19. Ὅσα ἂν συμφωνήσωσιν ὁ μισθώσας καὶ ὁ μισθωσάμενος περὶ τοῦ ἐκμισθωθέντος πράγματος, κρατεῖ· οἷον ἵνα τὴν τυχηρὰν βλάβην ἐπιγινώσκῃ ὁ μισθωτὸς, εἴτε τὰ δημόσια τέλη κατέχει[6] εἴτε καὶ μή. εἰ δὲ μὴ συμφωνήσει, ὁ τυχηρὸς κατὰ φύσιν κίνδυνος τῷ δεσπότῃ τοῦ πράγματος ὁρᾷ· οἷον ἐὰν σεισμῷ συγχωσθῇ ὁ ἀγρὸς ἢ διὰ ποταμοφορίας κατακλυσθῇ ἢ ὑπὸ πολεμίων καταδρομῆς δέξηται βλάβην ἢ τοὺς καρποὺς ἄρδην περιαιρεθῇ, ἢ ὁ οἶκος τυχὸν κατακλασθῇ. εἰ δ᾽ ἐξ ἀμελείας ἢ δόλου βλάβη γένηται εἰς τὸ πρᾶγμα παρὰ τοῦ μισθωτοῦ, ὁ αὐτὸς μισθωτὸς τὸ ἱκανὸν ποιεῖ τῷ δεσπότῃ[7].

20. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος, ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν[8].

21. Ἡ μὲν τυχηρὰ περίστασις οὐ κινδυνεύεται τῷ λαβόντι τὴν παραθήκην· μόνον γὰρ δόλον καὶ μεγάλην ἀμέλειαν ἀπαιτεῖται, ἐν ᾧ μηδὲν ἰδικώτερον συνεφωνήθη. εἰ δὲ νεμόμενος τὰ πράγματα ὁ κληρονόμος τοῦ λαβόντος τὴν παραθήκην κρύπτει αὐτὴν ἢ δόλῳ ἐπαύσατο νέμεσθαι, κατέχεται τῇ περὶ

---

[1] Proch. h. t. 13. [2] Proch. h. t. 5. [3] Proch. h. t. 16. [4] Proch. h. t. 17. [5] Attal. XII, 1. [6] Lege παρέχῃ. [7] Att. ib. 2. [8] Att. ib. 3.

παραθήκης ἀγωγῇ καὶ τῇ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγῇ[1].

22. *Ἄδειά ἐστι τῷ δεσπότῃ ἐξεοῦν τὸν μισθωτὸν καὶ ἐντὸς τῶν τῆς πακτώσεως χρόνων, ἐὰν μὴ τὸ μίσθωμα καταβάλῃ ἐμπροθέσμως ἢ ἀμελῶς περὶ τὸν ἀγρὸν διάγῃ*[2].

23. *Ὁ καταλιπὼν τὸν ἀγρὸν καὶ ὑποχωρήσας χωρὶς εὐλόγου αἰτίας πρὸ συμπληρώσεως τοῦ συμπεφωνημένου χρόνου, δίδωσι τοῦ ὅλου χρόνου τὸ μίσθωμα*[3].

24. *Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἄμετρον βλάβην ἐκ τῆς λεγομένης θεομηνίας οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μεριζόμενος μισθωσάμενος, ὡσανεὶ δικαίῳ κοινωνίας καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ*[4].

25. *Ἐάν τις ἐπὶ τῷ μετακομίσαι μισθώσηται κίονα, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ. ἐστέρηται δὲ ῥαθυμίας, εἰ πάντα γέγονεν ἐπιμελέστατα ὡς ἔπρεπε. τὸ αὐτὸ καὶ περὶ πίθων καὶ ξύλων καὶ τῶν ἄλλων πραγμάτων*[5].

26. *Ὁ κλέπτων τὸν μισθωθέντα αὐτῷ δοῦλον ἐνέχεται ὡς κλέπτης*[6].

27. *Ἐὰν ὁ μισθώσας ὁμολογήσῃ ποινὴν διδόναι τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξώσηται πρὸ συμπληρώσεως τῆς πενταετίας, ἀζημίως αὐτὸν ἐξεοῦται μὴ καταβάλλοντα τὸν μισθὸν ἐμπροθέσμως ἢ μὴ γεωργοῦντα χρησίμως*[7].

28. *Τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον, τουτέστιν ἐπὶ διετίαν, μὴ φαινομένων μήτε τὸ συμφωνηθὲν κατατιθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν καὶ παρόντων δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα*[8].

29. *Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ῥεῖθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται· εἰ δ' ἐξ ἐλαττώματος ἔργου, ὁ μισθωσάμενος*[9].

30. *Ἐὰν τὸ γινόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος*[10].

31. *Ἐὰν χρήσω τινὶ ἐσθῆτα ἢ ἄργυρον ἢ ζῶον, εἶτα ὑπὲρ τῆς χρήσεως τούτου ῥητὸν χρυσίον λόγῳ μισθοῦ δοθῇ μοι ἢ*

---

[1] Bas. XIII, 2, 35. [2] Att. cit. 4. [3] Att. ib. 5. [4] Proch. h. t. 19. [5] Proch. h. t. 20. [6] Proch. h. t. 23. [7] Proch. h. t. 24. [8] Proch. h. t. 26. [9] Proch. h. t. 28. [10] Proch. h. t. 27.

ὁμολογηθῇ δίδοσθαι, ὁ λαβὼν τοσαύτην ἐπιμέλειαν περὶ τὴν τούτων παραφυλακὴν ἐποφείλει, ὅσην ὁ σφόδρα ἐπιμελέστατος περὶ τὰ οἰκεῖα παρέχει πράγματα[1].

32. Ὁ τὸ ἴδιον πρᾶγμα ἐν ἀγνοίᾳ μισθωσάμενος μίσθωσιν ἀνυπόστατον συναλλάσσει[2].

33. Ἐφ᾽ ὅσον ὁ τῆς μισθώσεως παρεκτείνεται χρόνος, οὐ δύναται ὁ δεσπότης αὐξῆσαι τὸν κανόνα ἢ ἐκβαλεῖν τὸν μισθωσάμενον[3].

34. Ἐὰν ἐπὶ πενταετίαν μισθώσω τινὶ τὸν ἐμὸν ἀγρὸν, ἐν δὲ τῷ δευτέρῳ τυχὸν ἢ τρίτῳ ἐνιαυτῷ τελευτήσῃ ὁ μισθωσάμενος, ὁ κληρονόμος αὐτοῦ ὑπεισελεύσεται τῇ μισθώσει μέχρι καὶ τῆς πενταετίας[4].

35. Ἐὰν χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν[5].

36. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὐταὶ γενέσθωσαν, περαιτέρω τῶν κθ′ χρόνων μὴ ἐκτεινόμεναι, εἴτε ἐκληπτορικῶν εἴ τε τοῦ μέρους τοῦ δημοσίου ἢ βασιλικοῦ οἴκου ἢ εὐαγοῦς τόπου ἢ κτημάτων, χωρίων ἢ ἀγρῶν ἢ λοιπῶν αἱ τοιαῦται ἐκδόσεις γεγένηνται· καὶ πρὸς τὸ συμφωνηθὲν ἐκ τοῦ ἐκλαμβανομένου καὶ ὁμολογηθὲν ἐνιαυσιαῖον μισθωτικὸν τέλεσμα παρὰ τοῦ ἐκδεδωκότος μέρους εἰσπράττεσθαι. μὴ δυναμένων οὔτε τοῦ ἐκδεδωκότος οὔτε τοῦ ἐκλαμβάνοντος μετάμελον μετὰ τὴν μίσθωσιν ἐντὸς ἐνιαυτοῦ προτίθεσθαι, ἐὰν ἐκ συμφώνου περὶ τούτου ὀνομαστὶ ἀπετάξαντο[6].

Τίτλος ιθ′. Περὶ παρακαταθήκης, καὶ πραγμάτων, ὧν ἡ δεσποτεία φιλονεικεῖται.

1. Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ φυλακῇ τινι διδόμενον[7].

2. Ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ διπλοῦν ἀγωγὴ ἁρμόζει, κατὰ δὲ τῶν κληρονόμων ἀπὸ μὲν δόλου τοῦ διατιθεμένου εἰς τὸ διπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ

[1] Epit. VII, 3. [2] Epit. ib. 12. [3] Epit. ib. 11. [4] Epit. ib. 13. [5] Proch. h. t. 25. [6] Ecloga XIII, 1. Hanc §. solus praestat Lipsiensis. [7] Proch. XVIII, 1.

ἁπλοῦν. ἐπὶ δὲ τῶν λοιπῶν παρακαταθηκῶν εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται[1].

3. Ἐὰν ὁ δανειστὴς συναινέστῃ τῷ χρεώστῃ αὐτοῦ πωλοῦντι τὸ ἐνέχυρον ἢ ἐναλλάττοντι ἢ δωρουμένῳ ἢ εἰς προῖκα ἐπιδιδόντι, λύεται τὸ ἐνέχυρον, εἰ μὴ τὸ ἴδιον ἐφύλαξε ἐνέχυρον. τὸ αὐτὸ κἂν δεκτὸν ἡγήσηται. εἰ δὲ αὐτὸς ὁ δανειστὴς πωλήσει, ἐφ᾽ ᾧ μὴ ἀποστῆναι τοῦ ἐνεχύρου, ἕως ἂν τὸ ἱκανὸν ὑποστῇ, οὐ βλάπτεται διὰ τῆς παραγραφῆς[2].

4. Ὁ διαμαρτυρούμενός τινα μὴ ἀποκαταστῆσαι τὴν οὖσαν παρ᾽ αὐτῷ παρακαταθήκην, πᾶσαν τυχηρὰν τῶν πραγμάτων ἐπιγινώσκει περίστασιν καὶ τόκον, κἂν χρήματα ὦσιν, ἀπὸ καιροῦ τῆς παραγγελίας, καὶ πᾶσαν ζημίαν καὶ βλάβην[3].

5. Ὁ νεμόμενος ἀλλότριον ἀκίνητον πρᾶγμα καὶ ἡττηθεὶς ὀφείλει ἀποκαθιστᾶν αὐτὸ τῷ νενικηκότι. εἰ δὲ πρὸ τῆς καταδίκης ἐξεποίησεν αὐτὸ, εἰ εὔπορός ἐστι, πεμπέσθω ὁ νενικηκὼς ἐπὶ νομῆς τοῦς πράγματος[4].

6. Ὁ ἀλλότρια διακατέχων, ἐὰν τὴν ἀρχὴν ἀρνήσηται, μετὰ δὲ ταῦτα εἴπῃ· ἔχω μὲν τὸ πρᾶγμα, νομίμως δὲ ὑπόκειταί μοι, πρότερον ἀναγκάζεται τὸ πρᾶγμα τέως ἀποκαθιστᾶν αὐτῷ ὡς ἀρνησάμενος, καὶ τότε εἰ νομίμως ὑπόκειται, κινήσει οἷς θέλει δικαιώμασιν[5].

7. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος εἴτε ὁ κληρονόμος αὐτοῦ ἐναχθῇ, καὶ φυσικῶς τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ (τυχὸν γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν), ἐλευθεροῦται εἴγε καὶ παρὰ τῷ ἐνάγοντι ἀποκαταστὰν ἀπόλλοιτο[6].

8. Ὥστε οὖν διαφέρει τῆς φυσικῆς φθορᾶς ἡ κατὰ τύχην. δεῖ οὖν καὶ ταῦτα νοεῖν οὐκ ἐπὶ ἀρνήσεως, ἀλλ᾽ ἐπί τινος ἄλλης ἢ ἀναβολῆς ἀληθοῦς ἢ φαινομένης προφάσεως. ἀλλ᾽ εἰ καὶ φυσικῶς φθειρομένου τοῦ πράγματος ὁ ἐνάγων ζημιοῦται, οὐ πάντως ὁ ἐναγόμενος ἀθῶος ἀπολυθήσεται, ἀλλὰ καὶ τῆς δίκης τὰ δαπανήματα καταβαλεῖ τῷ ἐνάγοντι, καὶ ἄλλο εἴ τι παρὰ τῶν νόμων ἐπάγεται τοῖς δυσκολαίνουσιν ἐπιτίμιον ὑποστήσεται· ἃ νῦν σιγηθέντα διὰ τῆς ἀρχηστίας πολυπλασίους τὰς ἀγνωμοσύνας καὶ τὰς ἀμφισβητήσεις ἐποίησαν[7].

9. Τῆς παρακαταθήκης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται καὶ ἀποκαθίσταται τῷ παραθεμένῳ[8].

---

[1] Proch. h. t. 2. [2] Epit. XVIII, 13. [3] Epit. ib. 14. [4] Epit. ib. 32. [5] Epit. ib. 31. [6] Proch. h. t. 3. [7] Epan. XXV schol. b. [8] Proch. h. t. 4.

10. Ὁ παραθέμενος δύναται παραχρῆμα κινῆσαι τὴν περὶ παρακαταθήκης ἀγωγὴν, καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ, εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται ἐν τόπῳ τέως ἀνοιγῆναι μὴ δυναμένῳ, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης[1].

11. Εἴτε περίεστιν ὁ παραθέμενος δοῦλος εἴτε ἀπέθανεν ἢ ἠλευθερώθη ἢ ἐξεποιήθη, ὁ δεσπότης ζητεῖ τὴν παρακαταθήκην, οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς, οὔτε ὁ νέος αὐτοῦ δεσπότης. τῇ γὰρ ἀρχῇ προσεκτέον τοῦ συναλλάγματος[2].

12. Ἐὰν ὁ δοῦλός μου κἂν ὁ καλῇ πίστει δουλεύων μοι ἢ ὁ τὴν χρῆσιν ἔχων παράθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τὴν περὶ παρακαταθήκης[3].

13. Καὶ κληρονομιαίου δούλου παραθεμένου ὁ κληρονόμος ζητεῖ τὴν παρακαταθήκην[4].

14. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια ἔδωκα, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην. ὁ γὰρ ὡς ἴδια δοὺς οὐκ ἀποδοῦναι δοκεῖ τὴν παρακαταθήκην[5].

15. Ὁ μὴ τῆς παρακαταθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ[6].

16. Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε τὰ παρατεθέντα αὐτῷ, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. ὁ γὰρ παρακαταθήκην λαμβάνων δόλον μόνον καὶ ῥᾳθυμίαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη. ἐὰν δὲ ἀποκεχρημένος τῇ προφάσει τῆς αἰτίας ἢ ἄλλης τυχηρᾶς περιστάσεως καὶ ἔχων τὰ παρατεθέντα πράγματα ὁ κληρονόμος ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτὰ μὴ ἀποκαθίστησιν, ἐνέχεται τῇ ἀγωγῇ τῆς παρακαταθήκης[7].

17. Ἐὰν ἠρτημένης τῆς δίκης μετενέγκῃ εἰς ἕτερον ἢ τὰς ἀγωγὰς ἢ τὰ πράγματα οἱῳδήποτε τρόπῳ, εἰ μὲν οἶδεν ὁ λαβὼν ἐπίμαχον εἶναι, οὐ μόνον τὸ πρᾶγμα ἀναδίδωσιν, ἀλλ' οὐδὲ τὸ τίμημα λαμβάνει. οὐ μὴν οὐδὲ ὁ πράτης αὐτὸ λαμβάνει, ἀλλὰ τῷ δημοσίῳ εἰσάγεται[8].

18. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην ἐνέχεται, κἂν δόλον μὲν οὐκ ἐποίησεν ὁ λαβὼν, ἔχει δὲ τὸ πρᾶγμα· τί

---

[1] Proch. h. t. 5. [2] Proch. h. t. 8. [3] Proch. h. t. 6. [4] Proch. h. t. 7. [5] Proch. h. t 9. [6] Proch. h. t. 10. [7] Proch. h. t. 11. [8] Epit. XVIII, 33.

γάρ; ὅτι μαίνεται ἢ ὀρφανὸς καὶ ἄνηβός ἐστιν ἢ ὁ διάδοχος ἐτελεύτησε; καὶ ἀναγκάζεται παρασχεῖν ὁ ἐγγυητὴς, ὅσα λόγῳ παρακαταθήκης εἴωθε γίνεσθαι[1].

19. Ὁ ἐγγυητὴς τοῦ λαβόντος τὴν παρακαταθήκην κατέχεται, κἂν δόλον μὲν οὐκ ἐποίησεν ὁ πρωτότυπος, ἀλλ' ἔχῃ τὸ πρᾶγμα καὶ οὐκ ἀποκαθίστησιν, οὐ δόλῳ, ἀλλ' ὅτι μαίνεται ἢ ἀνηβός ἐστιν ἢ δίχα κληρονόμου ἀπέθανεν[2].

20. Ὁ παρ' ἑκατέρου μέρους ἢ διαλύσεως συμβόλαια ἢ ἄλλα τινὰ δικαιώματα κατὰ παρακαταθήκην λαβὼν, ἀνάγκην ἔχει φυλάττειν τὰ σύμφωνα, ἐφ' οἷς τὴν παρακαταθήκην ἔλαβεν[3].

21. Ὁ λαβὼν πρᾶγμα εἰς παρακαταθήκην καὶ παραθέμεμενος αὐτὸ ἐγγράφως τινὶ ἑτέρῳ, οὐ καλῶς παραιτεῖται ἀποκαταστῆσαι ἅπερ ἔλαβεν ἐκ τοῦ προφέρειν τὸν χάρτην εἰς ἀπόδειξιν τοῦ, ὅτι ἑτέρῳ ταῦτα παρέθετο[4].

22. Δίδονται εἰς χρῆσιν καὶ κινητὰ καὶ αὐτοκίνητα. καὶ χρεωστεῖ ὁ λαβὼν πρᾶγμα εἰς χρῆσιν μὴ ποιῆσαι δόλον ἢ ἀμέλειαν. τὰ γὰρ τυχηρὰ ὁ κατὰ φύσιν δεσπότης ἐπιγινώσκει[5].

23. Ἐὰν συμφωνήσῃ ὁ χρησάμενος καὶ ἐπὶ τοῖς τυχηροῖς ἐνέχεσθαι, στέργει ἡ συμφωνία[6].

24. Ἡ παρακαταθήκη ἐπὶ μόνων κινητῶν καὶ αὐτοκινήτων πραγμάτων γίνεται. καὶ χρεωστεῖ ὁ λαβὼν τὴν παρακαταθήκην δόλον μόνον μὴ ποιῆσαι· ἀπὸ δὲ ἀμελείας οὐκ ἐνέχεται, εἰ μὴ συμφωνηθῇ[7].

25. Ἐπὶ παρακαταθήκης δυνατὸν συμφωνεῖν τὸ καὶ ἀπὸ πταίσματος τοῦ τυχόντος περὶ τὴν βλάβην τῆς παρακαταθήκης μὴ ἐνέχεσθαι· τὸ δὲ ἀπὸ δόλου μὴ ἐνέχεσθαι οὐδεὶς συμφωνεῖ[8].

26. Εἴτε τόκον ὁ τὴν παρακαταθήκην λαβὼν ἐκ τῶν παρατεθέντων αὐτῷ λάβῃ ἢ συγχρήσεται τοῖς παρατεθεῖσι, δίδωσι τόκους[9].

27. Ἐὰν ὁ λαβὼν ἀργύριον ἢ σάκκον ἐσφραγισμένον παρ' ἐμοῦ χρήσηται αὐτῷ παραγνώμην μου, ἐνέχεται τῇ περὶ παρακαταθήκης ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ[10].

28. Ἐὰν τοῦ παραθεμένου τὸ πρᾶγμα τελευτῶντος ἀνα-

---

[1] Proch. h. t. 12. [2] Epan. XXV sch. c. [3] Proch. h. t. 13. [4] Proch. h. t. 14. [5] Attal. VII, 1. [6] Att. ibid. [7] Att. ib. 2. [8] Epan. XXV, 2. [9] Basil. XIII, 2, 28. [10] Basil. ib. 29.

φανῶσι δύο κληρονόμοι, καὶ ὁ εἷς αὐτῶν τὸ ἁρμόζον αὐτῷ μέρος λάβῃ, οὐ κινδυνεύει εἰς τὸ μέρος τοῦ ἰδίου συγκληρονόμου, κἂν ἀπολεσθῇ διὰ τὴν ἐκείνου ῥᾳθυμίαν. ὀφείλει γὰρ καὶ αὐτὸς ἀναλαβεῖν τὴν προσήκουσαν αὐτῷ μοῖραν[1].

29. Ἐὰν τὸ αὐτὸ πρᾶγμα ἐν διαφόροις χρόνοις δύο τισὶν ὑπετέθη, βελτίων ἐστὶ ὁ πρῶτος ἀριθμήσας καὶ λαβὼν τὸ ἐνέχυρον. οὐ καλῶς γὰρ ὁ δεύτερος δανειστὴς πιπράσκειν αὐτὸ δύναται, εἰ μὴ ὁ πρότερος τὸ ἱκανὸν ὑποστῇ[2].

30. Ἐὰν θέλοντί μοι παραθέσθαι σοι πρᾶγμα ἐπιτρέψῃς αὐτὸ παρασχεῖν τῷ ἀπελευθέρῳ σου, εἰ μὲν ὡς σοῦ φυλάττειν μέλλοντος ἔδωκα, ὀφείλεις δοῦναι τὴν παρακαταθήκην· κατὰ σοῦ δὲ οὐ κινῶ, εἰ μὴ ἐνετείλω μοι κινδύνῳ σου αὐτῷ παρακαταθέσθαι[3].

31. Ἐάν τις δι᾽ οἱανδήποτε πρόφασιν ἢ φόβον παραθήκην παράθηταί τινι καὶ συμβῇ ταύτην παραλαβόντα ἀρνήσασθαι, ζητουμένου τοῦ κεφαλαίου καὶ ἀποδεικνυμένου αὐτοῦ ψεύστου, εἰς τὸ διπλάσιον ἀποδιδότω αὐτὰ τῷ παραθεμένῳ. εἰ δὲ καὶ δεήσει συμφοράν τινα εἴτε ἀπὸ πυρκαϊᾶς ἢ καὶ ἀπὸ κλοπῆς ἐπελθεῖν αὐτῷ καὶ σὺν τοῖς ἰδίοις αὐτοῦ ἀπολεσθῆναι κἀκεῖνα, τηρείτωσαν οἱ ἀκροαταὶ καὶ ἀνέγκλητον τὸν τὴν τοιαύτην παρακαταθήκην ἐσχηκότα φυλαττέσθωσαν ὡς ἀκουσίως αὐτὰ ἀπολέσαντα[4].

Τίτλος κ΄. Περὶ συστάσεως κοινωνίας.

1. Συνίσταται κοινωνία ἢ ἕως οὗ ζῶσιν οἱ κοινωνοί, ἢ πρὸς καιρόν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν[5].

2. Καὶ ὁ βλάψας τὴν κοινωνίαν ἢ ἀπὸ δόλου ἢ ἀπὸ ἀμελείας ἐνέχεται[6].

3. Οὐ δυνατὸν συμφωνεῖν τὸν μὲν μόνον τὴν ζημίαν, τὸν δὲ τὸ κέρδος οἰκειοῦσθαι[7].

4. Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν· κατὰ φύσιν γὰρ τῆς κοινωνίας ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται[8].

5. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία καὶ ληγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται[9].

---

[1] Epit. XVIII, 23. [2] Epit. ib. 10. [3] Epan. XXV, 15. [4] Ecloga XI, 1. Hunc locum solus habet Lipsiensis. [5] Proch. XIX, 1. [6] Attal. VI, 2. [7] Att. ib. 3. [8] Proch. h. t. 2. [9] Proch. h. t. 3.

6. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἕκαστον ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς ἐκ διαθήκης δοκοῦμεν λέγειν, ἀλλὰ περὶ τῆς νομίμου[1].

7. Συνίσταται κοινωνία καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ πραγματείᾳ, καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι, καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ τῆς σπουδῆς ἀντεισάγει[2].

8. Ἐὰν πάντες οἱ κοινωνοὶ ἀπαγορεύσωσι, λύεται ἡ κοινωνία. εἰ δ' ἀπαγορεύσει δόλῳ εἷς· τί γάρ; ὅτι ἡ κληρονομία ἐπ' αὐτὸν κατεφέρετο· εἰ μὲν ἐπικερδὴς εἴη, συνεισφέρει αὐτήν· εἰ δὲ καὶ διὰ τὸ μόνον ἀγοράσαι τὸ πρᾶγμα ἐφ' ᾧ ἐκοινώνησαν ἀπαγορεύσει, κατέχεται. εἰ δὲ καὶ διαφέρει τῇ κοινωνίᾳ μὴ ἀπαγορεῦσαι αὐτὸν, κατέχεται, οὐ μὴν εἰ ἑνὶ τῶν κοινωνῶν οὐ συνέφερε. ταῦτα εἰ μηδενὶ συνεφωνήθη. εἰ δὲ καὶ πρὸ τοῦ ὁρισθέντος χρόνου ἀπαγορεύσει ἄνευ ἀνάγκης, τοῦ κέρδους οὐ κοινωνεῖ, ἀλλὰ τῆς ζημίας[3].

9. Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι καὶ δι' ἀγγέλου, καὶ διαλύεται πάλιν ἀπαγορεύσει, θανάτῳ καὶ ἀπορίᾳ[4].

10. Ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ περιγινομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας, μισθώσεως καὶ ἐκλήψεως. πόρος γὰρ ὁ ἀπὸ καμάτου τινὶ γενόμενος· κληρονομίαι δὲ καὶ ληγάτα καὶ δωρεαὶ οὐ περιέχονται. αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου περιγίνονται ἡμῖν[5].

11. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται. τί γάρ; ὅτι ἡ αἵρεσις ἐφ' ᾗ συνέστη οὐκ ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιός ἐστιν ὁ κοινωνὸς, ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι' ὃ συνέστη ἡ κοινωνία[6].

12. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα μὲν κτήσομαι ἕως οὗ μάθῃ κοινὰ γίνεται, ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος αὐτοῦ μόνου ἐστὶ, καὶ ἡ ζημία κοινή[7].

13. Ὁ κοινωνὸς τοῦ κοινωνοῦ μου οὔκ ἐστί μου κοινωνός[8].

14. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν[9].

---

[1] Proch. h. t. 4. [2] Proch. h. t. 6. [3] Epan. XXVI sch. a. [4] Proch. h. t. 5. [5] Proch. h. t. 7. [6] Proch. h. t. 8. [7] Proch. h. t. 9. [8] Basil. II, 3, 47. XII, 1, 20. [9] Proch. h. t. 10.

15. *Τὰ συστάντα χρέη τῷ καιρῷ τῆς κοινωνίας ἐκ τοῦ κοινοῦ δίδοται καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους (ἴσως γὰρ αἱρετική ἐστιν) ἡ κοινωνία λυθῇ, περὶ τῆς καταβολῆς ἀλλήλους ἀσφαλίζονται*[1].

16. *Ἐὰν χρήματα συναγάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ καὶ ἀπώλονται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο εἴγε οὐκ ἀπώλοντο εἰ μὴ συνέστη ἡ κοινωνία. εἰ δὲ μετὰ τὸ ἀφορίσαι μὲ καὶ μήπω συνεισαγαγεῖν ἀπώλοντο, μόνος ζημιοῦμαι*[2].

17. *Ἡ κατὰ δόλον καὶ ἀπάτην γενομένη κοινωνία οὐκ ἔῤῥωται· τούτοις γὰρ ἡ ἀγαθὴ πίστις ἐναντιοῦται*[3].

18. *Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ καὶ τῇ τῆς κοινωνίας ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα*[4].

19. *Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα, εἰ μὲν ἀπὸ ληστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται. χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος διατετιμημένα· καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίαν ἐδόθησαν βόσκεσθαι καὶ τὰ μάλιστα διατετιμημένα*[5].

20. *Ἐὰν ὁ κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λησταῖς καὶ ἀπώλεσεν ἴδια πράγματα ἢ χρήματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι, κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης οὐκ εἰώθει ἡ πραγματεία φέρεσθαι*[6].

21. *Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα*[7].

22. *Εἰ καὶ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσι τὰ ἔξωθεν αὐτοῖς κτηθέντα*[8].

23. *Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν εἴσω δ′ μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον, ἢ καὶ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὸ τετράμη-*

---

[1] Proch. h. t. 11. [2] Proch. h. t. 12. [3] Epan. XXVI, 9. [4] Proch. h. t. 13. [5] Proch. h. t. 14. [6] Proch. h. t. 15. [7] Proch. h. t. 16. [8] Proch. h. t. 17.

νον, ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον· ἴσως γὰρ οὐ βούλεται σχεῖν τὸν οἶκον. διὰ τοῦτο δὲ τετράμηνος περιωρίσθη, ἐπειδὴ μετὰ ταύτην ὁ νόμος τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι[1].

24. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνος τὰς εἰς αὐτὴν γενομένας δαπάνας λογίζεται τῇ κοινότητι[2].

25. Ἄλλο μέν ἐστιν ἡ κοινωνία καὶ ἄλλο ἡ κοινοπραξία. κοινωνία μέν ἐστιν, ὅταν συμφωνήσωσιν οἱ δύο πραγματεύεσθαι κοινῶς· κοινοπραξία δὲ, ὅταν μισθώσωνται πρᾶγμα δημόσιον κοινῶς[3].

26. Κάλλιόν ἐστι λύειν ἐν τῷ πράγματι τὴν κοινωνίαν ἢ αὔξειν τὴν ἐκ τῆς κοινωνίας δυσχέρειαν, τουτέστι κοινωνὸς βλάπτων τὸ ἐπίκοινον πρᾶγμα κατέχεται[4].

27. Ὅταν μὲν ἀπὸ συναινέσεως γένηται κοινωνία, χώρα τῇ περὶ κοινωνίας ἀγωγῇ· ὅτε δὲ χωρὶς συναινέσεως, κοινοπραξία ἐστίν[5].

28. Τῷ δικαίῳ τῆς κοινωνίας ὁ κοινωνὸς οὐκ ἐνέχεται ὑπὲρ ὧν ὁ κοινωνὸς αὐτοῦ ἐδανείσατο, εἰ μὴ εἰς τὸ κοινὸν ἦλθε τὰ χρήματα[6].

29. Συνίσταται κοινωνία ἐγγράφως ἢ ἀγράφως μεταξὺ δύο ἢ καὶ πλειόνων, ὁπόταν ἕκαστος αὐτῶν ἐξ ἰσότητος ἢ καὶ ὑπ᾽ ἔλαττον τὴν οἰκείαν συναγάγῃ μοῖραν, ἤ τινων μὲν ἐνθήκην, ἑτέρων δὲ τοὺς οἰκείους μόχθους καταβαλλομένων. τὸ δὲ περιποιούμενον αὐτοῖς κέρδος, μεθ᾽ ὑφαίρεσιν δηλονότι τῶν κεφαλαίων, κατὰ τὰ ἐν μέσῳ αὐτῶν στοιχηθέντα ἐπιμερίζεσθαι. εἰ δὲ συμβῇ ἐπὶ τῇ τοιαύτῃ κοινωνίᾳ τῇ ἐνθήκῃ προσγενέσθαι ζημίαν, ἕκαστον κοινωνὸν κατὰ τὴν τοῦ κέρδους μοῖραν καὶ αὐτὴν ἐπιγινώσκειν[7].

Τίτλος κα΄. Περὶ λύσεως κοινωνίας, περὶ πάκτου ἤτοι συμφώνων καὶ διαλύσεως καὶ περὶ τῶν ἐν προστασίᾳ διδομένων.

1. Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων ἢ τοῦ πράγματος ἢ τῆς γνώμης ἢ τῆς ἀγωγῆς. προσώπων μὲν,

---

[1] Proch. h. t. 18. [2] Proch. h. t. 19. [3] Attal. VI, 5. [4] Non invenio. [5] Basil. XII, 1, 32. [6] Bas. ib. 80. [7] Ecloga X, 5, quem locum nonnisi Lipsiensis addit.

ἡνίκα καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ καὶ δημεύσει εἷς τῶν κοινωνῶν ἢ καὶ τελευτήσῃ κοινῷ θανάτῳ. φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὕπεστιν ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ δημευθέν. γνώμῃ λύεται, ὅταν ἀπαγορεύσωσιν ἢ ἰδιαζόντως ἕκαστος ἑαυτῷ ἄρξηται πραγματεύεσθαι. ἀγωγῇ δὲ λύεται, ὅταν ἢ δι' ἐπερωτήσεως ἢ διὰ δικαστηρίου ἐναλλαγῇ ἡ αἰτία τῆς κοινωνίας. καὶ ὁ γὰρ [ἐπὶ] διαλύσει τῆς κοινωνίας ἐνάγων ἀπαγορεύει αὐτῆς[1].

2. Διάλυσίς ἐστιν ἀμφιβαλλομένου πράγματος τομή[2].

3. Διάλυσις ἐγγράφως δι' ὑπογραφῆς γ' μαρτύρων γίνεται[3].

4. Εἴ τις μείζων τῶν κε' ἐτῶν ὢν διὰ φόβον ἐξουσίας χειρὶ καὶ δόλῳ οἱῳδήποτε εὑρεθῇ πεκοιηκὼς διάλυσιν, καὶ τοῦτο ἀποδειχθῇ, τὴν τοιαύτην διάλυσιν ἀνατρέπεσθαι δεῖ καὶ ἐξ ἀπαρχῆς τὸ κατ' αὐτοῦ ζητεῖσθαι κεφάλαιον[4].

5. [Ὁ] διαλυόμενος ὡσανεὶ περὶ πράγματος ἀμφιβόλου καὶ δίκης ἀδήλου διαλύεται, ὁ δὲ εἰρήνης χάριν καταβάλλων τὶ κατὰ δωρεὰν πρᾶγμα δῆλον καὶ ἀναμφίβολον ὡς φιλοτίμως συγχωρεῖ[5].

6. Ὁ νομίμως διαλυόμενος καὶ ποινὴν ἐκ παραβάσεως πρὸς τὸ ἐῤῥῶσθαι τὴν διάλυσιν ὁμολογεῖν ἀπαιτεῖται[6].

7. Τοῦ ἑνὸς κοινωνοῦ εἰς ὁλοκληρίαν δημευθέντος λύεται ἡ κοινωνία· ἀντὶ τεθνεῶτος γάρ ἐστιν[7].

8. Ἐὰν τέλειος ὢν ὑπέσχετο πρός τινα προφάσει τοῦ κληρονομῆσαι αὐτὸν, οὐ δύναται ἀποτυχὼν ἀνατρέπειν τὴν καλῶς γενομένην ὑφ' ἑαυτοῦ διάλυσιν[8].

9. Ὁ θέλων παραβῆναι τὰς ἐχούσας ὅρκον διαλύσεις ζημιοῦται πάντα τὰ χάριν αὐτῶν κερδανθέντα αὐτῷ, καὶ τῆς ἰδίας ἀγωγῆς ἐκπίπτει, καὶ ποινὴν δίδωσιν, ἐὰν μείζων ἐστὶ τῶν κε' ἐνιαυτῶν· ἐὰν ὅλως ὤμοσε κατὰ τοῦ θείου ἢ κατὰ τοῦ βασιλέως[9].

10. Ἐὰν λυθείσης τῆς κοινωνίας ὁ κοινωνὸς εἰς τὸ κοινὸν πρᾶγμα δαπανήσῃ, οὐκ ἔχει τὴν περὶ κοινωνίας ἀγωγὴν, ἀλλὰ τὸ περὶ διαιρέσεως τῶν ἐπικοίνων δικαστήριον. μένει γὰρ ἡ διαίρεσις καὶ μετὰ λύσιν τῆς κοινωνίας[10].

11. Ὁ κοινωνὸς ἀπὸ ἀμελείας καὶ ῥᾳθυμίας ἐνέχεται. οὐ χρεωστεῖ δὲ μεγάλην ἐπιμέλειαν, ἀλλ' οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν[11].

---

[1] Proch. XX, 1. [2] Epan. XXVII, 1. [3] Ecloga XV, 1. [4] Ecl. ib. 3. [5] Epan. XXVII, 2. [6] Epan. ib. 7. Lege ὁμολογῶν. [7] Basil. XII, 1, 63 th. 12. [8] Epit. XI, 38. [9] Epit. ib. 41. [10] Basil. XII, 1, 63 th. 13. [11] Bas. cit. 70.

12. *Καὶ ὁ κουράτωρ τοῦ μαινουμένου ἀπαγορεῦσαι δύναται τοῖς τοῦ μαινομένου κοινωνοῖς, καὶ οἱ κοινωνοὶ δὲ τοῦ μαινομένου δύνανται τῷ κουράτορι αὐτοῦ περὶ τῆς κοινωνίας ἀπαγορεῦσαι*[1].

13. *Ὁ λέγων ὅτι οὐ κατὰ δόλον τοῦ διαδίκου μου, ἀλλὰ κατὰ δόλον ἐμὸν διελυσάμην, καὶ διὰ τοῦτο ἀνατρέψαι θέλων τὴν διάλυσιν, οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἐπικινδύνως τὴν τοιαύτην δικαιολογίαν προΐσχεται, ὡς ὁμολογῶν ἑαυτὸν πεποιηκέναι τὸν δόλον*[2].

14. *Διαλύσεως γενομένης εἰ καὶ παραχρῆμα μεταμεληθῇ τις, οὐ δύναται ἀνατρέπειν αὐτήν. οὐ γὰρ ἔχει χρόνον, οὗ ἐντὸς δύναταί τις ἀναπαλαίειν τὴν διάλυσιν*[3].

15. *Ἐὰν ὑπὸ πλαστῶν συμβολαίων γέγονεν ὅλη ἢ μέρος αὐτῆς· τὸ γὰρ γενόμενον πλαστῶς ἀναλύεται*[4].

16. *Οὐδεὶς δύναται περὶ τῶν ἐν διαθήκῃ ἠρτημένων διαλύεσθαι κεκλεισμένης ἔτι τῆς διαθήκης*[5].

17. *Ἐπὶ τῆς ὕβρεως διάλυσις ἐπ' αὐτὴν γενομένης ἀναιρεῖται*[6].

18. *Ὁ γενικῶς διαλυόμενος περὶ τῶν ἐν διαθήκῃ καταλειφθέντων αὐτῷ, κινεῖν οὐ δύναται περί τινος τῶν ἐν αὐτῇ. οὐκ ἀποκλείεται δὲ τῶν ἐν κωδικέλλοις αὐτῷ καταλειφθέντων καὶ ὕστερον περιενεχθέντων*[7].

19. *Ἐὰν διαλύσωμαι πρὸς τούς ποτε ἐπιτρόπους μου περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι κινεῖν αὐτοῖς ἐκ προσώπου τοῦ ἀδελφοῦ μου κληρονομῶν αὐτόν*[8].

20. *Ἀνατρέπεται καὶ ἡ ἐννομωτάτη διάλυσις, ἐὰν ὑπὸ πλαστῶν συμβολαίων γέγονεν ὅλη ἢ μέρος αὐτῆς. τὸ γὰρ γινόμενον πλαστῶς ἀναλύεται*[9].

21. *Ἡ μὲν κατὰ φόβον γινομένη διάλυσις, ἐν ᾧ τυχὸν σωτηρίας ἀπήρτηται κίνδυνος ἢ σώματος αἰκισμὸς, ἢ κολακεία ἢ ἐὰν ἴσως προδοσία γένηται, οὐκ ἔῤῥωται. εἰ δὲ μηδὲν τοιοῦτον, ἔῤῥωται τὰ δόξαντα*[10].

22. *Ὁ τὸν λογισμὸν ἐῤῥωμένος κἂν τῷ σώματι ἀσθενῇ βεβαίως διαλύεται καὶ οὐ δύναται προτεινόμενος τὴν τοῦ σώματος ἀσθένειαν ἀνατρέπειν τὴν διάλυσιν*[11].

---

[1] Bas. cit. 89. [2] Epan. XXVII, 9. [3] Epit. XI, 42. [4] Epit. ib. 43. Cf. §. 20. [5] Epit. ib. 45. [6] Sic Codices corrupte. Fontem non invenio. [7] Epan. XXVII, 4. [8] Epan. ib. 5. [9] Epit. XI, 43. Cf. supra §. 15. [10] Epit. ib. 28. [11] Epan. XXVII, 11.

23. Ἡ παρὰ τοῦ πατρὸς γενομένη διάλυσις ἐπὶ πράγματι τοῦ αὐτεξουσίου παιδὸς οὐκ ἀντίκειται τῷ παιδί[1].

24. Οὐ μόνον ἄνευ δόσεως ἀλλὰ καὶ μετὰ δόσεως τῆς εἰρήνης παρεχούσης καὶ ἀνενοχλησίας γίνεται διάλυσις[2].

25. Πᾶσα διάλυσις ἐπὶ μόνοις κρατεῖ τοῖς συναρέσασιν[3].

26. Ὁ νομίμως διαλυόμενος καὶ ποιῶν ἐκ παραβασίας πρὸς τῷ ἐῤῥῶσθαι τὴν διάλυσιν ὁμόλογον ἀπαιτεῖται[4].

27. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γινομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστιν[5].

28. Ὁ μείζων τῶν κε΄ χρόνων εἴτε διαλύσεται πρός τινα εἴτε τὰ χρεωστούμενα αὐτῷ δωρήσεται δίχα τινὸς αἱρέσεως, οὐ δύναται μετὰ ταῦτα λέγειν, ὅτι ἐλπίδι τοῦ μέλλειν σὲ κληρονομεῖν διελυσάμην ἢ ἐδωρησάμην σοί[6].

29. Εἰ περὶ μιᾶς αἰτίας ἐνάγων τὶς καὶ διαλυόμενος, εἰ καί ῥητῶς ἐπαγάγῃ μηδέν τι πλέον ἀπαιτεῖν, καὶ μηδὲ προσθήσῃ ὅτι ταύτης ἕνεκα τῆς αἰτίας, ὅμως ἐῤῥωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ᾽ ἐκείνου πρὸς ὃν διελύσατο ἀγωγάς. τί γάρ; ὅτι περὶ παρακαταθήκης διελύσατο, εἶχε δὲ περὶ δανείου ἀγωγήν[7].

30. Τὰ παράμομα ἤτοι παρὰ τὰς διατάξεις ἢ παρὰ τὰ καλὰ ἔθη γινόμενα σύμφωνα οὐδεμίαν ἰσχὺν ἔχει[8].

31. Ἐὰν διδούς τις προῖκα σύμφωνον πεποίηκεν, ἔῤῥωται τοῦτο, οὐδὲ γὰρ νοῦδόν ἐστι πάκτον, τουτέστι ψιλὸν, ἔνθα χρήματα ἐδόθη καὶ ἀνάδοσις συνεφωνήθη[9].

32. Ἐὰν ἀγρὸν εἰς προῖκα δεδωκυῖα γυνὴ συνεφώνησε τῷ ἀνδρὶ, τοὺς τόκους παρέχειν τοῖς δανεισταῖς, οἷς ὑπέκειτο ὁ ἀγρὸς, εἰ καὶ ἐπερωτήθη, οὐκ ἔῤῥωται, εἰ μὴ ἄρα διατετιμημένος ἦν. τότε ἕξει τὴν ἐξ [βένδιτο] ἀγωγήν[10].

33. Τὰ μεταγενέστερα πάκτα ἤτοι σύμφωνα ἰσχυρότερα τῶν προγενεστέρων εἰσίν[11].

34. Ἐὰν ἀγράφως γίνηται πάκτον ἤτοι σύμφωνον, καὶ δύναται δειχθῆναι τοῦτο, ἔῤῥωται[12].

35. Παρανόμως ποιοῦσιν οἱ συμφωνοῦντες ἀλλήλοις ἰδιῶται κληρονομεῖν, οὐδὲ εἰς μόρτις καῦσα δωρεὰν δυνάμενον ανα-

---

[1] Epan. ib. 13. [2] Epan. ib. 14. [3] Epan. ib. 3. [4] Sic Lips. Cf. §. 6. [5] Proch. XX, 2. [6] Proch. h. t. 3. [7] Proch. h. t. 4. [8] Epit. XI, 1. [9] Epit. ib. 3. — Lips. ἀνάλωσις habet pro verbo ἀνάδοσις. [10] Epit. ib. 4. [11] Epit. ib. 5. [12] Epit. ib. 6.

φέρεσθαι. εἰ δὲ στρατιῶται τοῦτο συμφωνήσαιεν, ἔῤῥωται τὸ πάκτον[1].

36. *Αἱ δεσποτεῖαι τῶν πραγμάτων οὐ διὰ ψιλῶν πάκτων, ἀλλὰ διὰ παραδόσεως καὶ χρήσεως μεταφέρονται*[2].

37. *[Ὁ] ἐπὶ διαιρέσει πραγμάτων διαλυσάμενος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, εἰ νέμεται, ἔχει τὸ ἀσφαλὲς ἐπὶ τῷ αὐτοῦ μέρει ἀπὸ τοῦ πάκτου. εἰ δὲ οὐ νέμεται, οὐκ ἔχει ἀγωγήν, εἰ μὴ ἄρα καὶ ἐπερωτήσει. ὅμως οὐδὲ [ὁ] ἀντίδικος αὐτοῦ χρήσεται τῇ διαλύσει, μὴ ἀκολουθῶν αὐτῇ μηδὲ τὰ συνδεδογμένα διαπράξασθαι βουλόμενος*[3].

38. *Ὁ μὴ ἔχων τὰ δόξαντα πράγματα κἂν οὐκ ἀνατρέπῃ τὴν διάλυσιν, ἀλλ᾽ οὖν κινεῖ ἐπὶ τοῖς συμφωνηθεῖσιν*[4].

39. *Τὸ τοῦ κουράτορος σύμφωνον οὐ βλάπτει τὸν νέον, ἀλλ᾽ οὐδὲ ἐπίτροποι συγχωροῦντες χρέα ἐλευθεροῦσι τοὺς χρεώστας τῶν νέων*[5].

40. *Ὁ κατὰ ψιλὸν πάκτον ἐπαγγειλάμενος, εἶτα ἐπί τινας ἐνιαυτοὺς καταβαλών, οὐ δύναται λοιπὸν ἐνάγεσθαι, ἐν ᾧ μὴ ἐπερωτηθῇ*[6].

41. *Τὰ ψιλῶς ἐπαγγελθέντα καὶ καταβληθέντα ἀπαιτεῖται μέν, ἀλλ᾽ ἕως ὅτε θέλει ὁ καταβαλών, ἄκων γὰρ οὐκ ἀπαιτεῖται αὐτά, εἰ μὴ ἄρα καὶ ἐπερωτηθῇ, ἢ ἀνήρ ἐστι καὶ κατὰ χάριν ἐπερωτηθῇ αὐτὰ τῇ ἰδίᾳ γυναικί*[7].

42. *Ἐάν τις ἐπὶ κληρονομίᾳ διαλυσάμενος ὡμολόγησε δοῦναί τι, εἰ μὲν κατέβαλεν, οὐ ῥεπετιτεύεται. εἰ δὲ μὴ κατέβαλεν, ἀπαιτεῖται, εἰ καὶ ψευδῶς διελύσατο*[8].

43. *Ἐὰν νομίσας συγκληρονόμον μου εἶναι τὸν μὴ ὄντα συγκληρονόμον χωρὶς δικαστηρίου διέλωμαι πρὸς αὐτὸν τὴν κληρονομίαν, ἀπαιτῶ διὰ τοῦ κονδικτικίου τὰ ἐπιλαχόντα αὐτῷ. οὐ δοκεῖ γὰρ ὡς ἐκ διαλύσεως εἰληφέναι αὐτά, ἀλλ᾽ ἐκ τῆς ἐμῆς πλάνης*[9].

44. *Ἡ νομίμως γενομένη διάλυσις ἰδικῇ πληρωθεῖσα ὑποθέσει οὐδὲ διὰ βασιλέως ἀνατρέπεται*[10].

45. *Καλῶς δέ τις ἀναλαμβάνει, ἃ ἔδωκεν ἐπὶ διαλύσει δίκης, καὶ οὕτω τὰς κατ᾽ αὐτοῦ ἀγωγὰς ὑποδέχεται*[11].

46. *Οὐκ ἀνατρέπει τὶς, ἣν ἐποίησε διάλυσιν, διὰ τὸ μὴ ἔχειν αὐτὸν τὰ ἴδια δικαιώματα ἐν τῷ καιρῷ τῆς ποιήσεως*

---

[1] Epit. ib. 7. [2] Epit. ib. 8. [3] Epit. ib. 10. [4] Non invenio. [5] Epit. XI, 11. [6] Epit. ib. 12. [7] Epit. ib. 13. [8] Epit. ib. 22. [9] Epit. ib. 29. [10] Epit. ib. 31. [11] Epit. ibid.

αὐτῆς, εἰ μὴ ἄρα ὁ ἀντίδικος αὐτοῦ ἢ ἄλλος δι' ἐκείνου αὐτὰ παρυπεκράτησεν[1].

47. Ἰσοδυναμεῖ τῇ ἀποφάσει ἡ διάλυσις. ὥστε οὖν διαμένειν αὐτήν. οὐδὲ γὰρ ἐν νυκτὶ γεγονυῖα ἄκυρός ἐστιν, ἐν ᾧ ὑγιής τις καὶ τέλειος ταύτην ἐποίησεν[2].

48. Ἡ διὰ δωρεὰν γενομένη διάλυσις ἔῤῥωται καὶ μὴ παρακολουθησάσης τῆς δωρεᾶς. ὅτι ἡ διάλυσις μὴ δοθέντος τινὸς ἢ ὑποσχεθέντος ἢ ὑποκρατηθέντος οὐ προβαίνει[3].

49. Ἐάν τις τῶν ἐντελῶν χρόνων μὴ ὢν διάλυσιν ποιήσῃ πρός τινα καὶ διὰ τὴν τῶν χρόνων ἴσως ἀτέλειαν καταφρονηθῇ ἢ δι' ἑτέραν αἰτίαν τὴν οἱανοῦν παραβλαβῇ, καὶ ἐντὸς τῶν κε' χρόνων ἐν τελείᾳ καταντῶν ἡλικίᾳ διαγνῷ τὴν προσγενομένην αὐτῷ βλάβην, ἄδειαν ἐχέτω παρὰ δικασταῖς κινεῖν τὰ τῆς ὑποθέσεως, καὶ τῆς ἀδικίας ἀποδεικνυμένης φυλαττέσθω τούτῳ τὸ δίκαιον· εἰ δὲ τὰ τῆς ἀδικίας ἀποδεῖξαι μὴ δυνηθῇ, βεβαίαν εἶναι τὴν τοιαύτην διάλυσιν[4].

Τίτλος κβ'. Περὶ διαθήκης αὐτεξουσίων.

1. Διαθήκη ἐστὶ δικαία βούλησις, ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι[5].

2. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐῤῥῶσθαι[6].

3. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ ιβ'[7].

4. Αἱ διαθῆκαι ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ τῶν διατάξεων καὶ τοῦ πραίτωρος. ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι· ἐκ δὲ τῶν διατάξεων αἱ τοῦ διατιθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαί· ἐκ δὲ τοῦ πραίτορος αἱ σφραγίδες καὶ τῶν μαρτύρων ὁ ἀριθμός. πᾶσα δὲ ἡ τοιαύτη παραφυλακὴ διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς καθαρεύειν δόλου. προστέθειται ὥστε τὸν διατιθέμενον οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα δηλῶσαι, γράφοντα ὅτι τόνδε ἐνεστησάμην κληρονόμον· τοῦτο δὲ αὐτοῦ μὴ ποιή-

---

[1] Epit. ib. 33. [2] Epit. ib. 34. [3] Epit. ib. 36. [4] Ecloga XV, 2.
[5] Proch. XXI, 1. [6] Proch. ib. 2. [7] Proch. ib. 3.

σαντος ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα[1].

5. Ἐπειδὴ εἰρήκαμεν, τοὺς μάρτυρας χρῆναι σφραγίδα ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι καὶ ἑνὶ δακτυλιδίῳ ἤτοι βουλλωτηρίῳ δύνανται σφραγίζειν τὴν διαθήκην[2].

6. Καὶ ἐν νυκτὶ σφραγίζεται καὶ ὑπογράφεται διαθήκη[3].

7. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ[4].

8. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ· ἐν τοῖς διαλείμμασι δέ[5].

9. Ἐὰν διάθηται ὑπεξούσιος ἢ ἄνηβος ἢ δοῦλος, οὐκ ἔῤῥωται, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος[6].

10. Ἄλαλος ἢ κωφὸς οὐκ ἀεὶ διατίθεται. λέγομεν δὲ περὶ κωφοῦ τοῦ παντελῶς μὴ ἀκούοντος οὐ μὴν τοῦ βραδέως ἀκούοντος· οὗτος γὰρ διατίθεται[7].

11. Καὶ ἄλαλον πάλιν ἐκεῖνόν φαμεν, οὐ τὸν βραδέως λαλοῦντα, ἀλλὰ τὸν παντελῶς μὴ φθεγγόμενον. τὸ δὲ οὐκ ἀεὶ πρόσκειται, ὅτι πολλάκις τὶς εἰδὼς γράμματα καὶ πεπαιδευμένος συμφορᾶς ἐπιγενομένης τῆς ἀκοῆς ἢ τῆς γλώττης ἐστερήθη· δύναται οὖν οὗτος διατίθεσθαι. εἰ δέ τις διαθέμενος νόσου συμβάσης ἢ ἐκ τιμωρίας ἀρχοντικῆς ἢ ἐξ ἄλλης οἱασδήποτε περιστάσεως ἄλαλος ἢ κωφὸς γέγονεν, ἡ προγενομένη διαθήκη τὴν ἰδίαν ἰσχὺν ἔχει[8].

12. Τοῦ ἀποστόλου πρὸς γαλάτας. — Ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται.

13. Πρὸς ἑβραίους. — Διαθήκη ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει, ὅτε ζῇ ὁ διατιθέμενος.

14. Διαθῆκαι ἐπ᾿ ὠφελείᾳ γράφονται τῶν δωρεᾶς ἀξίων, ὥστε σύμβολον εἶναι διαθήκην χάριτος.

15. Ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς διατίθεται παρ᾿ αὐτοῖς εἰ καὶ συμβαίη τοῦτον εἰς τὴν ἡμετέραν πολιτείαν ἐλθεῖν. τὴν δὲ παρ᾿ ἡμῖν γενομένην διαθήκην ἐῤῥῶσθαί φαμεν, κἂν μετὰ ταῦτα γένηται αἰχμάλωτος. εἴτε γὰρ ὑπέστρεψεν ἐκ τῆς αἰχμαλωσίας ἡ τοιαύτη διαθήκη τὸ βέβαιον ἔχει, εἴτε παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν[9].

---

[1] Proch. ib. 4. [2] Proch. ib. 5. [3] Proch. ib. 6. [4] Proch. ib. 7. [5] Proch. ib. 8. [6] Proch. ib. 10. [7] Epan. XXX, 6. [8] Epan. l. l. [9] Epan. ib. 7.

16. *Τὰ ἐν διαθήκῃ μὴ νοούμενα ἀντὶ μὴ γεγραμμένων εἰσίν*[1].

17. *Ἄδειαν ἐχέτω ὁ τυφλὸς, εἴτε ἐκ γεννητῆς εἴτε ἀπὸ νόσου, ἔγγραφον διαθήκην ποιεῖν ζ′ ἢ ε′ μάρτυρας συγκαλῶν, καὶ λέγων τὸν κληρονόμον μετὰ σημείων, διὰ τὸ μὴ πλανηθῆναι*[2].

18. *Ὁ ἄσωτος οὔτε διατίθεται οὔτε μαρτυρεῖν ἐν διαθήκῃ δύναται, οὔτε ὁ διὰ φάμουσον καταδικασθείς*[3].

19. *Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοὶ, ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατίθεσθαι, εἰς ὃ βούλεται, οὐδὲ ἐμποδίζονται διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα*[4].

20. *Οἱ μάρτυρες τῆς διαθήκης προσκεκλημένοι εἶναι ὀφείλουσιν*[5].

21. *Ἀπὸ σχεδαρίου διαθήκης οὔτε λεγάτον ἀπαιτεῖται κἂν σχῇ λεγάτου ῥήματα*[6].

22. *Μὴ κρατείτω διαθήκη ἑνὸς τῶν μαρτύρων χωριζομένου εἰ μὴ πάντων ὁρώντων τοῦ διατιθεμένου κατὰ τὸν αὐτὸν τόπον σφραγιζόντων ἐν ἰδίῳ ἢ ἀλλοτρίῳ δακτυλιδίῳ. εἰ δ᾽ ἀγράφως τὶς διατίθεται, πάντως ἐπὶ τῶν αὐτῶν μαρτύρων ἐν ἑνὶ τόπῳ καὶ καιρῷ τὴν διαθήκην ποιείτω ἀκουόντων τῶν μαρτύρων*[7].

23. *Διαθῆκαι ἐν πάσῃ πόλει καὶ ἐν πᾶσι τοῖς κάστροις τοῖς ῥωμαϊκοῖς, ἔνθα καὶ γραμμάτων ἐστὶν εἴδησις καὶ νόμων, κατὰ τὴν εἰρημένην παρατήρησιν ὀφείλουσι γίνεσθαι. ἐν δὲ τοῖς τόποις ἐν οἷς σπανίως ἔμπειροι γραμμάτων εὑρίσκονται, τὴν τοῦ τόπου συνήθειαν ἀντὶ νόμου δεχόμεθα. ἐὰν γὰρ ὦσιν ἐν ἐκείνῳ ἔμπειροι γραμμάτων, ὑπογραφέτωσαν· ἔνθα δὲ οὐκ εἰσι, τότε καὶ ἀγράφως δεχόμεθα τὰς μαρτυρίας*[8].

24. *Εἴ τις γράμματα ἐπιστάμενος μεταξὺ τῶν ἑαυτοῦ παίδων βούλοιτο διατύπωσιν ποιήσασθαι, πρῶτον μὲν αὐτῆς προγράφειν δεῖ τὸν χρόνον, εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα οἰκείᾳ χειρὶ, καὶ πρός γε τοὺς οὐγγιασμοὺς εἰς οὓς γράφει κληρονόμους αὐτοὺς, μὴ τοῖς συμβόλοις τῶν ἀριθμῶν σημαινομένους, ἀλλὰ δι᾽ ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόθεν σαφεῖς τε καὶ ἀναμφισβητήτους καθεστάναι. εἰ*

---

[1] Basil. II, 3, 73 th. 4. [2] Proch. XXI, 9. [3] Basil. XXXV, 1, 19 th. 1. 2. [4] Proch. XXI, 11. [5] Attal. XXIII, 11. [6] Attal. ib. 12. [7] Attal. ib. 14. [8] Attal. ib. 15.

δὲ πραγμάτων βούλοιτο ποιήσασθαι διαίρεσιν, ἢ τισι πράγμασι ῥητοῖς ἢ πάσας ἤ τινας τῶν ἐνστάσεων περιστῆσαι, καὶ τὰ τούτων ἐγγραφέτω γνωρίσματα, ὥστε τοῖς αὐτοῖς γράμμασι πάντα δηλούμενα μηδεμίαν ἔτι φιλονεικίαν τοῖς παισὶ καταλιμπάνειν. εἰ μέντοιγε ἢ τῇ γαμετῇ ἢ ἐξωτικοῖς τισι προσώποις βούλεται καταλιπεῖν λεγάτα ἢ φειδικόμισσα ἢ ἐλευθερίας, καὶ ταῦτα οἰκείᾳ χειρὶ γραφόμενα, λεγόμενά τε παρὰ τῶν διατιθεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ ἔγραψαν καὶ βούλονται κρατεῖν, ἔστω ἰσχυρὰ, μηδὲν ἐλαττούμενα ἐκ τοῦ δοκεῖν ἐν χάρτῃ γεγράφθαι τὴν λοιπὴν παρατήρησιν τῶν διαθηκῶν μὴ δεξάμενα, ἀλλὰ τοῦτο μόνον διαταττέτω τὸ τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶτταν ἔχειν τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχομένην. καὶ εἴπερ μέχρι τελευτῆς μένει τοῦτο τὸ σχῆμα, οὐδεὶς ὕστερον παράξει μαρτυρίας, ὡς βουληθέντι τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι ἤ τι τοιοῦτον ποιῆσαι· ᾧγε ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν, δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην, ἣν προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν, αὐτὸ τοῦτο ῥητῶς ἐπισημαινομένῳ ἢ παρουσίᾳ μαρτύρων ζ΄ ἢ ε΄, ὡς πεποίηται τὴν τοιαύτην βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν βούλεται, ἀλλ᾽ ἑτέραν ποιήσασθαι. καὶ ταῦτα μὲν ἢ ἐν τελείᾳ διαθήκῃ ποιείτω πάντα τὰ τῶν διαθηκῶν ἐχούσῃ σύμβολα, ἢ ἐν ἀγράφῳ[1] *τελείᾳ βουλήσει, ὥστε ἐπ᾽ ἐγγράφῳ βουλήσει ἢ ἀγράφῳ δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων ἀκύρων ἐκ τῆς δευτέρας αὐτοῦ κατὰ τὴν τελείαν διαθήκην ἢ βούλησιν διατυπώσεων γινομένων*[2].

25. *Ἐλάττονες τῶν ε΄ μαρτύρων οὐκ ὀφείλουσιν ἐν διαθήκῃ εἶναι. καὶ σημείωσαι ὅτι ἐν μυστικῇ διαθήκῃ ἀγράμματοι οὐ δέχονται μάρτυρες· ἀλλ᾽ οὐδὲ μυστικὴ διαθήκη ἔῤῥωται, εἰ μὴ καὶ παρὰ τοῦ διατιθεμένου ὑπογεγραμμένη ἐστὶ. διὰ τοῦτο οὐδὲ γυναῖκες ποιοῦσι μυστικὴν διαθήκην οὔτε ἀγράμματοι*[3].

26. *Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης, κἂν ἐστὶν ἡ πρώτη ἔγγραφος*[4]

27. *Ἡ μεταγενεστέρα διαθήκη, εἴτε ἔγγραφος εἴτε ἄγραφος εἴη, δύναται τὴν προγενεστέραν, κἂν ἔγγραφος εἴη, παραγράφεσθαι, δηλονότι τὸν τῆς διαθήκης τύπον διασώζουσα*[5].

---

[1] Cod. *ἐγγράφῳ.* [2] Proch. XXI, 12. [3] Att. XXIII, 15 rel. [4] Proch. XXI, 13. [5] Epan. XXX, 13.

28. Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διατιθέμενον πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ' αὐτοῦ λεχθέντες κληρονομοῦσιν[1].

29. Ἐὰν μέντοιγε ὁ διατιθέμενος μὴ βούληται γνῶναι τὰ γεγραμμένα καὶ τυπωθέντα καὶ ὁρισθέντα τοὺς μάρτυρας, εἱληθεῖσαν ἕως τῶν γεγραμμένων ἢ καὶ σφραγισθεῖσαν ὑπ' αὐτοῦ προσφερέτω τοῖς μάρτυσιν ἵνα ὑπογράψωσι, καὶ λεγέτω τοῖς μάρτυσιν ἰδίαν εἶναι τὴν διαθήκην. λοιπὸν δὲ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν καὶ σφραγιζέτωσαν αὐτήν, καὶ κρατείτω ἰσχυρῶς. οὐ μόνον δὲ ἑπτὰ ἀλλὰ καὶ πέντε παραλαμβανόμενοι μάρτυρες ἔν τε ἐγγράφῳ πάσῃ καὶ ἀγράφῳ διαθήκῃ βεβαίαν ταύτην παριστῶσιν. ἐν δὲ κατὰ τοὺς ἀγροὺς γενομέναις διαθήκαις μὴ συνευρισκομένων ε' τὸ ἀριθμὸν, καὶ ἐπὶ γ' μαρτύρων ἡ διαθήκη συνίσταται[2].

30. Ὁ μέντοιγε ἐν πολέμῳ πληγεὶς καὶ ἐν ὁδῷ περιπατῶν καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν δύναται διαθήκην ποιεῖν, ἀλλὰ καὶ δύο μόνα παρευρισκόμενα πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν δύνανται τὴν ἐκείνου διαθήκην βεβαίαν παριστάνειν[3].

31. Οἱ στρατιῶται οἱ ἐν τῷ στρατοπέδῳ διάγοντες ὡς βούλονται ἢ δύνανται διατιθέσθωσαν. εἴτε ἐν τῇ ξιφοενθήκῃ εἴτε ἐν τῇ ἀσπίδι τῷ ἰδίῳ αἵματι γράμμασιν ἐρυθραινομένοις σημειώσονται, εἴτε εἰς τὸν κονιορτὸν τουτέστιν εἰς τὴν γῆν ἐγγράψουσι τῷ ξίφει ἐν αὐτῷ τῷ καιρῷ, ἐν ᾧ ἐν τῷ πολέμῳ τῆς ζωῆς τὸν κλῆρον καταλιμπάνουσι, τὴν τοιαύτην βούλησιν ἰσχυρὰν εἶναι προσήκει[4].

32. Ἔξεστι τοῖς δανεισταῖς μετὰ τὴν ποίησιν τοῦ ἰμβέντου τουτέστι τῆς καταγραφῆς πᾶσαν ἔρευναν ποιεῖν καὶ βασανίζειν τοὺς οἰκέτας καὶ ὅρκον ἐπάγειν τῷ κληρονόμῳ. ἐὰν λέγωσιν αὐτὸν κλέπτην καὶ δειχθῇ κλέπτης ἢ κρύψας, διπλοῦν ἀπαιτείτω. εἰ δὲ ἴμβεντον οὐκ ἐποίησεν, οὐκ ἐπιφέρεται αὐτῷ ὅρκος ὁ λεγόμενος ἰν λιτέμ[5].

33. Εἴ τις μέχρι τῆς παρούσης διατάξεως τῇ οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα οὐκ ἔγραψεν, ἀλλ' εἰ τὸ τετραούγγιον μόνον τοῖς παισὶ κατέλιπε, μὴ ἀκυρούσθω ἡ διαθήκη αὐτοῦ[6].

34. Ἐὰν περὶ τὸν χρηματισμὸν ἢ τὴν πατρωνυμίαν ἢ τὴν

---

[1] Proch. XXI, 14. [2] Proch. ib. 15. [3] Proch. ib. 16. [4] Attal. XXIII, 28. [5] Cod. VI, 30, 22 §. 10 ex Epitome. [6] Nov. 66 ex Epitome.

προσηγορίαν τοῦ κληρονόμου γένηται πλάνη, δῆλον δέ ἐστι περὶ τίνος ὁ διαθέμενος ἐνενόησεν, ἔῤῥωται ἡ διαθήκη[1].

35. *Δύναταί τις ἐγγράφως μετὰ τὸ διαθέσθαι ἐναλλάξαι τὴν διατυπωθεῖσαν αὐτῷ πρότερον ἔγγραφον διαθήκην*[2].

36. *Ὁ κατὰ φύσιν κωφὸς καὶ ἄλαλος οὐ διατίθεται. ὁ δὲ κατὰ πάθος γινόμενος, ἐὰν γράμματα εἰδὼς διαθήκην γράψῃ ἰδίᾳ χειρὶ, ἐῤῥώσθω τὸ γινόμενον. ταῦτα δὲ καὶ ἐπὶ θηλείας κρατείτω*[3].

37. *Ἡ τοῦ αἰχμαλώτου διαθήκη ὡσὰν εἰ μὴ γέγονεν αἰχμάλωτος κρατείτω*[4].

38. *Ἐὰν ἀλλάξαι τὶ θέλῃ μετὰ τὸ πληρῶσαι τὴν διαθήκην, ἅπασαν οὐκ ἀλλάττεται*[5]. *εἰ δέ τι ἀσαφὲς ἐλέχθῃ ἢ ἀγράφως, δύναται διὰ προσθήκης αὐτὸ σαφηνίζειν*[6].

39. *Καὶ τῷ γράψαντι τὸν βασιλέα κληρονόμον ἐναλλάσσειν τὴν διαθήκην ἔξεστι καὶ ἕτερον γράφειν κληρονόμον ὃν βούλεται*[7].

40. *Ἐὰν παραγένωνται οἱ μάρτυρες καὶ τὴν ἰδίαν βούλησιν ὁ διαθέμενος εἴπῃ, ἔῤῥωται ἡ ἄγραφος διαθήκη καὶ χωρὶς τοῦ εἰπεῖν αὐτὸν, ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο τοὺς μάρτυρας ἐπὶ τῷ ἀγράφως διαθέσθαι*[8].

41. *Ἐάν τις ἐν ὑγείᾳ διέθετο, ὕστερον δὲ ἀπεχρήσατο ἑαυτὸν, οὐ συνειδήσει πταίσματός τινος ἀλλ' ἢ ὡς τὴν ζωὴν ἀποστρεφόμενος ἢ ὑπὸ μανίας ἢ λύσσης κατεχόμενος, ἔῤῥωται ἡ διαθήκη αὐτοῦ. εἰ δὲ τῆς μελλούσης τιμωρίας ἑκουσίῳ θανάτῳ τὴν κόλασιν προανέτρεψε, βεβαίαν τὴν βούλησιν αὐτοῦ φυλάττεσθαι οἱ νόμοι κωλύουσιν*[9].

42. *Ἐῤῥώσθω ἡ μεταξὺ τῆς μανίας ἐν τοῖς διαλείμμασι διαθήκη, εἰ μὴ ἄρα τὶς ἐν αὐτῷ τῷ διατίθεσθαι κατασχεθῇ*[10].

43. *Ὁ ὑπεξούσιος καὶ ἡ ὑπεξουσία οἱουδήποτε βαθμοῦ ὄντες μηδὲ ἐν τοῖς ἀπροσπορίστοις διατυπούσθωσαν. ὅσοι δὲ ἰδιόκτητον ἔχουσι πεκούλιον, διατιθέσθωσαν εἰς αὐτὸ κατὰ τὴν ἡμετέραν διάταξιν, μήτε τὴν μέμψιν τῆς διαθήκης εὐλαβούμενοι*[11].

44. *Εἰ μὴ τελείαν ποιήσει τὶς βούλησιν, οὐκ ἀκυροῖ τὴν*

---

[1] Cod. VI, 23, 4 ex Epit. [2] Cod. VI, 23, 27 ex Epit. [3] Cod. VI, 23, 10 ex Epit. [4] Basil. XXXV, 1, 13 th. 1. [5] Lege *ἅπασαν ἐναλλαττέτω.* [6] Basil. ibid. 22 th. 2. [7] Attal. XXIII, 16. [8] Bas. XXXV, 2, 21. [9] Bas. XXXV, 3, 2. [10] Bas. eod. 9. [11] Bas. eod. 11. 12.

πρώτην, ὤγε ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην[1].

45. Ὅτι ὁ τὸ πλαστὸν κινήσας καὶ ἐξ ἀποφάσεως ἡττηθεὶς ἀπόλλυσι τὸ καταλειφθὲν αὐτῷ ἐν ἐκείνῃ τῇ διαθήκῃ. ὁ δὲ ἀρξάμενος κινεῖν καὶ ἀποστὰς οὐδὲν ἀπόλλυσιν[2].

Τίτλος κγ'. Περὶ διαθήκης ὑπεξουσίων καὶ στρατιωτικῶν διαθηκῶν καὶ τίνες αὐτῶν μαρτυροῦσι καὶ περὶ καστρεσίων καὶ περὶ διαθήκης ῥηγνυμένης ὑπὸ ἀμνημονεύτων παίδων.

1. Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν τῶν πεκουλίων τὰ μέν ἐστιν ἰδιόκτητα, τὰ δὲ παγανικά. καὶ ἰδιόκτητα μέν ἐστιν, ὅσα ἰδικῶς ἐξ οἰκείου ἐπιτηδεύματος ἢ στρατείας ἢ βαθμοῦ τοῦ οἱουδήποτε ἢ κλήρου κέκτηται· παγανικὰ δὲ, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς ὑπηρεσίας λόγῳ καὶ χρείας ἐδόθησαν ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήθησαν[3].

2. Πολλαὶ δὲ διαφοραὶ παγανικοῦ καὶ ἰδιοκτήτου πεκουλίου. καὶ πρώτη μὲν αὕτη· ὅτι εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον ὁ ὑπεξούσιος διατίθεται, εἰς δὲ τὸ παγανικὸν οὐ δύναται[4].

3. Δευτέρα διαφορά· ὅτι ὁ πατὴρ ἀγανακτήσας κατὰ τοῦ ὑπεξουσίου τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐκέτι[5].

4. Τρίτη διαφορά· ἐὰν πολλοῖς ἐποφείλων τὶς ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν, τὸ μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμῶς[6].

5. Ἐστὶ καὶ τετάρτη διαφορά· ἐάν πολλῶν παίδων ὄντων [ὁ] πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον, τὸ μὲν παγανικὸν κοινὸν ἔσται πάντων τῶν ποτε παίδων ὑπεξουσίων, τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου[7].

6. Τὰ ἀπὸ μακρᾶς ἀποδημίας καὶ χειμερινῆς καὶ καυσώδους ὁδοιπορίας, τουτέστι τὰ ἀπὸ ταξειδίων ἐπιγενόμενα πεκούλια τοῖς ὑπεξουσίοις, ἰδιόκτητά ἐστιν, καὶ δύνανται ἐν

---

[1] Bas. XXXV, 20, 2. [2] Bas. XXXV, 16, 33. [3] Proch. XXII, 1.
[4] Proch. ib. 2. [5] Proch. ib. 3. [6] Proch. ib. 4. [7] Proch. ib. 5.

τούτοις διατίθεσθαι. εἰ γὰρ κατέβαλον οἱ γονεῖς ὑπὲρ αὐτῶν τι, τότε ὀφειλέται εἰσὶν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν ἀντιδοῦναι αὐτοῖς καὶ εἰς τὸ λεῖπον διατίθεσθαι. ὁμοίως δὲ καὶ τὰ ἀπὸ συνεδρείας καὶ συνηγορίας καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα ἰδιόκτητά εἰσιν[1].

7. *Τὸ κανστρίσιον διαιροῦσιν οἱ παλαιοὶ εἰς δύο. τὸ μὲν γὰρ λέγουσι κανστρίσιον κυρίως ὅπερ ἀπὸ μόνης στρατιωτικῆς αἰτίας προσγίνεται, τὸ δὲ κουασικανστρίσιον, ἀντὶ τοῦ ὡσανεὶ κονστρίσιον. οὐ γὰρ μόνον ὃ ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἐπικτᾶταί τις, ἀλλὰ καὶ τὰ ἀπὸ μητρικῆς ἢ ἀδελφικῆς ἢ ἀλλαχόθεν ἐκ διαθήκης ἤ ἐξ ἀδιαθέτου κληρονομίας ἢ ἀπὸ γαμικοῦ κέρδους, καὶ ἁπλῶς ὅσα οὐκ εἰσι παγανικά, πάντα νομίζονται ἰδιόκτητα, καὶ νομίμως ἐπ᾽ αὐτοῖς δύνανται οἱ ὑπεξούσιοι διατίθεσθαι*[2].

8. *Ἰδιόκτητον πεκούλιόν ἐστι καὶ τὸ ἀπὸ ῥόγας κληρικῷ τινι καὶ ἱερατικῷ ὑπάρχοντι ἐπιγινόμενον, καὶ δύναται ἐν τούτῳ ὑπεξούσιος ὢν διατίθεσθαι*[3].

9. *Ἰδιόκτητον πεκούλιόν ἐστι καὶ τὸ τοῖς χαρτουλαρίοις ἢ ἄλλοις τοῖς ἔν τισι βαθμοῖς ὑπάρχουσιν ἀπὸ ῥόγας ἐπιγινόμενον ἢ τῶν λεγομένων συνηθειῶν, καὶ δύνανται καὶ οὗτοι ἐν τούτοις ὑπεξούσιοι ὄντες διατίθεσθαι, εἰ μὴ ἄρα οἱ γονεῖς αὐτῶν ὑπὲρ αὐτῶν τι ἔδωκαν ἐν τῷ εἰσάγεσθαι αὐτοὺς ἐν τοῖς τοιούτοις βαθμοῖς. εἰ γὰρ κατέβαλον οἱ γονεῖς ὑπὲρ αὐτῶν τι, τότε ὀφειλέται εἰσὶν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν ἀντιδοῦναι αὐτοῖς καὶ εἰς τὸ λοιπὸν διατίθεσθαι*[4].

10. *Ὁ ὑπεξούσιος οὔτε κελεύσει τοῦ πατρὸς εἰς τὰ παγανικὰ πεκούλια διατίθεται*[5].

11. *Ὁ ὑπεξούσιος εἰς τὰ στρατιωτικὰ καὶ τὰ ἰδιόκτητα πεκούλια καθαρῶς διατίθεται*[6].

12. *Οὐ δύναται διατίθεσθαι ὁ ὑπεξούσιος. ἐπὶ τοσοῦτον δὲ κεκώλυται, εἰ καὶ ὁ πατὴρ οἷα φιλεῖ γίνεσθαι θεραπεύων αὐτὸν ἐπιτρέψει αὐτῷ ὅσον βούλεται μέρος τῆς αὐτοῦ διαθέσθαι περιουσίας, οὐκ ἔῤῥωται τὸ παρ᾽ αὐτοῦ γενόμενον, εἰ μὴ ἄρα καὶ μετὰ τὸν θάνατον τοῦ παιδὸς ὁ γονεὺς ἐν τῇ αὐτῇ διαμείνῃ γνώμῃ*[7].

13. *Τοῦ στρατιώτου ἡ διαθήκη καὶ ἀτελὴς μείνασα ἔῤῥωται, καὶ ἀνατρέπει τὴν πρὸ αὐτῆς διαθήκην*[8].

---

[1] Proch. ib 6. [2] Epan. XXXV schol. a. [3] Epan. ib. 2. [4] Epan. ib. 3. [5] Attal. XXIII, 6. [6] Att. ib. 17. [7] Epan. XXX, 1. [8] Dig. XXIX, 1, 35 ex Epitome.

14. *Στρατιώτης κατάκριτος γενόμενος οὐ δύναται διατίθεσθαι, εἰ μὴ αἰτήσει βασιλικῇ*[1].

15. *Ἐὰν εἷς τῶν μαρτύρων εὑρεθῇ ἐπὶ μοιχείᾳ κατακεκριμένος, οὔτε κατὰ τῶν πολιτικῶν οὔτε κατὰ τῶν πρακτόρων*[2] *ἔῤῥωται ἡ διαθήκη*[3].

16. *Κωλύονται διατίθεσθαι οἱ ἐν παραφορᾷ ὄντες· καὶ οἱ ἀνήλικοι, τουτέστιν οἱ μὲν ἄῤῥενες ἥττονες τῶν ιε΄ ἐτῶν, ἡ δὲ θήλειαι ἥττονες τῶν ιγ΄ οὖσαι· οἱ*[4] *διὰ παντὸς μαινόμενοι· καὶ οἱ ὑπεξούσιοι ἄνευ τῶν ἰδιοκτήτων αὐτῶν πραγμάτων, εἰς δὲ τὰ ἐκ τῶν γονέων ἐπιδοθέντα αὐτοῖς ὀνόματι προικὸς μὴ ἔχειν αὐτοὺς ἄδειαν διατίθεσθαι· οὔτε οἱ ἐν αἰχμαλωσίᾳ ὄντες· καὶ οἱ ἐκ γενετῆς κωφοὶ καὶ ἄλαλοι· οἱ δὲ ἔκ τινος ἀσθενείας τοιούτοις νοσήμασι περιπίπτοντες, γράμματα γινώσκοντες, ὑπογράφοντες οἰκειοχείρως διατιθέσθωσαν*[5].

17. *Τὰ μέντοι*[6] *πεκούλια ἀφαιρεῖσθαι πολλάκις δύναται παρὰ τοῦ πατρὸς, τὸ δὲ ἰδίοκτητον οὐκέτι*[7].

18. *Ἐάν τις τελευτήσῃ μήτε τὴν ἰδίαν μοῖραν γνωρίσας*[8] *μήτε διακατοχὴν αἰτήσας ἀλλὰ τυχὸν ἀγνοῶν [ὅτι] ἥρμοσεν αὐτῷ μέρος κληρονομίας, οὐ παραπέμπει ἐπὶ τοὺς ἰδίους κληρονόμους τὸ ἀνῆκον αὐτῷ μέρος, δίχα πατρός*[9].

19. *Ὁ κληρονόμος οὐ δύναται μαρτυρεῖν. ὁ δὲ λεγατάριος καὶ ὁ διδόμενος ἐπίτροπος ἐν διαθήκῃ μαρτυροῦσιν*[10].

20. *Ὁ κατὰ δόλον κωλύσας τοὺς μάρτυρας μὴ εἰσελθεῖν ἐκπίπτει τοῦ κλήρου*[11].

21. *Ἐάν τις ἀρνῆται τὴν ἰδίαν σφραγῖδα, ὕποπτος μέν ἐστιν ἡ διαθήκη, ἀνοίγεται δέ*[12].

22. *Ἐάν τις διαθέμενος τὸν δεσπότην χριστὸν γράψῃ κληρονόμον ἢ ἐξ ὁλοκλήρου ἢ ἐκ μέρους, πιστεύεται τῇ ἐκκλησίᾳ τῇ ἐν τῇ πόλει ἢ τῇ κώμῃ τῇ διακειμένῃ*[13], *καὶ οἱ οἰκονόμοι τῆς ἐκκλησίας ἀπαιτεῖν ὀφείλουσι τὸ καταλειφθὲν καὶ περὶ τοὺς πτωχοὺς ταῦτα δαπανᾷν*[14].

23. *Οἱ ἀποστάται μήτε κληρονομείτωσαν παρά τινος, μήτε διατιθέσθωσαν. ἡ δὲ αὐτῶν περιουσία τοῖς ὀρθοδόξοις ἔσται χριστιανοῖς, κἄντε συγγενέσι κἄντε ἄλλοις*[15].

---

1 Dig. XXIV, 1, 32 §. 8 sive XXVIII, 3, 6 §. 5 ex Epit. 2 Lege *κατὰ τὸν πολιτικὸν οὔτε κατὰ τὸν πραίτωρα.* 3 Dig. XXII, 5, 14 ex Epit. 4 Cod. *οἱ δέ.* 5 Ecl. V, 1. 6 Legerim *μὲν παγανικά.* 7 Cf. supra §. 3. 8 Cod. *καὶ μήτε — γνωρίσῃ.* 9 Cod. VI, 51, 1 §. 5. 10 Basil. XXXV, 1, 21. 11 Basil. XXXV, 4, 2 th. 1. 12 Basil. XXXV, 6, 1. 13 Nempe exciderunt nonnulla. 14 Cod. I, 2, 26. 15 Cod. I, 7, 3.

24. Ἀπὸ κανστρεσίου πεκουλίου καλῶς ἐνάγει τῷ πατρὶ ὁ ὑπεξούσιος, ὅτι ἐν τοῖς κανστρεσίοις πεκουλίοις ἀντὶ αὐτεξουσίων εἰσὶν οἱ ὑπεξούσιοι[1].

25. Ὁ ἀγοράζων δοῦλον ὑπεξούσιος ἐκ τῶν αὐτοῦ πεκουλίων καλῶς ἐλευθεροῖ, καὶ αὐτὸς κτᾶται ἐπ᾽ αὐτὸν τὸ πατρωνικὸν δίκαιον.

26. Τὸ κανστρέσιον πεκούλιον οἱ αὐτεξούσιοι τοῖς ὑπεξουσίοις οὐ συνεισφέρουσι. κἂν ὑπεξούσιοι ἦσαν οἱ ταῦτα κτησάμενοι, ἐξαίρετα[2] ταῦτα λαμβάνουσι. κοινωνοὶ δὲ καὶ ταῦτα συνεισφέρουσιν ἀλλήλοις.

27. Πατρὸς δημευθέντος οὐ συνυπάγεται τῇ δημεύσει τὸ κανστρέσιον πεκούλιον τῶν ὑπεξουσίων αὐτοῦ παίδων· οὐδὲ [τὸ] ἐν προικὶ ἐπερωτηθὲν, ἀλλ᾽ ἐκδικεῖται παρὰ τοῦ γαμβροῦ[3].

28. Βασιλικὴ φιλοτιμία κανστρέσιόν ἐστι, καὶ διὰ τοῦτο αἱ στρατεῖαι οὐ συνεισφέρονται[4].

29. Ἐὰν ὑπαγορεύσῃ στρατιώτης διαθήκην καὶ μὴ φθάσῃ γραφῆναι, δεχόμεθα τὰ σημεῖα εἰς διαθήκην, ἐὰν μέντοι νομίμως ἀποδειχθῇ, οὕτω ταῦτα γεγενῆσθαι[5].

30. Ἐὰν υἱὸς ἀμνημόνευτος ἐαθῇ, οὐκ ἔῤῥωται ἡ διαθήκη, κἂν πρὸ τοῦ πατρὸς ἀποθάνῃ· οὔτε ῥήγνυται ἡ προγενομένη[6].

31. Τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους, ἐπεὶ ἀμνημόνευτοι γενόμενοι ῥήσσουσι τὴν διαθήκην, εἰ μὴ ἄρα ἐν αἰχμαλωσίᾳ εἰσίν[7].

32. Ἐὰν ὑπεξούσιος κυοφορούμενος ἀμνημόνευτος ἐαθῇ ἐν διαθήκῃ, καὶ τεχθῇ μὲν, φωνὴν δὲ μὴ ἀφήσῃ, ἢ ὅλως γεννηθῇ ζῶν, κἂν ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν ἢ ἐν ταῖς χερσὶ τῆς ἰατραίνης, ῥήγνυσι τὴν διαθήκην[8].

33. Ἐάν τις ἔχων ἓν γνήσιον τέκνον, καὶ πρὸς πλῆξιν τῶν γονέων ἐργάσηταί τι καὶ ἐν τῷ γήρει ἀπρονοήτους ἐῶν αὐτοὺς προσδράμῃ πρόσωπον ἕτερον ἐξυπηρετοῦν αὐτοῖς, ὡς ὑπ᾽ αὐτοῦ εὐεργετηθέντες κληρονόμον αὐτὸν ἐγκαταλείπειν τῆς οἰκείας θελήσωσιν ὑποστάσεως, ἐῤῥωμένην αὐτῶν ὑπάρχειν τὴν βούλησιν[9].

34. Εἰ μετὰ τὴν τῆς διαθήκης ποίησιν ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἐγκυμονούμενον, αἱ μὲν ἐλευθερίαι καὶ τὰ λεγάτα

---

[1] Cf. Dig. V, 1, 4 in fine. [2] Cod. ἐξ ἕτερα. [3] Cf. Cod. IX, 49, 8. [4] Theod. ad Cod. VI, 20, 20. Basil. XLI, 7, 35 schol. 1. [5] Basil. XXXV, 21, 33. [6] Bas. XXXV, 8, 7. [7] Bas. XXXV, 8, 27. [8] Bas. XXXV, 34. [9] Ecl. V, 6.

κατὰ τὴν τῆς τοιαύτης διαθήκης κρατείτωσαν δύναμιν, τὸ δὲ γεννώμενον συνεισερχέσθω τοῖς λοιποῖς ἀδελφοῖς καὶ συγκληρονομείτω[1].

35. Ἔγγραφος[2] γίνεται διαθήκη, ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ὑπὸ ἑπτὰ ἀξιοπίστων μαρτύρων ἐπὶ τούτῳ προσκληθέντων καὶ ἐν αὐτῇ κατὰ ταὐτὸν ὑπογραφόντων καὶ σφραγιζόντων, τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ὑποσημειώσασθαι, μὴ ἐμφαίνοντος τοῖς μάρτυσι, εἴ βούλεται, τὰ τῆς διατυπώσεως αὐτοῦ.

36. Ἄγραφος συνίσταται διαθήκη, ὅτε ἑπτὰ μαρτύρων ἅμα εὑρισκομένων τὴν αὐτοῦ ὁ διατιθέμενος πεποίηται βούλησιν. εἰ δὲ ἐν ᾧ τις διατίθεται τόπῳ ἐγγράφως ἢ ἀγράφως ζ′ ἐπὶ τῷ αὐτῷ μὴ εὑρίσκονται μάρτυρες, καὶ ἐπὶ πέντε καὶ ἐπὶ τριῶν διατιθέσθω καθ᾽ ἑαυτόν. εἰ δὲ καὶ τρεῖς μὴ εὑρεθῶσιν, ἄκυρον τοῦ διατιθεμένου ὑπάρχειν τὴν βούλησιν.

37. Τῆς δὲ διαθήκης καθὼς εἴρηται ἐντελῶς γινομένης, ἐὰν οἱ γονεῖς τὰ ἑαυτῶν γνήσια τέκνα ἢ καὶ ἓν ἐξ αὐτῶν ἐάσωσι ἀμνημόνευτον, τηρείτωσαν οἱ ἀκροαταὶ, καὶ εἰ πολλάκις εὑρεθῶσιν ἐνυβρίσαντα τοῖς γονεῦσιν ἢ ἕτερόν τι πρὸς πλῆξιν αὐτῶν ἐνδειξάμενα, μενέτω ἀπαρασάλευτος τῶν γονέων ἡ διατύπωσις· εἰ δὲ καὶ μετὰ τὴν τῆς διαθήκης ποίησιν ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἐγκυμονούμενον, αἱ μὲν ἐλευθερίαι καὶ τὰ λεγάτα κατὰ τὴν τῆς τοιαύτης διαθήκης κρατείτωσαν δύναμιν, τὸ δὲ γεννώμενον συνερχέσθω τοῖς λοιποῖς ἀδελφοῖς, καὶ συγκληρονομείτω.

38. Πᾶς κληρονόμος, εἴτε ἐς ἐγγράφου διατυπώσεως ἢ καὶ ἀγράφου παρασυρμὸν καὶ ὑπέρθεσιν μέχρις ἐνιαυτοῦ ποιῶν καὶ τὰ τῆς βουλήσεως μὴ πληρῶν, εἰ μὲν τέκνον ἢ ἔγγονος τοῦ τελευτήσαντος ὁ τοιοῦτος ὑπάρχει, τὴν ἐποφειλομένην αὐτῷ νόμιμον καὶ μόνον κομιζέσθω μοῖραν. ἡ δὲ νόμιμος μοῖρα ἐστὶν ἕως τεσσάρων παίδων τὸ γ′ μέρος τῆς ὑποστάσεως, ἀπὸ δὲ ε′ καὶ ἄνω τὸ ἥμισυ. εἰ δὲ ἕτερός τις συγγενής ἐστι, τῆς τοῦ διατιθεμένου παντελῶς ἐκπιπτέτω περιουσίας, καὶ ταῦτα εἰς τοὺς ἐαθέντας αὐτῷ συγκληρονόμους ἢ λεγαταρίους ἢ καὶ ἑτέρους συγγενεῖς περιέρχεσθαι. εἰ δὲ ξένον πρόσωπόν ἐστιν ὁ κληρονόμος ὁ τὰ τῆς τοιαύτης διατυπώσεως μὴ πληρῶν, τῆς ἁπάσης διακατοχῆς γινέσθω ἀλλότριος.

---

[1] Ecl. V, 5 fin. [2] Quae sequuntur capita, ex Ecl. V, 2—5. 7 desumta solus Lipsiensis praestat.

Τίτλος κδ'. Περὶ διαθήκης ἀπελευθέρων καὶ περὶ προνομίων πατρώνων καὶ περὶ διακατοχῶν.

1. Ἡ συγγένεια ὄνομά ἐστι γενικὸν καὶ καθολικόν· διαιρεῖται δὲ εἰς ἀνιόντας, εἰς κατιόντας καὶ τοὺς ἐκ πλαγίου. ἀλλ' αὗται αἱ τρεῖς συγγένειαι ἐπὶ εὐγενῶν σκοποῦνται, ἐπὶ δὲ τῶν ἀπελευθέρων ἀνιόντας οὐκ ἴσασιν οἱ ἀρχαῖοι· πῶς γὰρ ὁπότ' ἐν δουλείᾳ ἐτέχθησαν; οὔτε τοὺς ἐκ πλαγίου. ὁ γὰρ μὴ ἔχων ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου κέκτηται· ἐξ ἐκείνων γὰρ οὗτοι καταλαμβάνονται. μόνην γὰρ ἔχουσι τὴν τῶν κατιόντων συγγένειαν τουτέστι τῶν συλληφθέντων καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐγγόνων καὶ ἐφεξῆς. ὅθεν ἐὰν ἀπελεύθερος ἀδιάθετος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας, ὁ καὶ συνελευθερωθεὶς αὐτῷ ἢ προελευθερωθεὶς ἢ μετὰ τὸ προελευθερωθῆναι αὐτὸν ἐλεύθερος τεχθείς, ὅπερ ἡμεῖς πρῶτοι καὶ μόνοι νενομοθετήκαμεν, οὗτος κληθήσεται ἐπὶ τὸν κλῆρον· τούτου δὲ μὴ ὑπόντος, τὸν πάτρωνα ἤτοι τὸν ἐλευθερωτὴν ἐπενόησεν ὁ νόμος. εἰ δὲ διαθέμενος μηδὲν κατέλιπε τῷ πάτρωνι ἄπαις ὢν, ἢ ἔχων παῖδας ἢ ἐγγόνους, ἀποκλήρους δὲ αὐτοὺς ποιήσας, ἐτελεύτησε, καὶ μὴ δυνηθῶσιν οὗτοι οἱ παῖδες ἀνατρέψαι τὴν διαθήκην, τότε ὁ πάτρων τὸ τρίτον μέρος λήψεται, ὥστε ληγάτον ἐκ τούτου μὴ ἀναγκάζεσθαι αὐτὸν καταβαλεῖν. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου[1].

2. Πάντες οἱ ἄνθρωποι ἢ ἐλεύθεροί εἰσιν ἢ δοῦλοι. καὶ οἱ μὲν ἐλεύθεροι οὐδένα ἔχουσι τὸν ἐξουσιάζοντα αὐτῶν· οἱ δὲ δοῦλοι τοῖς δεσπόταις καὶ τῇ τούτων ἐξουσίᾳ ὑπόκεινται. καὶ οὗτοι μὲν οἱ δοῦλοι ἓν εἶδός εἰσιν, ἤτοι θεραπευταὶ τῶν δεσποτῶν. οἱ δὲ ἐλεύθεροι διαιροῦνται εἰς δύο. ἢ γὰρ εὐγενεῖς εἰσιν ἀπὸ γεννήσεως, καὶ καθεξῆς ἐλευθέρας τύχης ὑπάρχοντες· ἢ ἀπελεύθεροι, ἤτοι ἀπὸ δούλων γενόμενοι ἐλεύθεροι, καὶ καλοῦνται δυσγενεῖς. ἡ δὲ τοιαύτη διαίρεσις οὐκ ἀσκόπως γέγονεν, ἀλλὰ διὰ τὸ ἔχειν ἕκαστον τούτων ἰδικὸν προνόμιον. καὶ γὰρ ὁ μὲν ἐλεύθερος καὶ ἄπαις ὢν διατίθεται ὡς βούλεται, μὴ ἀναγκαζόμενος παρά τινος ἐξωτικοῦ καταλιπεῖν αὐτῷ τι, πλὴν γονέων ὡς ὀφειλομένων φαλκίδιον· ἀλλὰ

[1] Proch. XXIII, 1, 2.

μήτε ἐν ζωῇ δουλεύειν ἢ σέβεσθαι, ὅνπερ οὐ βούλεται. ὁ δὲ ἀπελεύθερος χρεωστεῖ τιμὴν καὶ προσκύνησιν τῷ πάτρωνι καὶ τῷ τούτου υἱῷ, καὶ τῇ γυναικὶ, καὶ ὑπηρετεῖν αὐτοῖς εἰς τὰς προχείρους δουλείας· καὶ διατιθέμενος, ἐὰν μὴ ἔχῃ παῖδας, ὀφείλει χρεωστικῶς καταλιμπάνειν τὸ τρίτον τῆς οὐσίας αὐτοῦ τῷ πάτρωνι· εἰ δ᾽ οὐ ποιήσει τοῦτο, ἐγκαλεῖ ὁ πάτρων, καὶ δικαιοῦται εἰς αὐτό. εἰ δ᾽ ἄπαις καὶ ἀδιάθετος λειτουργήσει τὸ χρεὼν ὁ ἀπελεύθερος, δέχεται ὁ πάτρων τὴν τούτου ἅπασαν κληρονομίαν, εἰ τάχα καὶ συγγενὴς αὐτοῦ οὐκ ἐστί[1].

3. Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατιόντες καλοῦνται κατὰ νόμους ἐπὶ τὴν τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα κληρονομίαν, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι ε΄ βαθμοῦ[2].

4. Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ δύο πατρωνισσῶν ἢ καὶ πλειόνων ὕπεισι παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα[3].

5. Εἰ δὲ ἑνὸς πάτρωνος εἰσὶ δύο παῖδες, ἄλλου δὲ τρεῖς, εἰς πέντε μερισθήσεται ἡ κληρονομία. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου[4].

6. Περὶ τῶν ἀπελευθέρων ὁ κῶδιξ οὕτως λέγει βι. ς΄ τί. δ΄ διατ. η΄[5]. Ἀπελεύθερος ἔχων οὐσίαν ἥττονα τῶν ρ΄ νομισμάτων ὡς θέλει διατίθεται εἰς αὐτὴν, κἂν ἔχῃ κἂν μὴ ἔχῃ παῖδας. εἰ δὲ μείζονα τῶν ρ΄ νομισμάτων κέκτηται ὑπόστασιν, εἰ μὲν παῖδας ἔχῃ καὶ διάθηται [τὰ] κατ᾽ αὐτὸν, οὐκ ἀναγκάζεταί [τι] καταλιπεῖν τοῖς οἰκείοις πάτρωσιν· εἰ δὲ μὴ διάθηται εἰς τοὺς παῖδας αὐτοῦ, ἀλλ᾽ εἰς ἐξωτικοὺς, τότε ὀφείλει ἐάσαι τὸ τετραούγκιον τοῖς πάτρωσιν ἢ τοῖς διαδόχοις αὐτῶν ἕως τοῦ ε΄ βαθμοῦ. ἐὰν δὲ γράψῃ αὐτοὺς τοὺς πάτρωνας κληρονόμους εἰς πλεῖον τῶν δ΄ οὐγκιῶν, οὐκ ὀφείλει μειῶσαι λεγάτοις τὰς κεχρεωστημένας αὐτοῖς δ΄ οὐγκίας. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ ὁ ἀπελεύθερος καὶ ἄτεκνος, οἱ πάτρωνες αὐτοῦ λαμβάνουσι πάντα τὰ ὑπάρχοντα αὐτῷ. εἰ δὲ παῖδας κατέλειψεν, οὐ λήψονται οἱ πάτρωνες πλέον τῶν δ΄ οὐγκιῶν ἐκ τῆς οὐσίας αὐτοῦ, καὶ τότε, ἐὰν ἡ οὐσία ὑπερβαίνῃ τὰ ρ΄ νομίσματα· εἰ γὰρ ἐλάττων ᾖ, οὐδὲν ὅλως λαμβάνουσιν[6].

---

[1] Attal. l, 1. 2. [2] Proch. h. t. 3. [3] Proch. h. t. 4. [4] Proch. h. t. ibid. [5] Paris. 1351 A addit rubricam: *Καὶ περὶ καθηκούσης διαθήκης καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι καὶ περὶ μέμψεως αὐτῆς.*
[6] Epan. XXXVII schol. d.

7. Ὁ ἀμελῶν τοῦ ἰδίου ἀπελευθέρου ἀῤῥωστοῦντος, ἀπόλλυσι τὰ κατ᾽ αὐτὸν πατρωνικὰ δίκαια. ὁμοίως καὶ ὁ περιφρονηθεὶς οὗτος δοῦλος ἐλευθεροῦται[1].

8. Ὁ υἱὸς τοῦ πάτρωνος ἕλκων εἰς δουλείαν τὸν ἀπελεύθερον ἢ κατηγορῶν αὐτοῦ κεφαλικῶς ἀπόλλυσιν ἃ ἔχει κατ᾽ αὐτοῦ πατρωνικὰ δίκαια. εἰ δὲ ἐξ ἀχαριστίας, καλῶς καταδουλοῖ τὸν ἀπελεύθερον[2].

9. Τιμᾶν ὀφείλει ὁ ἀπελεύθερος τὸν υἱὸν τοῦ ἰδίου πάτρωνος, οὐ καταδουλοῦται δὲ ἐξ αὐτοῦ, εἰ μὴ ἄρα ὤφθη παρ᾽ αὐτοῦ ἀχάριστος[3].

10. Ὅτι ἐὰν οἱ ἀπελεύθεροι οὐχ ἧττον ἔχωσι περιουσίαν τῶν ρ´ νομισμάτων, οὐδεμία χώρα δίδοται τῷ πάτρωνι εἰς τὸ κληρονομῆσαι διαθήκης ὑποκειμένης[4].

11. Ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην καὶ ὡς ἐξ ἀδιαθέτου κληρονομήσῃ, κἂν τελευτήσῃ, ἀφαιρεῖται τοῦ κληρονόμου πᾶσα ἡ τοῦ πατρὸς κληρονομία[5].

12. Οὐδεὶς δύναται γράψας διαθήκην ἑαυτῷ προσγράψαι ληγάτον. ὁ δὲ συνομολογῶν ἀγνοεῖν τὸν νόμον, καὶ ἐπαγγειλάμενος μὴ λαμβάνειν τὸ καταλελειμμένον ἑαυτῷ οὐχ ὑποπίπτει τῇ ἀπὸ τοῦ περὶ πλαστογραφίας νόμου τιμωρίᾳ[6].

13. Ὁ κινήσας τὴν κατὰ τῆς διαθήκης μέμψιν, καὶ ἡττηθεὶς, ἐκπίπτει τοῦ ἐκ τῆς διαθήκης καταλειφθέντος αὐτῷ[7].

14. Οἱ σπούριοι κατὰ τῆς μητρῴας διαθήκης κινοῦσι τὴν μέμψιν. ἐὰν δὲ καὶ μετὰ προκάταρξιν τῆς κατὰ τῆς διαθήκης μέμψεως γένηται διάλυσις, μένει ἡ διαθήκη ἐῤῥωμένη[8].

15. Οἱ ἀδελφόπαιδες οὐ κινοῦσι κατὰ τῆς τῶν θείων διαθήκης μέμψιν. οὐδεὶς γὰρ τῶν ἐκ πλαγίου συγγενῶν ὑπεξηρημένου ἀδελφοῦ ἢ ἀδελφῆς τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖ· ὡς πλαστὴν δὲ καὶ οὗτοι δύνανται διαβάλλειν τὴν διαθήκην. ὅτι καὶ οἱ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν[9].

16. Ἐὰν ὁ διαθέμενος υἱοθετήσῃ τὸν γεγραμμένον κληρονόμον, οὐ ῥήγνυται ἡ διαθήκη[10].

---

[1] Cod. VI, 4, 4 ex Epit. [2] Cod. ibid. [3] Cod. VI, 6, 5 ex Epit. [4] Theoph. III, 7, 3 ex Epit. [5] Basil. LX, 41, 26. [6] Bas. ib. 61. [7] Bas. XXXIX, 1, 8 th. 15. [8] Bas. ib. 25 th. 2. 3. [9] Bas. ib. 48. [10] Bas. XXXIX, 2, 18.

Τίτλος κε΄. Περὶ ἀνατροπῆς διαθήκης καὶ περὶ μέμψεως αὐτῆς.

1. *Ταῖς διαθήκαις τρία πάθη παρενοχλεῖ, ῥῆξις, ἀκυρωσία καὶ ἀτέλεια. ἀλλ' αἱ μὲν ῥηγνύμεναι ἢ καθόλου ῥήγνυνται ἢ ἐκ μέρους. καὶ καθόλου μὲν κατὰ ἓξ τρόπους. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν τὶς μετὰ τὴν ποίησιν τῆς διαθήκης εἰς υἱοθεσίαν τινὰ λάβῃ καθ' οἱονδήποτε τρόπον τῆς υἱοθεσίας*[1].

2. *Ὁ δεύτερος, ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διαθεμένου υἱὸς τεχθῇ ἢ ἐξ ὑπεξουσίου υἱοῦ θανόντος ἔγγονος, κἂν μετὰ τοὺς ὡρισμένους κληρονόμους πρόσκειται ἐν τῇ διαθήκῃ οὕτως· ἔστωσαν ἀπόκληροι· εἰ μὴ ἄρα ληγατευθῇ, ἢ ἐκτρώσῃ ἡ τίκτουσα*[2].

3. *Ὁ τρίτος, ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ*[3].

4. *Ὁ τέταρτος, ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμον, εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν*[4].

5. *Ὁ πέμπτος, ὅταν δευτέρα διαθήκη κατὰ νόμους γενομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσῃ, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης*[5].

6. *Ὁ ἕκτος, ὅταν στρατιώτου υἱὸς ἐγκυμονούμενος παρ' αὐτῷ ἐν τῇ ποιήσει τῆς διαθήκης ἠγνοήθη. εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη*[6].

7. *Ἐκ μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν ἡ δευτέρα διαθήκη τὰ μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμον εἰς τὰ ὡρισμένα πράγματα κατέστησεν. ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιεῖ τὸν φαλκίδιον*[7].

8. *Ὁ δεύτερος, ὅταν τὶς θυγατέρα ὑπεξουσίαν ἔχῃ ἢ ἔγγονον ἢ ἐγγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους. τότε ἡ μὲν διαθήκη οὐ ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται. καὶ εἰ μέν ἐστι ἡ κληρονομία γραφεῖσα εἰς*

---

[1] Proch. XXV, 1. 2. [2] Proch. h. t. 2. [3] Proch. ibi. [4] Proch. ibi. [5] Proch. ibi. [6] Proch. ibi. [7] Proch. h. t. 3.

ἐξωτικοὺς τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν, εἰ δὲ εἰς οἰκείους, ἐπίσης πάντες[1].

9. Αἱ δὲ ἀκυρούμεναι διαθῆκαι κατὰ δ΄ τρόπους γίνονται. καὶ πρῶτος τρόπος, ὅταν ὁ διαθέμενος καταδικασθῇ θανάτῳ ἢ ἐξορισθῇ, ἢ αὐτεξούσιος ὢν εἰς υἱοθεσίαν ἑαυτὸν ἑτέρῳ παράσχῃ ἢ ὑπεξούσιος ὢν αὐτεξούσιος γέγονεν[2].

10. Ὁ δεύτερος, ὅταν δευτέρας ἐννόμου γραφείσης διαθήκης τότε ἡ μὲν πρώτη ῥήγνυται, ἡ δὲ δευτέρα ἀκυροῦται δι' αἰτίαν τῶν πεφυκότων κληρονομεῖν, τουτέστιν ὅταν ἀποτάξωνται τὴν κληρονομίαν ἢ ὅταν προτελευτήσωσι τοῦ διαθεμένου, ἢ ὅταν μετὰ τελευτὴν τοῦ διαθεμένου πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τελευτήσωσιν, ἢ ὅταν ὑπὸ αἵρεσιν ἐγράφησαν καὶ ἡ αἵρεσις ἠτόνησεν[3].

11. Τρίτος δὲ τρόπος, ὅταν τὶς δίκην ἔχων πρός τινα τὸν βασιλέα κληρονόμον ποιήσῃ ἐγγράφως ἢ ἀγράφως, εἰ μὴ ἄλλως πως κατὰ νόμους κληρονομῇ αὐτὸν ὁ βασιλεύς. εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς οὐχ ὑπόκεινται, ἀλλ' οὖν κατὰ νόμους πολιτεύονται[4].

12. Τέταρτος τρόπος, ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν οὕτως, ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι. τὰ γὰρ κατὰ νόμους γινόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ[5].

13. Ἀλλὰ καὶ τῶν ἀκυρουμένων ὁ μὲν πρῶτος τρόπος δοκεῖ ἀμφίβολος. εἰ μὲν γὰρ ὁ καταδικαζόμενος θανάτῳ ἢ περιοριζόμενος δημευθῇ, πάντως ἡ διαθήκη ἄκυρος ἔσται, ὥσπερ εἰ καὶ ἐμπρησθέντος αὐτοῦ ἢ ναυαγήσαντος ἢ ἄλλως πως πτωχεύσαντος ταὐτὸ συνέβη. σωζομένης δὲ καὶ [μὴ] δημευομένης τῆς ὑποστάσεως, πῶς καὶ ὑπὸ τίνος ἡ διαθήκη ἀνατραπήσεται; ὁ δὲ εἰς υἱοθεσίαν διδοὺς ἑαυτὸν αὐτεξούσιος, εἰ μὲν ἑκὼν καὶ τὴν ἑαυτοῦ οὐσίαν ὑπὸ τὴν τοῦ υἱοθετοῦντος ἐξουσίαν πεποίηκεν, αὐτὸς πάντως καὶ οὐχ ἡ υἱοθεσία τὴν ἑαυτοῦ διαθήκην ἠκύρωσεν. εἰ δὲ καταδουλῶν ἑαυτὸν τὴν αὐτοῦ ὑπόστασιν ἐλευθέραν μένειν βεβούληται, τίς ἐστιν ὁ ἀκυρώσας τὴν διαθήκην; περὶ δὲ τῶν ὑπεξουσίων προείρηται, ὅτι εἰς μόνα τὰ καστρίσια πεκούλια δύνανται διατίθεσθαι, καὶ ἡ εἰς ταῦτα αὐτῶν διαθήκη καὶ αὐτεξουσίων αὐτῶν γενομένων πολλῷ μᾶλλον ἔῤῥωται. εἰ δὲ τὸ ἐνταῦθα κείμενον περὶ διαθήκης φησὶν ὑπ' αὐτῶν γενομένης ἐφ' οἷς ἐξουσίαν οὐκ ἔχουσι,

---

[1] Proch. ibi. [2] Proch. h. t. 4. [3] Proch. ibi. [4] Proch. ibi. [5] Proch. ibi.

παντάπασι μάταιον· τοῦτο γὰρ καὶ ἐπὶ πάντων αὐτεξουσίων[6].

14. Ὁ δὲ δεύτερος τρόπος δοκεῖ πως ὑγιὴς, εἴγε ἀντιπροστεθείη ἐπὶ τῶν προτελευτησάντων καὶ μάλιστα πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τὸ „κληρονόμους οὐκ ἔχοντες“· εἰ γὰρ ἔχουσι, παραπέμπουσιν αὐτοῖς τῆς κληρονομίας τὸ δίκαιον κατὰ μὲν τὸν νόμον οἱ κατιόντες μόνον, κατὰ δὲ τὴν πρᾶξιν καὶ οἱ ἐξωτικοί. ὁ δὲ [τρίτος] τρόπος δικαιότατος καὶ ἐννομώτατος καὶ καλῶς κείμενος, εἰ μόνον φυλάττεται[1].

15. Ὁ τέταρτος δὲ τρόπος, ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν οὕτως, ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι· τὰ γὰρ κατὰ νόμους γινόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ[3].

16. Τὸ μὲν ἀποσφραγίσαι τοῦ κώδικος· τὸ δ᾽ εἰπεῖν· ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλεται, τῶν ἰνστιτούτων μὲν, ἀλλὰ μᾶλλον ἐπὶ τῷ μὴ ἀνατρέπειν ἐκεῖσε κείμενον. οὕτω γὰρ αὐτῷ καὶ ὁ κανὼν ἁρμόζει. δεῖ οὖν, εἰ ἔξεστιν αὐτὰ ἑνωθῆναι, τοῦτο προσθεῖναι· εἰ γὰρ οὐκ ἀπεσφράγισε μὲν, εἶπε δὲ οὕτως ἁπλῶς, ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι, οὐκ ἔστιν ἀνίσχυρος ἡ διαθήκη· καὶ οὕτως ὑπάγει κατὰ νόμους[4].

17. Αἱ δὲ ἀτελεῖς διαθῆκαι κατὰ ε΄ τρόπους νοοῦνται. καὶ πρῶτος μὲν τρόπος, ὅταν μὴ παρόντων ε΄ ἢ ζ΄ μαρτύρων κατὰ τὰ παρ᾽ ἡμῶν νομοθετηθέντα γένηται ἡ διαθήκη[5].

18. Ὁ δεύτερος δὲ, ὅταν παρόντων οὐ πάντες ὑπέγραψαν[6].

19. Ὁ τρίτος, ὅταν πάντες μὲν ὑπέγραψαν, πάντες δὲ οὐκ ἐσφράγισαν[7].

20. Τέταρτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα μὴ γράψας οὐκ ἐμνημόνευσεν ἐπὶ τῶν μαρτύρων[8].

21. Ὁ πέμπτος, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους υἱοὺς ἢ ἐγγόνους ἐξ ὑπεξουσίων παίδων τελευτησάντων ἔχων τὶς τούτους οὔτε κληρονόμους οὔτε ἀποκλήρους ἔγραψε, κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγενομένων ἰσχὺν λαμβάνειν οὐ δύνανται[9].

22. Τῶν δ᾽ ἀτελῶν ὁ μὲν πρῶτος καὶ ὁ τέταρτος τρόπος πάνυ ὑγιής. ὁ δεύτερος δὲ καὶ ὁ τρίτος καὶ αὐτοὶ μὲν νόμιμοι, πλὴν ἀμφιβολίας τινὰς ἔχοντες. ἀπορεῖται γὰρ, εἰ ἄρα

[1] Epanag. XXXII schol. d. [2] Epanag. ibid. [3] Proch. h. t. 4 in fine. [4] Epan. cit. schol. e. [5] Proch. h. t. 5. [6] Proch. ibi. [7] Proch. ibi. [8] Proch. ibi. [9] Proch. ibi.

κατὰ τὴν τοῦ γράμματος ψιλὴν τοῦ νόμου διάνοιαν, εἰ μὴ πάντες ὑπογράψουσιν ἢ σφραγίσουσιν, ἀσθενήσει τὰ τῆς διαθήκης παντάπασι, καὶ ταῦτα τῶν μαρτύρων ἔτι περιόντων καὶ τότε πλειόνων, ἀλλὰ καὶ ἀξιοπίστων καὶ δυναμένων ἀγράφως ἀπαγγεῖλαι τῆς διαθήκης τὴν δύναμιν, καὶ τὸ πλέον ἡνίκα ἐν χώραις καὶ πόλεσιν ἡ διαθήκη συνέστη, καθ᾽ ἃς ὁ νόμος ἠγνόηται, ἢ καὶ τῆς αὐτοῦ γνώσεως ἐπικρατεστέρα ἐστί τις ἄλλη συνήθεια. περὶ δὲ τοῦ πέμπτου τρόπου ἤδη προείρηται. ἀλλὰ καὶ τό· κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι, ὑπὸ τῆς νεαρᾶς σιωπηρῶς οἶμαι ἀνήρηται. εἰ γάρ, ὡς ἐκείνη φησί, καὶ αὐτοὶ ζῶντες ἀμνημόνευτοι ἢ ἀλόγως ἀπόκληροι καὶ περὶ τούτου ἐνάγοντες οὐχ ὅλην τὴν διαθήκην, ἀλλὰ μόνην τὴν ἔνστασιν ἀνατρέπουσι, τίς ἄρα ἕτερος πλὴν τῶν κατιόντων ἢ κατὰ μέρος ἢ ὅλην ἀνατρέψαι τὴν διαθήκην δυνήσεται[1];

23. Ὁ ἐπιμείνας μέχρις ἀποφάσεως κινῶν τὸ πλαστὸν κατὰ τῆς διαθήκης, ἐὰν ἡττηθῇ, οὐδὲν ἐξ αὐτῆς λαμβάνει, ἀλλ᾽ εἰς τὸν φίσκον ἔρχονται τὰ καταλελειμμένα[2].

24. Πατὴρ καὶ μήτηρ καὶ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν, οὐ μὴν καὶ οἱ λοιποὶ συγγενεῖς[3].

25. Ἰστέον, ὅτι ἐὰν παραλειφθῇ ἡ μήτηρ ὑπὸ τοῦ αὐτῆς παιδὸς διαθεμένου ἢ ἀλόγως ἀπόκληρος γένηται, ἔχει κατὰ τῆς διαθήκης τὸ περὶ μέμψεως. δεῖ γὰρ τὸ νόμιμον αὐτῇ μέρος καταλειφθῆναι[4].

26. Τῆς διαθήκης εἰς μέρος ἀνατρεπομένης ἐκ τῆς δινοφικιόσο ἤγουν μέμψεως ἰσχύουσιν [αἱ] ἐν αὐτῇ ἐλευθερίαι καὶ τὰ ληγάτα.

27. Ἡ διόρθωσις δὲ τῆς δινοφφικιόσο ἤγουν τῆς μέμψεώς ἐστι τὸ γ΄ τῆς ὑποστάσεως τοῦ τετελευτηκότος.

28. Τὰ μεταξὺ ἀλλήλων κρινόμενα ἄλλους οὐ καταβλάπτει.

29. Ὁ λαβὼν ληγάτον ἐν διαθήκῃ [οὐ δύναται] δινοφφικιόσο κατ᾽ αὐτῆς κινεῖν, ὅτι ἠσπάσατο τὴν τοῦ πατρὸς βούλησιν. ὁ δὲ ἀγνοήσας τὸ κληρονόμος εἶναι καὶ λαβὼν δύναται ὡς πλαστῆς αὐτῆς κατηγορῆσαι καὶ τὸ νόμιμον δίκαιον αἰτεῖν[5].

30. Ὁ ἐναγόμενος τὸ δινοφφικιόσο καὶ ἡττώμενος οὐκ ἐπιτρέπει[6] τοῦ εἶναι κληρονόμος.

---

[1] Epan. cit. schol. f. [2] Cod. VI, 35, 8 ex Epitome, ex qua similiter quae sequuntur usque ad §. 45 desumta esse videntur. [3] Cf. Basil. XXXIX, 1, 1 th. 1. [4] Theod. Nov. 2 §. 4. [5] Dig. XXXIV, 9, 5 pr. §. 1. Cf. Basil. LX, 42, 5 c. schol. [6] Epit. ἐκπίπτει.

31. Ἐὰν ὑπὸ αἵρεσιν γραφῇ κληρονόμος ὁ κυοφορούμενος, καὶ πρὶν ἢ τεχθῇ ἐξέλθῃ ἡ αἵρεσις, οὐ ῥήγνυσι τὴν διαθήκην τὸ ἐπὶ γεννήσει αὐτοῦ[1].

32. Καὶ κατὰ διαθήκης θετῶν πατέρων κινεῖται δινοφφικιόσο τουτέστι μέμψις, εἰ μὴ διελύθη ἐμαγκιπατίωνι τοῦ παιδὸς, τουτέστι τῇ αὐτεξουσιότητι. καὶ ὁ διαλυσάμενος πρὸ τῆς δινοφφικιόσο δύναται ὡς πλαστῆς κατηγορῆσαι αὐτῆς.

33. Εἴσω μὲν ἓξ ἐνιαυτῶν κινουμένης τῆς δινοφφικιόσο καὶ κρατούσης οὐκ ἰσχύουσιν αἱ διδόμεναι ἐν τῇ διαθήκῃ ἐλευθερίαι· μετὰ δὲ ε´ ἐνιαυτοὺς κινουμένης αὐτῆς καὶ ἀνατρεπούσης τὴν διαθήκην ἁρμόζει ἑκάστῳ ἡ ἐλευθερία[2].

34. Ὁ τικτόμενος ὑπεξούσιος, κἂν ἀτελὴς ᾖ ἀναπνέων μέντοι, καὶ ἐκτομίας ῥήσσει τὴν διαθήκην. ὁμοίως καὶ ὁ τῷ ἑτέρῳ καιρῷ τεχθεὶς[3].

35. Ἐὰν τὴν γενομένην ὀρθῶς διαθήκην ἕτερός τις διαῤῥήξει παρὰ γνώμην τοῦ διαθεμένου, οὐδὲν τῶν ἐν αὐτῇ ἀνατρέπεται[4].

36. Ἐάν τις δευτέραν ποιήσας διαθήκην σχίσῃ αὐτὴν, ἵνα ἐκ τούτου ἡ πρώτη κρατῇ, βεβαιοῦται ἡ πρώτη[5].

37. Ὁ ἐξ υἱοῦ ἔγγονος [ἀπο]κληρονόμος ὑπὸ τοῦ πάππου γενόμενος οὐδὲ ἐπαναβαίνων τοῦ τόπου τοῦ πατρὸς ἀφανίζει τοῦ πάππου τὴν διαθήκην[6].

38. Πᾶσα διαθήκη μαχομένη τῷ νόμῳ ἀνατρέπεται.

39. Ἀνατρέπεται διαθήκη, ὅταν υἱὸς ἢ θυγάτηρ οὐ μνημονεύηται ἐν αὐτῇ.

40. Εἰ δὲ καὶ ἐντελῶς γενομένων τῶν διαθηκῶν ἢ οἱ γονεῖς τῶν γνησίων αὐτῶν τέκνων ἕνα τῶν[7] ἐν διαθήκαις ἀμνημόνευτον ἐάσουσιν, ἢ καὶ ζώντων τῶν γονέων μετὰ τὴν ποίησιν τῆς διαθήκης γεννηθείη αὐτοῖς τέκνον, ἢ καταλειφθῇ ἐγκυμονούμενον καὶ εἰς φῶς προέλθῃ, τὰ μὲν ληγάτα καὶ αἱ ἐλευθερίαι κατὰ τὴν διαθήκην κρατείτωσαν, ἡ δὲ τῆς κληρονομίας ἔνστασις ἀκυρούσθω, καὶ οἱ μνημονευθέντες παῖδες ἢ καὶ ὁ παῖς ὡς ἐξ ἀδιαθέτου εἰς διαδοχὴν τῶν τοιούτων γονέων ὑπεισίτωσαν[8].

---

[1] Dig. XXVIII, 2, 22. — Lege: οὐ ῥήγνυται ἡ δ. τῇ ἐπιγεννήσει. [2] Dig. V, 2, 8 §. 17 et l. 9. [3] Dig. XXVIII, 2, 12 §. 1. [4] Cf. Dig. XXXVII, 11, 1 §. 10. [5] Dig. XXXVII, 11, 11 §. 2. [6] Cf. Dig. XXVIII, 3, 6 §. 3. 4. [7] Lege ἓν αὐτῶν. [8] Ecl. V, 5.

41. Ὁ κατὰ δόλον κωλύσας τοὺς μάρτυρας μὴ εἰσελθεῖν ἐκπίπτει τοῦ κλήρου[1].

42. Τὰ παραχαραγέντα ἢ παρασφραγισθέντα ἢ ἀπολειφθέντα, εἰ μὲν κατὰ πρόνοιαν ἢ εἴδησιν τοῦ διαθεμένου, ἄκυρά εἰσιν· εἰ δ' ἄλλως, ἔῤῥωται, καὶ ᾧτινι[2] μέρει τῆς διαθήκης εἶπεν αὐτὸς ταῦτα πεποιηκέναι. τότε δὲ ἀπαιτοῦνται, ὅτε θεωρεῖσθαι καὶ ἀναγινώσκεσθαι δύνανται, ἢ ἀποδειχθῆναι κἂν μὴ ἀναγινώσκωνται· ἐπειδὴ καὶ ἡ διαθήκη εἰ μὲν καὶ φαίνεται, ἔῤῥωται τὰ ἐν αὐτῇ· ἀλλὰ τότε, ὅτε μετὰ τὸ πληρωθῆναι τὴν διαθήκην τὰ λεχθέντα γέγονεν[3].

43. Ὁ τεχθεὶς νεκρὸς οὔτε γεννᾶσθαι δοκεῖ οὔτε παῖς λέγεται[4].

44. Τῶν αἰχμαλώτων αἱ διαθῆκαι, εἰ καὶ γίνονται ἄκυροι, ὅμως, ὅτε ὑποστρέψουσι, βεβαιοῦνται διὰ τοῦ δικαίου τῆς ὑπογραφῆς[5], εἴτε τελευτήσουσιν ἐκεῖ διὰ τοῦ νόμου βεβαιοῦνται[6].

45. Ὁ κλέψας διαθήκην ἢ κρύψας ἢ ἁρπάσας ἢ ἀπαλείψας ἢ ὑποβαλὼν ἢ ἀποσφραγίσας ἢ κατὰ δόλον ἀναγινώσκων, ἢ δολερῶς παρασκευάσας ταῦτα γίνεσθαι, τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκειται[7].

46. Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπὴν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει, καὶ οὔτε διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ὑπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ εἰς αὐτὸν περιῆλθον[8].

47. Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ κατ' αὐτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν[9].

48. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὴν ἐξ ἀδιαθέτου, τουτέστι τὸ φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ[10].

---

[1] Basil. XXV, 4, 2. [2] Lege κἂν ἔν τινι. [3] Basil. XXXV, 7, 1. [4] Bas. II, 2, 124. [5] Lege ὑποστροφῆς. [6] Bas. XXXIX, 2, 6 th. 8. [7] Bas. LX, 41, 2. [8] Proch. XXIV, 1. [9] Proch. ib. 2. [10] Proch. ib. 3.

Τίτλος κς'. Περὶ νόθων καὶ εὐγενῶν καὶ περὶ ὑπεξουσιότητος καὶ λύσεως αὐτῆς, περὶ αὐτεξουσιότητος καὶ περὶ υἱοθεσιῶν καὶ περὶ εὐνούχων.

1. *Τῶν τικτομένων οἱ μὲν ἐξ ἐννόμων γάμων τίκτονται, οἱ δὲ ἐκ πορνείας. καὶ οἱ μὲν ἀπὸ ἐννόμων γάμων τικτόμενοι τῷ πατρὶ ἕπονται, ἤτοι ὑπεξούσιοί εἰσι τοῦ πατρός· οἱ δὲ ἐκ πορνείας τῇ μητρὶ ἀκολουθοῦσι, καὶ παρ' ἐκείνης τρέφονται καὶ ἀνάγονται καὶ πατρὶ οὐχ ὑπόκεινται· καὶ ἀποθανοῦσαν μὲν κληρονομοῦσιν αὐτήν, ἀποθανόντες δὲ οἱ παῖδες ἄπαιδες καὶ ἀδιάθετοι, ἐὰν ἔχωσι περιουσίαν, κληρονομοῦνται παρ' αὐτῆς. ἀπὸ δὲ τοῦ σπορέως οὐκ ἔχουσι προνόμιον ζητεῖν κληρονομίαν ἢ λεγάτον, οὔτε ὁ σπορεὺς ἐξ αὐτῶν*[1].

2. *Οἱ πορνογενεῖς οὐ μόνον τῆς μητρὸς ἀλλὰ καὶ τῶν κατὰ μητέρα συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται*[2].

3. *Ἡ δὲ ἰλλούστρια νομίμους ἔχουσα παῖδας καὶ πορνογενεῖς [οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογενέσιν] οὔτε ζῶσα οὔτε τελευτῶσα*[3].

4. *Οἱ πορνογενεῖς ἀδελφοὶ καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὴν μητέρα τὴν συγγενικὴν βοήθειαν ἔχουσι καὶ ἡ μήτηρ πρὸς αὐτούς*[4].

5. *Τὰ αὐτὰ καὶ περὶ τῆς ἐλευθερωθείσης ἐγκύου δούλης*[5].

6. *Ἡ τοῦ πορνογενοῦς κληρονομία οὐκ ἀνήκει τοῖς κατὰ πατέρα συγγενέσιν· οὐ γὰρ ἔχει πατέρα· τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς δίδοται ἡ συγγενικὴ βοήθεια*[6].

7. *Εἴ τις ἔνδοξος γυνὴ υἱὸν ἀπὸ τῶν νομίμων γάμων ἔτεκε, καὶ ἄλλον πορνογενῆ ἔσχεν, ᾧτινι πατὴρ ἄδηλός ἐστιν, ἐπεὶ κατὰ ποῖον τρόπον τὰ πράγματα τῆς μητρὸς πρὸς αὐτοὺς ἔρχονται, εἴτε μόνον εἰς τοὺς νομίμους παῖδας εἴτε καὶ εἰς τοὺς πορνογενεῖς, ἀμφιβάλλεται, θεσπίζομεν, ἵνα μήτε ἐκ διαθήκης μήτε ἐξ ἀδιαθέτου μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γενομένης νομίμων παίδων ὑπόντων τίποτε παντελῶς ἐκ τῶν ἐνδόξων μητέρων εἰς τοὺς πορνογενεῖς ἔλθῃ· ἐπειδὴ ἐν ταῖς γυναιξὶ ταῖς εὐγενέσι καὶ ταῖς ἐνδόξοις, αἷστισιν ἡ τῆς σωφροσύνης*

---

[1] Attal. I, 1. [2] Phot. XIII, 5. [3] Phot. ibid. [4] Bals. ad Phot. l. l.
[5] Bals. l. l. [6] Bals. l. l.

παραφυλακῇ ἐξαίρετόν τι χρέος ἐστὶ, καὶ ὀνομάζεσθαι τοὺς πορνογενεῖς πάνυ ἄδικον, πάνυ σφοδρὸν καὶ τῶν ἡμετέρων καιρῶν ἀνάξιον κρίνομεν, καὶ τοῦτον τὸν νόμον αὐτῇ τῇ σωφροσύνῃ, ἣν διὰ παντὸς ἐπιμελητέαν κρίνομεν, ἀξίως καθιεροῦμεν[1].

8. Ὁ ἐξ ἐννόμου γάμου τικτόμενος τῷ πατρὶ ἕπεται, ὁ δὲ πορνογέννητος τῇ μητρὶ ἀκολουθεῖ[2].

9. Ὁ μὴ ἀπὸ νομίμου γάμου τικτόμενος τῇ μητρὶ ἕπεται, εἰ μὴ νόμος ἰδικὸς ἕτερόν τι ὁρίζει[3].

10. Ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα υἱὸν ἢ θυγατέρα ἀπὸ συνηθείας πρὸς ἄνθρωπον ἐλεύθερον γενομένης ἐκύησε, τούτους μετὰ τῶν νομίμων παίδων εἰς τὰ μητρῷα ἐλθεῖν πράγματα, ἅτινα δὴ νομίμῳ δικαίῳ καὶ ἐν ἰδίᾳ οὐσίᾳ κέκτηται, οὐδεὶς φθόνος[4].

11. Οἱ δὲ ἐκ τῶν ἐννόμων γάμων τικτόμενοι καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς κληρονόμοι καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου γίνονται. καὶ ὑποτάσσονται δὲ τῷ πατρὶ, καὶ ὅσα ἂν ἐξ ἰδιωτικῶν ὑποθέσεων ἐπισυναγάγωσι τῷ πατρὶ προσπορίζουσι, καὶ ὁ πατὴρ ἔχει ἐξουσίαν ἀναλαμβάνεσθαι ταῦτα ἐξ αὐτῶν. καὶ σωφρονίζειν αὐτοὺς δύναται, καὶ διὰ λόγων καὶ διὰ πληγῶν καὶ δι' ὕβρεων. καὶ χωρὶς γνώμης καὶ ὁρισμοῦ καὶ θελήσεως καὶ προτροπῆς αὐτοῦ γάμον συναλλάξαι οὐ δύνανται, οὔτε ἀποδημῆσαι· εἰ μὴ ἐκστρατεία τούτους καλεῖ. τότε γὰρ τοῦ μὲν πατρὸς καὶ πάλιν εἰσὶν ὑπεξούσιοι, ὅσα δὲ ἀπὸ στρατιωτικῶν ἀφορμῶν ἐπικτήσονται, ἴδια πεκούλια ταῦτα ἔχουσι καὶ τῷ πατρὶ οὐ προσπορίζουσι καθὼς προείρηται[5].

12. Δεῖ λοιπὸν καὶ περὶ καταστάσεως ἐναλλαγῆς ὅπως εἰς τὸ χεῖρον ἄνθρωποι εὐγενεῖς καὶ ἐλεύθεροι καταφέρονται εἰπεῖν. τρεῖς εἰσι καταστάσεως ἐναλλαγαὶ, μεγάλη, μέση καὶ ἐλαχίστη· τρία γάρ εἰσιν, ἅπερ ἔχομεν· ἐλευθερία, πολιτεία καὶ συγγένεια. ἡ τοίνυν μεγάλη, ἤτοι περιορισμὸς, τὰ τρία φθείρει. ὁ γὰρ περιοριζόμενος οὔτε ἐλευθερίαν εἶχε τὸ παλαιὸν, ἀλλ' εἰς μέταλλον εἰργάζετο ὀρύττων θεῖον ἢ σίδηρον, οὔτε πολιτείαν. μέχρι γὰρ τοῦ νῦν δημεύεται, καὶ οὐ πολιτεύεται· τῷ δὲ περιορισμῷ καὶ δήμευσις ἕπεται. καὶ οὔτε διατίθεσθαι δύναται, οὔτε παρὰ τῶν συγγενῶν ἐξ ἀδιαθέτου κληρονομεῖται, οὔτε κληρονομεῖ τούτους, οὔτε τοὺς παῖδας αὐτοῦ ἔχει ὑπεξουσίους. ἡ δὲ μέση τὴν πολιτείαν μόνην

---

[1] Bals. l. l. [2] Bals. l. l. [3] Bals. l. l. [4] Bals. l. l. [5] Attal. I, 3.

φθείρει· ὅ ἐστιν ἐξορία. ὁ γὰρ ἐξόριστος ἔξω τῆς πολιτείας γίνεται, ὡς ταύτης, ἀφ' ἧς ἐξεβλήθη, εἰργόμενος. ἡ δὲ ἐλαχίστη, ἥτις ἐστὶν υἱοθεσία, μόνην τὴν συγγένειαν ἐναλλάσσει· ὁ γὰρ υἱοθετούμενος ἢ αὐτεξούσιός ἐστιν, ἢ ὑπεξούσιος· καὶ εἰ μὲν ὑπεξούσιος, ἐναλλάσσει τὴν τοῦ γνησίου πατρὸς ἐξουσίαν, καὶ μετέρχεται εἰς τὴν τοῦ θετοῦ πατρὸς ἐξουσίαν ἀρχοντικῇ δοκιμασίᾳ· οὕτω γὰρ γίνεται ἡ τοῦ ὑπεξουσίου υἱοθεσία. ὁ δὲ αὐτεξούσιος ὑποτίθησιν ἑαυτὸν ἑτέρᾳ ἐξουσίᾳ, καὶ γίνεται ἀπὸ αὐτεξουσίου ὑπεξούσιος, βασιλέως τοῦτο κελεύοντος. καὶ οὐ μόνον ἄῤῥενες, ἀλλὰ καὶ θήλειαι υἱοθετοῦνται, δοκιμάζοντος τοῦ ἄρχοντος, μήπως δι' ἔρωτα σατανικὸν ἢ κακοτροπίαν τινὰ ἡ τῆς υἱοθεσίας ἐπίνοια γένηται[1].

13. Ἡ γυνὴ δὲ ἴσθι ἢ εὐνοῦχος οὐχ υἱοθετοῦσιν. ἀλλὰ καὶ ὁ υἱοθετῶν ὀφείλει μείζων εἶναι τοῦ υἱοθετουμένου κατὰ τὴν ἡλικίαν χρόνων ιη'. ἡ γὰρ θέσις τὴν φύσιν μιμεῖται[2].

14. Ἔγνωμεν ὅτι τὴν ἐξουσίαν ἔχομεν κατὰ τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων, τοῦτο μὲν φυσικῶν τοῦτο δὲ καὶ θετῶν. νῦν δὲ σκοπήσωμεν, τίνι διαλύεται τρόπῳ ἡ ὑπεξουσιότης. ἀλλὰ περὶ μὲν τῶν οἰκετῶν μαθησόμεθα ἐν τῷ περὶ ἐλευθερίας τίτλῳ· περὶ δὲ τῶν παίδων ἐντεῦθεν. λύεται τῆς ὑπεξουσιότητος ὁ παῖς θανάτῳ τοῦ πατρός. οὐκ ἀεὶ δέ· εἰ μὲν γὰρ πατήρ ἐστιν ὁ τελευτήσας, ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται. τελευτήσαντος δὲ πάππου οὐ πάντως οἱ ἔγγονοι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τελευτῆς τοῦ πάππου, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς, ὑπεξούσιος, οἱ δὲ ἔγγονοι κατ' ἐκεῖνον τὸν καιρὸν ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ τελευτήσαντος τοῦ πάππου οἱ ἔγγονοι· μεταπεσοῦνται γὰρ εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος ἢ προετελεύτησε τοῦ πατρὸς ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔγγονοι, ἐπειδὴ οὐ μεταπίπτουσιν εἰς τὴν ἑτέρου ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται[3].

15. Ἐὰν δὲ καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται αὐτεξούσιοι οἱ παῖδες[4].

16. Ἐὰν γένηται πατρίκιος ὁ ὑπεξούσιος, ἅμα τῷ δέξασθαι

---

[1] Attal. I, 5. [2] Schol. ad Attal. l. l. [3] Proch. XXVI, 1. [4] Proch. ib. 2.

τοὺς κωδικέλλους τῆς πατρικιότητος τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται[1].

17. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον. ἐν τῷ μεταξὺ ἀνηρτημένα ἔσται τὰ τῆς ὑπεξουσιότητος, καὶ εἰ μὲν ὑποστρέψει ὁ πατὴρ, ἔσομαι αὐτοῦ ὑπεξούσιος, εἰ δ᾽ ἐκεῖ τελευτήσει, γενήσομαι αὐτεξούσιος[2].

18. Λύεται ὑπεξουσιότητος εἴτε γνώμῃ τοῦ πατρὸς, ποιοῦντος αὐτὸν αὐτεξούσιον εἰς τὸ φανερὸν, εἴτε θανάτῳ τοῦ πατρὸς, εἴτε διὰ τῆς πατρικιότητος, εἴτε καὶ διὰ τῆς ἀρχιερωσύνης, εἴτε ἐκ τοῦ καταλειφθῆναι παρὰ τοῦ πατρὸς ἐπιπολὺ τὰ τῶν αὐτεξουσίων πράττειν[3].

19. Ζητοῦμεν δὲ, ἐκ ποίου χρόνου δοκεῖ τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι, πότερον ἐξ οὗ ἐλήφθη, ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἐστὶ γάρ τις διαφορὰ καὶ πάνυ. ὑπόθου γὰρ ἔχειν τινὰ δύο υἱοὺς καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε ὑπὸ τῶν πολεμίων. τούτων ὁ μὲν ἦν σπουδαῖος, καὶ λαβὼν νομίσματα δύο ἐκ τῆς τοῦ πατρὸς περιουσίας ἐξ οἰκείων κόπων καὶ καμάτων ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδάναι· ὁ δὲ ἕτερος ῥᾴθυμος ὢν οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν· ἠβούλοντο μερίσασθαι τὸν πατρῷον κλῆρον. καὶ ὁ μὲν ῥᾴθυμος ἔλεγε, νῦν, ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε, γεγόναμεν αὐτεξούσιοι· οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος, τοῦ πατρός εἰσι, καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι, τουτέστι λαβεῖν ἀνὰ χιλίων πεντακοσίων. ὁ δὲ σπουδαῖος ἔλεγεν, ἐξ ἐκείνου ἐξ οὗ συνέβη τὸν πατέρα ληφθῆναι γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γὰρ ὁ μὴ ὑποστρέψας κατ᾽ ἐκεῖνον τεθνάναι τὸν καιρόν· λοιπὸν ὡς αὐτεξούσιος ὅσα ἂν ἐκτησάμην ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα. καὶ μᾶλλον ταύτῃ πειθόμεθα τῇ γνώμῃ[4].

20. Ὁ μέλλων αὐτεξούσιον τὸν αὐτοῦ παῖδα ποιῆσαι, προσιέτω τῷ ἁρμοδίῳ δικαστῇ καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός. ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέμενον, ἐῤῥῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντα δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρὶ, ἤγουν τὸ φαλκίδιον[5].

---

[1] Proch. ib. 3. [2] Proch. ib. 4. [3] Attal. I, 4. [4] Proch. cit. 4 rel.
[5] Proch. ib. 5.

21. Οὐχ υἱοθετεῖ τις τοὺς νόθους αὐτοῦ παῖδας[1].

22. Δύναται εἰς θέσιν λαμβάνειν τινὰ ἐν τάξει ἐγγόνου, κἂν μὴ ἔχῃ υἱόν. καὶ ἐὰν εἰς θέσιν λάβω υἱὸν, οὐκ ἔστιν αὐτῷ ἐν τάξει μητρὸς ἡ ἐμὴ γαμετὴ, ἀλλ' οὐδὲ ἡ μήτηρ ἡ ἐμὴ γίνεται αὐτῷ ἐν τάξει μάμμης. τῇ μὲν θυγατρὶ τῇ ἐμῇ γίνεται ἀδελφὸς ὡς μὴ οὔσῃ ἔξω τῆς ἐμῆς φαμιλίας καὶ ὑπεξουσιότητος[2].

23. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τὸν δὲ ἔγγονον κρατεῖν ὑπεξούσιον· καὶ ἐκ τοῦ ἐναντίου τὸν ἔγγονον ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ ὑπεξούσιον τὸν υἱόν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ προεκγόνου[3].

24. Εἶχέ τις υἱὸν ὑπεξούσιον, ὃς εἶχε γαμετὴν ἐγκύμονα· τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον ἢ εἰς θέσιν αὐτὸν ἄλλῳ δέδωκεν· ἐτέχθη μετὰ ταῦτα ἔγγονος. λέγομεν αὐτὸν ὑπεξούσιον τοῦ πάππου γενέσθαι, ἐπειδὴ σκοποῦμεν ἐπὶ τῶν ἐννόμων γάμων τὸν καιρὸν τῆς συλλήψεως· ὅτε δὲ ἡ σύλληψις ἐγένετο, ὑπεξούσιος ἦν ὁ υἱὸς ὁ τοῦτον σπείρας[4].

25. Ἡ ἔμπρακτος ἐπαρχότης ἢ ἀρχιερωσύνη καὶ στρατηγία λύει τὴν ὑπεξουσιότητα[5].

26. Ὁ ὑπεξούσιος ἄρχων δύναται παρ' ἑαυτῷ αὐτεξούσιος[6] ποιεῖσθαι καὶ εἰς θέσιν δίδοσθαι. καὶ ἀδελφὸς ἀδελφὸν δύναται λαβεῖν εἰς θέσιν ὡς υἱὸν, καὶ ἀπελεύθερος δύναται λαβεῖν τὸν υἱὸν τοῦ πάτρωνος. ὁ ὑπεξούσιος ὑπεξουσίους ἔχειν οὐ δύναται. τοῦτο νόει ἐπὶ ἰδιώτου ἢ ἀφήλικος[7].

27. Ἐὰν υἱοθετήσωμαι αὐτεξούσιόν τινα, ἕξω καὶ τοὺς αὐτοῦ παῖδας ὑπεξουσίους ὡς ἐν τάξει ἐκγόνων, καὶ πάντα τὰ αὐτοῦ προσπορίζεταί μοι σιωπηρῶς[8].

28. Ἐὰν ἔκγονος ὡς ἐξ υἱοῦ υἱοθετεῖται, δέον καὶ τὸν υἱὸν συναινεῖν, κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἄκοντί σοι ὁ υἱὸς οὐ γίνεται[9].

29. Ὁ εὐνοῦχος ὄνομά ἐστι γενικὸν, τέμνεται δὲ εἰς τρία. τῶν γὰρ εὐνούχων οἱ μέν εἰσι σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνες μέν εἰσιν, οἳ διά τι πάθος ἢ ψῆξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις παιδοποιεῖν κωλύονται, τούτων δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δέ εἰσιν, οἵτινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς ἔκθλιψιν τῶν διδύμων ὑπέστη-

---

[1] Theod. Nov. 74 §. 4. [2] Epit. V, 26. [3] Proch. cit. 6. [4] Proch. ib. 7. [5] Proch ib. 8. [6] Cod. ὑπεξ. [7] Epit. V, 13. [8] Epit. ib. 14. [9] Epit. ib. 16.

σαν, καὶ διὰ τοῦτο οὐ δύνανται υἱοθετεῖν. καστράτοι δέ εἰσιν, ἐφ᾽ ὧν γέγονεν ἐκτομὴ τῶν γονικῶν μορίων· ἀνέλπιστα γὰρ αὐτοῖς τὰ τῆς παιδοποιΐας. ὁ δὲ σπάδων, ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν. ὁ δὲ καστράτος καὶ ὁ θλιβίας οὐ δύνανται υἱοθετεῖν· οἷς γὰρ ἡ φύσις ἠρνήσατο παιδοποιεῖν, τούτοις καὶ ὁ νόμος. καὶ ταῦτα μὲν τὸ παλαιόν. ἀρτίως δὲ γέγονε διάταξις τοῦ ἀεισεβάστου ἡμῶν βασιλέως Λέοντος, οὐ μόνον εὐνοῦχοι υἱοθετεῖν δύνανται, ἀλλὰ καὶ γυναῖκες πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῶν παίδων δύνανται εἰς θέσιν λαμβάνειν, κἂν θήλεια τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει, ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. ἡ δὲ ἔχουσα παῖδας οὐδὲ δι᾽ ἀντιγραφῆς βασιλικῆς λήψεται εἰς θέσιν τινά[1].

30. Ὁ τὸν δοῦλον εἰς θέσιν βουληθεὶς λαβεῖν, πρόδηλον, ὅτι τῆς δουλείας αὐτὸν σιωπηρῶς ἔσπευσεν ἀπαλλάξαι. οὕτω τοίνυν, ὃ μὲν ἐξεφώνησεν, οὐκ ἔπραξε· ὃ δὲ [οὐκ] ἐνεθυμήθη, διεπράξατο. τὸ αὐτὸ καὶ τοῦ ἐν ὑπομνήσει ἀποκαλέσαντος υἱὸν τὸν οἰκέτην αὐτοῦ υἱὸν μὴ γενέσθαι, παύσασθαι δὲ τοῦ εἶναι δοῦλον[2].

31. Ἡ τῶν πατέρων ἀξία καὶ εἰς θετοὺς υἱοὺς διαβαίνει, ἕως ὅτε συνέστηκεν ἡ θέσις, λυομένης δὲ τῆς θέσεως διαλύεται. ὁμοίως καὶ γυνὴ τὴν τοῦ ἀνδρὸς ἀξίαν ἐπιδιώκει[3].

32. Ἐπ᾽ ἐκείνων τῶν προσώπων ἔχει χώραν ἡ θέσις, ἐφ᾽ ων καὶ ἡ φύσις. ἡ γὰρ θέσις, ὡς πολλάκις εἴρηται, μιμεῖται τὴν φύσιν. δεῖ δὲ τὸν εἰς θέσιν λαμβάνοντα μείζονα εἶναι τοῦ υἱοθετουμένου ιη᾽ ἔτεσιν[4].

33. Οὔτε ὁ γινόμενος ἐπίτροπος οὔτε ὁ κουράτωρ τόν ποτε νέον δύναται λαμβάνειν εἰς θέσιν, ἐν ᾧ ἔλαττόν ἐστιν ὁ υἱοθετούμενος τῶν κέ ἐνιαυτῶν. ἴσως γὰρ διὰ τοῦτο εἰς θέσιν αὐτὸν βούλοιντο λαβεῖν, ἵνα μὴ ἀποδώσωσι τοὺς τῆς διοικήσεως λόγους[5].

34. Ὁ υἱοθετήσας ἀναγκάζεται τὸ δ΄ μέρος τῶν οἰκείων πραγμάτων καταλεῖψαι τὸν υἱοθετουμένον, καὶ ὧν αὐτὸς τὸ κέρδος προσεπόρισε μετὰ τὴν θέσιν, κἄντε ἀπὸ δωρεῶν κἄντε ἀπὸ κληρονομιῶν κἄντε ἀπὸ λεγάτου[6].

35. Τὰ βάρη τοῦ υἱοθετηθέντος παιδὸς εἰς τὸν πατέρα τον θετὸν ἐκ τοῦ φυσικοῦ πατρὸς μεταφέρονται· καὶ ἀνάγκην

[1] Epit. ib. 29. [2] Epit. ib. 30. [3] Cf. Dig. I, 7, 13. [4] Epit. cit. 20. [5] Epit. ib. 21. [6] Epit. ib. 23 fin.

ἔχει τρέφειν αὐτὸν ὁ πατὴρ ὁ θετός. καὶ ἀνάγκη πάντα πράττειν, ὅσα τε καὶ ὁ φυσικὸς πατὴρ ἐπὶ τοῖς οἰκείοις ἀναγκάζεται πράττειν παισίν[1].

Τίτλος κζ΄. Περὶ μαρτύρων εὐπροσδέκτων καὶ κεκωλυμένων.

1. Περὶ μαρτύρων ἐντεῦθεν ποιεῖται τὸν λόγον ὁ νομοθέτης. τῶν γὰρ μαρτύρων ἡ χρῆσις συνεχής τε καὶ ἀναγκαία ἦν, ἐξ ἑλλήνων μάλιστα. χρὴ δὲ προσλαμβάνεσθαι καὶ ἀπαιτεῖν μάρτυρας, ὧν οὐκ ἔστι σκιάζουσαν εὑρεῖν τὴν πίστιν ἤτοι τὴν μαρτυρίαν. προσλαμβάνονται δὲ μάρτυρες οὐ μόνον ἐπὶ τῶν ἐγκληματικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν χρηματικῶν ὑποθέσεων. πρὸς τούτοις ἀπαιτεῖσθαι χρὴ τὰς μαρτυρίας ἀπὸ τῶν μὴ κεκωλυμένων μαρτυρεῖν, μήτε ἐξκουσατίονα πρὸς ἀποφυγὴν μαρτυρίας ἐχόντων[2].

2. Ἀξιοπίστους (καὶ εὐυπολήπτους καὶ ἐντίμους) δεῖ εἶναι τοὺς μάρτυρας. καὶ παράγονται καὶ ἐπὶ χρηματικαῖς καὶ ἐγκληματικαῖς ὑποθέσεσιν οἱ μὴ κεκωλυμένοι ὑπὸ τοῦ νόμου ἢ ἐξκουσατευόμενοι[3]. καὶ γὰρ καὶ τῶν ἀξιοπίστων πολλοὶ μὲν ἐπιτρέπονται μαρτυρεῖν, πολλοὶ δὲ τῷ νόμῳ κωλύονται, ἕτεροι δὲ ἐξκουσατεύονται. καὶ ἐπιτρέπονται μὲν πάντες πλὴν τῶν κεκωλυμένων καὶ ἐξκουσατευομένων. καὶ κωλύονται μὲν οἱ τὸν μοναχικὸν ἐπανῃρημένοι βίον, κἂν μὴ ἱερεῖς ὦσιν. ἐξκουσατεύονται δὲ τῷ ἱερατικῷ ἀξιώματι κεκοσμημένοι. καὶ οἱ μὲν μοναχοὶ οὐδὲ θέλοντες ἐῶνται μαρτυρεῖν· ἀπρεπὲς γὰρ τῷ νόμῳ δοκεῖ τὸν ἅπαξ τοῖς ἐν βίῳ ἀποταξάμενον πάλιν τοῖς ματαίοις προσασχολεῖσθαι καὶ δικαστηρίοις ἐναδολεσχεῖν· διὸ οὐδὲ βουλόμενοι μαρτυροῦσιν, ἀλλ᾿ ἀπέχονται. οἱ δὲ ἱερεῖς οἱ μὴ μοναχικὸν σχῆμα περιφέροντες οὐ κωλύονται θέλοντες μαρτυρεῖν· μὴ θέλοντες δὲ ἄκοντες μαρτυρεῖν οὐκ ἀναγκάζονται, ἀλλ᾿ ἐξκουσατεύονται. μὴ μόνους δὲ τοὺς μοναχοὺς κωλύεσθαι ὑπολάβῃς, ἢ μόνους τοὺς ἱερεῖς ἐξκουσατεύεσθαι. εἰσὶ γὰρ καὶ ἕτερα πρόσωπα κωλυόμενα, καὶ ἕτερα ἐξκουσατευόμενα, ἃ καὶ προϊὼν εὑρήσεις[4].

3. Οἱ δὲ ἐξκουσατευόμενοι οὗτοι· στρατιῶται, πρωτοσπα-

---

[1] Epit. ib. 27. [2] Basil. XXI, 1, 1 sch. 1. [3] Basil. h. t. 1 th. 1. 2.
[4] Basil. cit. sch. 2.

θάριοι, καὶ οἱ τούτων ἀνώτεροι, ἱερεῖς οἱ περὶ τὴν θείαν λειτουργίαν ἀσχολούμενοι. οἱ δὲ ἀρχιερεῖς, εἴπερ ὅλως δεηθῇ τις τῆς αὐτῶν μαρτυρίας, οἴκοι ἐρωτῶνται προκειμένων τῶν θείων λογίων. εἰ δ' ἀσθενεῖς ἢ γέροντες, ἄκοντες οὐχ ἕλκονται εἰς μαρτυρίαν[1].

4. Οἱ κωλυόμενοι μαρτυρεῖν οὔτε κεφαλικὸν κινεῖν ἔγκλημα δύνανται[2].

5. Οὐ μόνον εἰς τὸ μαρτυρεῖν εἰσίν τινες κεκωλυμένοι, ἀλλὰ καὶ εἰς τὸ κινεῖν τὰ δημόσια ἐγκλήματα· οἱ μὲν διὰ φύσιν ἢ ἡλικίαν, ὡς γυνὴ καὶ ἄνηβος, οἱ δὲ ὡς ἐνόπλως στρατευόμενοι, ἄλλοι ὡς ἄρχοντες, ἄλλοι ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς καὶ λαβόντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, καὶ οἱ δύο καθ' ἑτέρων ἐγγραψάμενοι· ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν, ὡς ἀπελεύθεροι κατὰ πατρώνων· ἄλλοι δι' ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες· ἄλλοι διὰ πενίαν, ὡς οἱ μὴ ἔχοντες ν' νομισμάτων οὐσίαν, ὡς τὸ η' καὶ θ' κεφ. τοῦ λδ' τί. τοῦ ξ' βι. φησίν. οὗτοι δὲ πάντες ἴδια ἐγκλήματα καὶ φόνον συγγενῶν ἰδίων δύνανται ἐκδικεῖν. παῖδες δὲ [καὶ] ἀπελεύθεροι ἐκβληθέντες νομῆς βιαίως παρὰ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος, τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν, τὸ δὲ περὶ νομῆς κινοῦσιν, ὡς τὸ ια' κεφ. τοῦ αὐτοῦ τί. καὶ βιβλίου. ὑπέξελε τὸ περὶ καθοσιώσεως, τοῦτο γὰρ καὶ ἀπελεύθεροι κινεῖν δύνανται, ὡς βι. ξ' τί. λς' κεφαλαίῳ η'[3].

6. Κωλύεται μαρτυρεῖν καὶ κατηγορεῖν ὁ πρὸς ἀτιμίαν τινὸς γράψας βιβλίον, ἢ συνθείς, ἢ ἐκδεδωκώς, ἢ δόλον ποιήσας, ἐφ' ᾧ τι τούτων γενέσθαι· εἰ καὶ ὀνόματι ἑτέρου ἢ ἀνωνύμως ἐξέδωκεν, ἐνάγεται[4].

7. Τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις. — Ὅταν ἑτέρου μὲν ἡ παράθεσις τῶν γραμμάτων εἴπῃ, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς, καὶ μεθ' ὅρκων, ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς καθ' αὑτὴν τυγχάνειν· πλὴν ἀλλ' ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε καὶ θεοφιλίας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν ὑπόπτων πιστεῦσαι[5].

8. Καὶ ὁ ποιῶν ἐπίγραμμα, ἤ τι ἕτερον ἄγραφον πρὸς ἀτιμίαν τινὸς προφέρων, καὶ ὁ πραθῆναι ἢ ἀγορασθῆναι τὰ τοιαῦτα παρασκευάζων[6].

---

[1] Basil. l. l. [2] Bas. l. l. sch. 1. [3] Bas. l. l. sch. 2. [4] Bas. l. l. sch. 1. [5] Locus Epanag. XIII, 13 ad Bas. XXI, 1, 3 th. 3 adscriptus. [6] Bas. cit. sch. 1.

9. Καὶ ὁ καταδικασθεὶς ἐν δημοσίῳ δικαστηρίῳ κατηγορεῖν ἢ μαρτυρεῖν οὐ δύναται, οὔτε ὁ ἐπὶ συκοφαντίᾳ ἀτιμωθείς, οὔτε ὁ κατελθὼν εἰς κυνήγιον ἐπὶ τῷ θηριομαχῆσαι, οὔτε ὁ παιγνικὴν τέχνην ἢ μαστρωπείαν ποιήσας, καὶ ὁ προδότης τῆς οἰκείας καταδικασθεὶς ὑποθέσεως ἢ συκοφαντήσας ἐπὶ δημοσίῳ δικαστηρίῳ, οὔτε ὁ χρήματα λαβὼν ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαί τινος ἤ τινι πρᾶγμα ῥάψαι. οὔτε οἱ μῖμοι, ὀρχησταὶ, οὔτε οἱ θηριομάχοι, οὔτε οἱ ἐπὶ τῆς θυμέλης ἀναστρεφόμενοι, οὔτε οἱ μοιχοὶ οὔτε οἱ δωρολῆπται, οὔτε οἱ τὰ φάσματα ποιήσαντες οὔτε οἱ φονεῖς οὔτε οἱ κλέπται οὔτε οἱ πορνοβοσκοὶ οὔτε οἱ προσαγγελεῖς, οὔτε ἁπλῶς οἱ ἄλλο τὶ ἀτόπημα πεπραχότες, οὔτε δὲ ἄνηβοι ἢ δοῦλοι ἢ οἱ πάνυ πένητες καὶ πλαστογράφοι καὶ ἐπιδίφριοι καὶ χαμερπεῖς καὶ πάντη ἄσημοι[1].

10. Παῖδες κατὰ γονέων μαρτυρεῖν κωλύονται· ὁμοίως καὶ γονεῖς κατὰ παίδων, καὶ γυναῖκες πλὴν βαλανείου καὶ τόκου καὶ λοχείας, ἔνθα ἄνδρες εἰσελθεῖν οὐ δύνανται· ἐκεῖσε γὰρ μόνον αἱ γυναῖκες μαρτυροῦσιν[2].

11. Εἰ καὶ πλείονος ἀριθμοῦ μαρτύρων ὁ νόμος μνημονεύσει, τοὺς ἀρκοῦντας ὅμως οἱ δικασταὶ προσδεχέσθωσαν, ἵνα μὴ τῇ τῶν πλειόνων παραγωγῇ σκύλλωνται[3].

12. Ἔνθα πολλοὺς ὁ νόμος μάρτυρας παράγεσθαι ὁρίζεται, μὴ παρακελεύηται δὲ τούτων τὸν ἀριθμὸν, δύναται πάντως ὁ δικαστὴς συντεμεῖν τὸν ἀριθμὸν, καὶ τούτοις μόνοις ἀρκεῖσθαι μάρτυσιν, οὓς ἀρκεῖν συνίδοι ἂν πρὸς τὴν κινουμένην ὑπόθεσιν, κἂν τὰ μάλιστα πολλοὺς ὁ νόμος εἴπῃ παραγενέσθαι μάρτυρας· καὶ ταύτην τὴν ἄδειαν τοῦ δύνασθαι τὸν τῶν μαρτύρων συστέλλειν ἀριθμὸν ἡ διάταξις ἐφιλοτιμήσατο τῷ δικάζοντι. ἄτοπον γὰρ ὡς ἀληθῶς, διὰ τὸ πολλοὺς μὲν εἰπεῖν τὸ νόμιμον παραγενέσθαι μάρτυρας, μὴ προδιορίσασθαι δὲ τούτων τὸν ἀριθμὸν, ἄδειαν δίδοσθαι τοῖς διαδίκοις ἀπέραντον παράγεσθαι μαρτύρων ἀπαιτεῖν ἀριθμόν. τοῦτο δὲ νόησον, ἔνθα, καθ' ἃ τεθεμάτισται, πολλοὺς μὲν ὁ νόμος εἶπε παράγεσθαι εἰς μαρτυρίαν, μὴ προσδιώρισε δὲ τούτων τὸν ἀριθμὸν. πέντε τυχὸν ἢ ἑπτὰ μάρτυρας, ὥσπερ ἐπὶ τῶν διαθηκῶν καὶ τῶν κωδικέλλων ἔστιν ἰδεῖν. καλῶς δὲ ὁ νομικὸς ἐθεμάτισεν εἰπὼν, ἔνθα ὁ νόμος πολλοὺς εἶπε παράγεσθαι μάρτυρας, μὴ προσδιορίσας, ὡς πολλάκις εἴρηται, τούτων τὸν ἀριθμόν· εἰ

[1] Bas. cit. sch. 1 et 2. [2] Mich. Att. XIIII, 4. [3] Bas. h. t. 1 th. 3.

γὰρ ἀορίστως εἶπε παράγεσθαι μάρτυρας, μὴ προσέθηκε δὲ ἰδικῶς τὸ πολλοὺς τῷ amplissimus[1] χρησάμενος ῥήματι, καὶ δύο τότε μόνοι μαρτυροῦντες ἀρκοῦσιν[2].

13. Ἔνθα μὴ προστίθεται μαρτύρων ἀριθμὸς, ἀρκοῦσι δύο. ἡ γὰρ πληθυντικὴ σημασία τὸν δυϊκὸν ἀριθμὸν περίστησι[3].

14. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνασχόμενος μαρτυρῆσαι, ὃς οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρῆσαι, κωλύεται δὲ καὶ ἐν ἑτέρᾳ διαθήκῃ ὁ αὐτὸς μαρτυρεῖν, ἀλλὰ καὶ διαθέσθαι καὶ ἐξ ἑτέρας διαθήκης κερδάναι[4].

15. Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κ΄ ἐτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστὰς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθεὶς, οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι[5].

16. Κωλύονται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφὸς, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅταν ὁ πατὴρ αὐτοῦ παρ᾽ ἄλλου γραφῇ κληρονόμος[6].

17. Καὶ ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν διαθήκῃ κληρονόμου[7].

18. Καὶ ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου εἰς ἰδιόκτητα αὐτοῦ πράγματα[8].

19. Ὡς ἐπὶ τῶν διαθηκῶν καὶ κωδικέλλων. φησὶ γὰρ ζ΄ ἢ ε΄. πλὴν εἰ καὶ πλείονος ἀριθμοῦ τῶν ζ΄ ἢ ε΄ μνημονεύσει, ἀλλ᾽ οὖν οἱ δικασταὶ καὶ τοὺς ε΄ ὡς ἀρκοῦντας προσδεχέσθωσαν[9].

20. Εἰ μὲν ὡρισμένως εἴπῃ ὁ νόμος πόσους, ὡς ἐπὶ διαθήκης, ἐκείνους αὐτοὺς εἰ μὴ ἔχει, οὐ βεβαιοῦται. εἰ δ᾽ ἁπλῶς πολλοὺς μάρτυρας, τότε καὶ δύο ἢ τρεῖς ἀρκοῦσιν[10].

21. Οὐ πάντοτε μὲν τὰ πράγματα τὸ αὐτὸ μέτρον ἔχει τῆς ἀποδείξεως, ἀλλ᾽ ἐπὶ μὲν ἀποδείξεως καὶ ὁμολογίας τριῶν μαρτύρων μέτρον ἀρκεῖ· ἐπὶ δὲ τῆς καταθέσεως ε΄. καὶ ἐπὶ ἑκάστου πράγματος τοὺς νενομοθετημένους ζητητέον, δι᾽ ὧν τὸ πρᾶγμα ἀποδειχθήσεται. ἔστι δὲ ὅτε δέχεται καὶ ἕνα μάρτυρα ὁ νόμος, οἷον ὅτε προσφέρει ὁ ἐμφυτευτὴς τὸν κανόνα, καὶ ὁ δεσπότης ἐναβάλλεται τοῦ λαβεῖν, καὶ ὅτε ἀρνεῖταί τις τὴν ἰδίαν χεῖρα πιστεύεται μόνος ὁ συμβολαιογράφος, καὶ

---

[1] Lips. πλισκομους. [2] Bas. l. l. sch. 3. [3] Bas. h. t. 11. [4] Proch. XXVII, 32. [5] Proch. h. t. 24. [6] Proch. h. t. 33. [7] Proch. h. t. 34. [8] Proch. h. t. 35. [9] Bas. h. t. sch. 3. [10] Bas. cit.

ὅτε τὴν ἔγγραφον δωρεὰν ὑπογράφει τὶς κατὰ γνώμην τοῦ δωρησαμένου[1].

22. Ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία (ἤγουν τὸ ἔνδοξον) καὶ ἡ πίστις (ἤγουν εἰ χριστιανός ἐστιν ἢ ἄπιστος) καὶ τὰ ἤθη (ἤγουν ὁ βίος, ὁ τρόπος, ἡ σύνεσις), καὶ ἡ στεῤῥότης (ἤγουν τὸ στεῤῥὸν καὶ ἀμετάθετον). διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς ἐν ἐκμαρτυρίῳ ὑφ᾽ ἑαυτῶν εἰρημένοις (ἤγουν εἰ γὰρ ἄλλα μὲν ἔγραψαν ἐν τῷ ἐκμαρτυρίῳ, ἄλλα δὲ μαρτυροῦσιν, οὐ πιστεύονται, ἀλλὰ καὶ ὡς πλαστογράφοι εὐθύνονται)[2].

23. Μάρτυς παλίμβολος ὡς μὴ ὢν ἀξιόπιστος οὐκ ἀκουσθήσεται[3].

24. Εἰ καὶ μὴ πάντοτε, ἀλλ᾽ οὖν ὡς ἐπὶ τὸ πλεῖστον καὶ χωρὶς δημοσίων ὑπομνημάτων ἡ ἀλήθεια δείκνυται, ποτὲ μὲν διὰ τοῦ ἀριθμοῦ τῶν μαρτύρων, (ἤγουν ὅταν ὁ δικαστὴς ὁρίσῃ πόσους μάρτυρας προσῆκον εἶναι παραγίνεσθαι, καὶ πάλιν ὅταν ἐξετάζῃ ποίας ἀξίας καὶ προλήψεως οὗτοι τυγχάνουσι), ποτὲ δὲ διὰ τῆς ἀξίας καὶ αὐθεντίας (καὶ παρουσίας), ἄλλοτε διὰ τῆς συμφώνου φήμης (ἤγουν ἀξιόπιστος μάρτυς ἡ φήμη καὶ ἰσχύει καὶ δίχα ὑπομνημάτων ψῆφον ποιεῖ)· καὶ ἁπλῶς τῆς τοῦ δικαστοῦ γνώμης ἤρτηται πιστεῦσαι καὶ μή[4].

25. Τοῖς μάρτυσιν, οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον· αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ᾽ αὐτοῦ προτεθὲν ἀληθὲς εἶναι ἐξορίζεται. ἀλλ᾽ ὅτε οὐκ ἐνεγράψατο· εἰ γὰρ ἐνεγράψατο, ταὐτοπάθειαν ὑφίσταται[5].

26. Ἄλλη ἐστὶν ἡ αὐθεντία (ἤγουν ἡ παρουσία, ἡ πίστις, ἡ στεῤῥότης) τῶν παρόντων μαρτύρων, καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας (ἤγουν ὁ προτιμησάμενος τοὺς μάρτυρας παρὰ τὰ ἐκμαρτύρια) δαπάνας αὐτοῖς διδότω[6].

27. Περὶ βίας οὐ μαρτυρεῖ ἀπελεύθερος (οὔτε ἑκὼν οὔτε ἄκων) κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ, οὔτε ὁ ἐν δημοσίῳ (ἢ ἐγκληματικῷ) δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστὰς ἀπὸ βασιλέως, ἢ ἐν δεσμοῖς ὢν ἢ δημοσίᾳ βληθεὶς φρουρᾷ (ἐπὶ αἰτίᾳ ἐγκληματικῇ, ἔτι ὢν ἐν αὐτῇ). οὔτε γυνὴ μαρτυρεῖ· ἀλλ᾽ ἐν οἷς οὐκ ἔξεστιν ἄνδρας παραλαμβάνειν, ἐπὶ τεκούσης καὶ ἐν βαλανείῳ γυναῖκας ἔχοντι[7].

---

[1] Bas. eod. [2] Bas. h. t. 2. [3] Bas. ib. sch. 1. [4] Bas. h. t. 3 th. 2 et sch. 12—14. [5] Bas. cit. th. 3 et sch. 17. [6] Bas. cit. th. 4 et sch. 18. [7] Bas. cit. th. 5 et sch. 21. 25.

28. Πλέον τῶν ιε΄ ἡμερῶν οὐκ ἀναγκάζονται παραμεῖναι οἱ μαρτυροῦντες ἐν χρηματικαῖς ὑποθέσεσιν[1].

29. Ὁ καταδικασθεὶς τῷ περὶ μοιχείας ἐγκλήματι οὐ μαρτυρεῖ. καὶ ἐὰν ἐν διαθήκῃ μαρτυρήσῃ, ἄκυρός ἐστι καὶ πραιτωρίως καὶ πολιτικῶς. διὸ καὶ οἱ σὺν αὐτῷ ὑπογράψαντες σπιλοῦνται, ὡς ὁμολογούμενον μοιχὸν σὺν αὐτοῖς ὑπογράψαι προσδεξάμενοι[2].

30. Τὸ πολιτικῶς καὶ πραιτωρίως οὕτως νοητέον ἀντὶ τοῦ, κἂν ἐν μιᾷ ὑφῇ συναπτῶς ἀνεγνώσθη, ὅπερ ὁ πολιτικὸς διωρίσατο νόμος, καὶ πέντε ἢ ἑπτὰ μάρτυρες ὑπέγραψαν, ὅπερ ὁ πραιτώριος προσέθηκε, καὶ ἐῤῥωμένη ἦν ἡ διαθήκη ἐντεῦθεν· ἦσαν δέ τινες τῶν ἐν αὐτῇ ὑπογραψάντων μοιχοί· οὐκ ἔῤῥωται ἡ διαθήκη[3].

31. Τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ τὴν διαθήκην ἀναγινώσκεσθαι τοῦ πολιτικοῦ νόμου ἐστίν· ἐκ δὲ τοῦ πραιτωρίου αἱ σφραγῖδες καὶ ὁ ἀριθμὸς τῶν πέντε ἢ ἑπτὰ μαρτύρων· ἀπὸ δὲ τῶν διατάξεων τὸ τὸν διαθέμενον καὶ τοὺς μάρτυρας ὑπογράφειν[4].

32. Οἱ μάρτυρες ἀπὸ ἀκοῆς μὴ προσμαρτυρείτωσαν λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν ἢ τόδε καταβάλλεσθαι, κἂν ταβουλλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες[5].

33. Ὁ ὀμόσας εἶναι ἴδιον πρᾶγμα ἀπαιτεῖ καρποὺς καὶ τοκετὸν θρεμμάτων[6].

34. Ὁ δωρολήπτης οὔτε ἐν διαθήκῃ οὔτε ἐν δικαστηρίῳ ἢ ἄλλῃ τινὶ ὑποθέσει δύναται μαρτυρεῖν, οὔτε δικάζειν οὔτε συνηγορεῖν[7].

35. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι, πότερον εἰ τίμιος καὶ ἄμεμπτός ἐστιν ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεὴς, ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι, φίλος τοῦ παράγοντος ἢ ἐχθρὸς τοῦ καθ' οὗ παρέρχεται. ὅταν γὰρ ὑποψίας πάσης ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, εἰ μίαν μεμελετημένην ὁμιλίαν προφέρουσι, καὶ εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται, καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι[8].

36. Οἱ πλαστῶς (ἤγουν ψευδῶς) ἢ ἐναντίως ἑαυτοῖς ὑπὲρ τῶν δύο μερῶν μαρτυρήσαντες, ὑπόκεινται τῇ πλαστογραφίᾳ.

---

[1] Bas. h. t. 43 sch. 2. [2] Bas. h. t. 13 et sch. 1. [3] Bas. ibi sch. 2. [4] Bas. ibi. [5] Proch. h. t. 3 not. 7. [6] Epit. XII, 48. [7] Bas. h. t. 14 sch. 2. [8] Proch. h. t. 8.

ἡ δὲ τοῦ πλαστοῦ τιμωρία περιορισμός ἐστι, καὶ τελεία δήμευσις· κατὰ δὲ δούλων ἐσχάτη[9].

37. Ὁ πλαστῶς μαρτυρήσας ἢ ἑκάτερον μέρος προδοὺς τιμωρεῖται[1].

38. Ψευδομένων τῶν μαρτύρων ἢ περὶ τὴν μαρτυρίαν αὐτῶν κακουργούντων, ἢ ὑπὲρ τῶν δύο μερῶν ἐξεπίτηδες μαρτυρούντων, ὁ δικαστὴς αὐτοὺς κολάζει λεγογισμένως[2].

39. Οἱ ἐναντίως μαρτυρήσαντες ἀλλήλοις, καὶ ὁ ἐναντιούμενος τῇ οἰκείᾳ ὑπογραφῇ, καὶ ὁ δύο τισὶν προσμαρτυρῶν ἐναντία ὑπόκειται τῷ πλαστῷ· καὶ ὁ μὴ στρατιώτης διάγων ὡς στρατιώτης, καὶ ὁ χρώμενος ἐπισήμοις, οἷς οὐκ ἔξεστιν αὐτῷ, καὶ οἱ διὰ πλαστοῦ συνθήματος τῷ δρόμῳ χρησάμενοι[3].

40. Δύναται καὶ πατὴρ ἅμα καὶ υἱὸς ὑπεξούσιος καὶ δύο συνυπεξούσιοι τοῦτο μὲν ἐν ἀλλοτρίῳ πράγματι, τοῦτο δὲ καὶ ἐν ἀλλοτρίᾳ διαθήκῃ μαρτυρεῖν[4].

41. Πατὴρ καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν πράγματι. οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν[5].

42. Ἄκων οὐδεὶς μαρτυρεῖ ἐπὶ ἐγκληματικῷ δικαστηρίῳ κατὰ τοῦ ἰδίου πενθεροῦ, ἢ γαμβροῦ, ἢ προγονοῦ, ἢ πατρωοῦ ἢ ἀνεψιοῦ ἢ ἀνεψιᾶς, ἢ τῶν ἐξ αὐτῶν τεχθέντων, ἢ τῶν ἐγγυτέρων βαθμῶν ὄντων· ἢ κατὰ πάτρωνος ἢ πατρωνίσσης, ἢ παιδῶν αὐτῶν, ἢ γονέων αὐτῶν, ἢ γυναικὸς τοῦ πάτρωνος, ἢ ἀνδρὸς πατρωνίσσης· οὔτε πάτρων ἢ πατρώνισσα κατὰ ἀπελευθέρων[6].

43. Τῷ περὶ πουβλίκων ἰουλίῳ νόμῳ διηγόρευται ἄκοντα μὴ ἀναγκάζεσθαι μαρτυρεῖν γαμβρὸν κατὰ πενθεροῦ, ἢ πενθερὸν κατὰ γαμβροῦ, ἢ προγονὸν κατὰ πατρωοῦ, ἢ πατρωὸν κατὰ προγονοῦ, ἢ σοβρῖνον κατὰ σοβρίνου ἢ σοβρίνης ἢ κατὰ τοῦ τεχθέντος ἐκ τῶνδε. καὶ ἁπλῶς οὐκ ἀναγκάζεταί τις ἄκων μαρτυρεῖν κατά τινος ἐνδοτέρου ὄντος τοῦ ζ′ βαθμοῦ. ὅσοι δὲ ἄκοντες μαρτυρεῖν οὐκ ἀναγκάζονται, τούτων οὐδὲ ἀπελεύθεροι μαρτυροῦσι μὴ βουλόμενοι. τί δὲ λέγω, οἱ ἀπελεύθεροι τῶν μὴ ἀναγκαζομένων μαρτυρεῖν, ὁπότε οὐδὲ οἱ ἀπελεύθεροι τῶν ἀνιόντων, ἢ τοῦ ἀνδρὸς, ἢ τῆς γαμετῆς, ἢ τοῦ πάτρωνος, ἢ τῆς πατρωνίσσης τοῦ μὴ ἀναγκαζομένου μαρτυρεῖν ἕλκονται εἰς μαρτυρίαν μὴ βουλόμενοι; οἷον εἴπομεν, ὅτι οὔτε ὁ σοβρῖ-

---

[1] Bas. h. t. 15 et sch. 2. [2] Bas. ib. sch. 1. [3] Bas. ibi. [4] Bas. ib. sch. 2. [5] Bas. h. t. 16 sch. 1. [6] Bas. h. t. 16. [7] Bas. h. t. 4.

νος, οὔτε ἡ σοβρίνη καταμαρτυρεῖν ἀναγκάζονται τοῦ σοβρίνου ἢ τῆς σοβρίνης. οὐκοῦν οὔτε ὁ ἀπελεύθερος τοῦ σοβρίνου ἢ τῆς σοβρίνης ἀναγκάζεται καταμαρτυρεῖν [τοῦ σοβρίνου ἢ τῆς σοβρίνης,] ἢ τοῦ πάτρωνος· οὔτε [ὁ ἀπελεύθερος] τῶν ἀνιόντων, ἢ τῶν κατιόντων, ἢ τοῦ ἀνδρὸς, ἢ τῆς γαμετῆς, ἢ τοῦ πάτρωνος, ἢ τῆς πατρωνίσσης τοῦ σοβρίνου ἢ τῆς σοβρίνης, ἕλκεται ἄκων εἰς μαρτυρίαν. τὸ αὐτὸ εἰπὲ καὶ περὶ πενθεροῦ καὶ γαμβροῦ, καὶ τῶν ἄλλων, ἵνα συντόμως εἴπω, προσώπων. τῇ δὲ τοῦ γαμβροῦ προσηγορίᾳ καὶ ὁ μνηστὴρ περιέχεται, ὥσπερ καὶ τῇ τοῦ πενθεροῦ προσηγορίᾳ ὁ τῆς μνηστῆς πατὴρ περιέχεται, οἷον εἰς τὸ μήτε τὸν μνηστῆρα καταμαρτυρεῖν τοῦ μνηστευσαμένου τὴν αὐτοῦ θυγατέρα[1].

44. Ἐπὶ τούτου γαμβρὸς λέγεται καὶ ὁ τὴν θυγατέρα μνηστευσάμενος καὶ πενθερὸς ὁ τῆς μνηστῆς πατήρ· ἐξ αὐτῆς γὰρ τῆς μνηστείας ἄρχονται τὰ τοιαῦτα ὀνόματα[2].

45. Εἰ καὶ πολλάκις τῇ προσηγορίᾳ τοῦ ἀνδρὸς καὶ τῆς γαμετῆς δηλοῦνται οἱ μνηστευθέντες, ὅμως κυρίως ἀνὴρ μετὰ τὸν γάμον καὶ γαμετὴ λέγονται[3].

46. Ἐξ αὐτῆς τῆς μνηστείας ἄρχεται τὸ ὄνομα τοῦ πενθεροῦ καὶ τῆς πενθερᾶς καὶ τοῦ γαμβροῦ καὶ τῆς νύμφης[4].

47. Ἐπὶ τῷ μαρτυρῆσαι λέγεται γαμβρὸς ὁ μνηστὴρ, ἐπὶ μέντοι τῷ λαβεῖν ἢ δοῦναι ὑπόβολον οὐ γαμβρὸς δοκεῖ[5].

48. Ὁ κατήγορος οὐ δύναται καλεῖν εἰς μαρτυρίαν τὸν δημοσίως (ἢ ἐγκληματικῶς) κατηγορούμενον, οὔτε τὸν ἥττονα τῶν εἴκοσιν ἐτῶν[6].

49. Εἰ ἄκων οὐ μαρτυρεῖ ἄνηβος, ἑκὼν δύναται μαρτυρεῖν, ἐπὶ τῶν χρηματικῶν δηλονότι· ἐπὶ γὰρ τῶν ἐγκληματικῶν ὁ ἥττων τῶν κ΄ ἐτῶν οὐ μαρτυρεῖ. ἔνθα δὲ μαρτυρεῖν αὐτὸν λέγει ὁ νόμος, τὸν ἐγγὺς τῆς ἥβης νόησον. φησὶ δὲ καὶ ὁ τῆς ἐν καρθαγένῃ ἁγίας συνόδου κανὼν πή μάρτυρας πρὸς μαρτυρίαν μὴ δέχεσθαι τοὺς μηδ᾽ εἰς κατηγορίαν δεχομένους· ἢ ἔτι γε μὴν οὓς αὐτὸς ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου προκομίσει. μαρτυρία δὲ ἐντὸς κείρας ἐνιαυτῶν ιδ΄ μὴ προσδεχθείη. ὅτι δὲ ἐπὶ τῶν ἐγκληματικῶν τοῦτο εἴρηται, δείκνυται ἐκ τοῦ πρὸ αὐτοῦ κανόνος ἐπιγραφὴν ἔχοντος ταύτην, ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνηθεὶς πρὸς ἕτερον μὴ προσδεχθείη[7].

---

[1] Bas ib. sch. 1. [2] Bas. h. t. 5 c. sch. 1. [3] Bas. ib. sch. 1. [4] Bas. XLV, 3, 6. [5] Bas. h. t. (XXI, 1) 5 sch. 1. [6] Bas. h. t. 19. [7] Bas. h. t. 18 sch. 1

50. Ἐνταῦθα ἄνηβον νόει τὸν ἁψάμενον τοῦ ιδ' χρόνου. οὗτος γὰρ μαρτυρεῖ ἐπὶ χρηματικῶν, ἐπὶ δὲ ἐγκληματικῶν οὐδαμῶς[1].

51. Ἐν ἐγκλήματι μὴ καλείτω τὶς μάρτυρα τὸν πουβλίκῳ δικαστηρίῳ ἐναγόμενον, ἢ ἀφήλικα[2].

52. Ἀπόβλητος εἰς μαρτυρίαν γίνεται ὁ καταδικασθεὶς ἐπὶ τῷ ποιῆσαι ταραχώδη φλυαρίαν, ἢ ᾠδὴν ἀθέμιτον ἢ ὑβριστικὸν ἔγγραφον τὸ λεγόμενον φάμουσον· καὶ οὔτε αὐτὸς διατίθεται, οὔτε ἄλλος αὐτῷ μαρτυρεῖ[3].

53. Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ πάντως τὸ πλεῖστον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος καὶ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον, βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων· οὐ γὰρ τῷ πλήθει δεῖ πιστεύειν, ἀλλὰ τῇ πίστει καὶ ἀκεραιότητι τῶν μαρτύρων[4].

54. Ὅτε ἰσοφωνοῦνται οἱ μάρτυρες, οὐ οἱ πλείους, ἀλλ' οἱ εἰκότα καὶ ἀνεπίληπτα λέγοντες πιστεύονται[5].

55. Ἐὰν ἐν τοῖς παρ' ἑκατέρου μέρους μάρτυσι μηδεμία τὶς ᾖ διαφορὰ μηδὲ ἀπὸ κοσμιότητος ἢ ἀπὸ προλήψεως, ἐκείνων ὀφείλει δέχεσθαι μαρτυρίαν ὁ δικαστὴς, ὧν ἂν ταῖς καταθέσεσι ἡ τοῦ πράγματος συνᾴδοι ποιότης. τί γάρ; ὅτι μοναχοί τινες ἐμαρτύρησαν, ὡς ἐν τῷδε τῷ σεμνῷ τόπῳ τῇδε τῇ νυκτὶ παρῆμεν τοῦδε τοῦ πράγματος γενομένου. ταῦτα μὲν οὖν ἐν ᾧ μηδεμία τῶν παρ' ἑκατέρου μέρους παρενεχθέντων μαρτύρων ἐστὶν ἡ διαφορὰ, μήτε ὡς ἀπὸ πρόλήψεως, ὡς εἶπον, μήτε ἀπὸ ἀριθμοῦ. τί οὖν, ὅτι ὁ μὲν τρεῖς παρήγαγε μάρτυρας, ὁ δὲ ε'; λέγει ὁ νομικὸς, χρὴ τὸν τῆς ὑποθέσεως ἀκροώμενον μὴ τῷ πλείονι μᾶλλον ἀριθμῷ πείθεσθαι τῶν μαρτύρων, ἀλλὰ σκοπεῖν, τίνων μᾶλλον αἱ καταθέσεις τῇ τῶν πραγμάτων συνᾴδουσι φύσει, καὶ τίνες οὔτε πρὸς βλάβην οὔτε πρὸς χάριν τινὸς τὴν μαρτυρίαν κατατίθενται, ἀλλὰ πιθανώτερα καὶ ἀληθέστερα τῆς τούτων μαρτυρίας τυγχάνει τὰ τεκμήρια. οὐ γὰρ τὸν πλεῖστον τῶν μαρτύρων ἀριθμὸν ὡς εἴρηται, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἀληθὲς ἐξετάζειν χρὴ τὸν δικάζοντα[6].

---

[1] Bas. ibi. [2] Bas. h. t. 19 sch. 1. [3] Bas. h. t. 20 th. 1 et sch. 1. [4] Bas. ib. th. 4. [5] Bas. ib. sch. 4. [6] Bas. ibi.

56. Ὁ κατά τινος ἤδη μαρτυρήσας ἐγκληματικῶς οὐ μαρτυρεῖ πάλιν κατ᾽ αὐτοῦ (ἢ ὑπὲρ αὐτοῦ)[1].

57. Δὶς οὐδεὶς δύναται καταμαρτυρῆσαι· δοκεῖ γὰρ ὡς ἐχθρὸς τοῦτο ποιεῖν. δύναται γὰρ καὶ ἄλλως εἰπεῖν· οὐ δύναταί τις ὑπὲρ ἐκείνου μαρτυρῆσαι, οὗτινος πρότερον ἐναγομένου κατεμαρτύρησε· δοκεῖ γὰρ ὥσπερ πρὸς θεράπειαν αὐτοῦ τοῦτο ποιεῖν ὑπὲρ ὧν πρῴην αὐτοῦ κατεμαρτύρησεν[2].

58. Ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας (τουτέστιν ὑπεξουσίους συγγενεῖς, οἷον υἱούς, ἐγγόνους) οὐ δύναται παραγαγεῖν[3].

59. Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ᾽ ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι (ἤγουν μίσθιοι, δοῦλοι καὶ ἀπελεύθεροι)[4].

60. Ἄκοντες οὐ μαρτυροῦσι γέροντες καὶ ἀσθενεῖς καὶ στρατιῶται, καὶ ἱερεῖς καὶ κληρικοί· καὶ οἱ μετὰ τῶν ἀρχόντων ἀπόντες διὰ πρᾶγμα δημόσιον[5].

61. Υἱὸς πατρὶ (ὑπεξούσιος ὢν) ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ. δοκεῖ γὰρ ἑαυτῷ μαρτυρεῖν μαρτυρῶν τῷ πατρί. ἂν δὲ γένηται αὐτεξούσιος, ἀκωλύτως μαρτυρεῖ, καὶ ὡς ἐν ἀλλοτρίῳ πράγματι πιστεύεται[6].

62. Οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι[7].

63. Οὐδεὶς ὑπὲρ τοῦ οἰκείου πράγματος δύναται μαρτυρεῖν[8].

64. Καὶ οἱ μὴ δυνάμενοι ὡς οἱ μοναχοὶ κωλυόμενοι ἢ ἐξκουσατευόμενοι ὡς ἱερεῖς. οἱ δὲ ἐπίσκοποι ἀναγκάζονται μαρτυρεῖν ὅταν ὑπογράψωσιν ἔν τινι συμβολαίῳ[9].

65. Ὅτι οὐ δεῖ τὸν ἄρχοντα ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν μάρτυρας μετακαλεῖσθαι, πλὴν εἰ μὴ τοιοῦτον κατὰ τὴν ἀρχὴν ἐκράτησεν ἔθος[10].

66. Οὐ δεῖ πρὸς μαρτυρίαν μετακαλεῖσθαι μακρόθεν, εἰ οἱ κυρίως μάρτυρες ἀπόντες εἰσίν, πλὴν εἰ μὴ συνήθειαν ὁ ἄρχων εὕροι ἀπὸ πόλεως εἰς πόλιν αὐτοὺς (μεταστέλλεσθαι ἢ) μεταπέμπεσθαι. πολλῷ δὲ ἧττον (ἤγουν οὐδόλως) οἱ στρατιῶται ἀπὸ τῶν ἰδίων τάξεων ἢ ἀριθμῶν διὰ μαρτυρίαν μετακαλοῦνται[11].

---

[1] Bas. h. t. 22. [2] Bas. ib. sch. 1. [3] Bas. h. t. 23. [4] Bas. h. t. 6. [5] Bas. h. t. 7. [6] Bas. h. t. 8 et sch. 1. [7] Bas. h. t. 9. [8] Bas. h. t. 7 sch. 1. [9] Bas. h. t. 7 sch. 4. [10] Cf. Bas. h. t. 3 th. 6. [11] Bas. h. t. 3 th. 6.

67. *Οὐ χρὴ μάρτυρας ἐξ ἑτέρων εἰς ἑτέρους διεστηκότας μεταστέλλεσθαι τόπους· πολλῷ δὲ μᾶλλον τοὺς στρατιώτας οὐ χρὴ μαρτυρίας χάριν ἀπὸ τῶν σίγνων ἢ ἐξ ἑτέρων λειτουργιῶν μετακινεῖσθαι*[1].

68. *Οὐ δεῖ προπετῶς πολλὴν ὁδὸν τοὺς μάρτυρας καλεῖν, μάλιστα δὲ τοὺς στρατιώτας· εἰ μὴ τοῦτο ἡ συνήθεια τῆς χώρας ἔχει*[2].

69. *Πανταχοῦ τοὺς μάρτυρας προσκεκλημένους εἶναι βούλεται ἡ διάταξις, φάσκουσα τὰς ματαίας καὶ ἐκ τοῦ παρήκοντος γεγονυίας μαρτυρίας μηδενὶ λόγῳ κρατεῖν. παντάπασι βουλόμεθα καὶ τοιαύτας τινὰς πλάττειν μαρτυρίας ὡς εἰ δι' ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσειε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον ἢ ὀφείλειν τόδε· αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι καὶ οὐδενὸς ἄξιαι λόγου*[3].

70. *Ὁ μάτην καλῶν τινα εἰς δικαστήριον καὶ τὰ τῆς ὁδοῦ καὶ τὰ τῆς δίκης ἀναλώματα ἀπαιτεῖται*[4].

71. *Εἰς ἀπόδειξιν τοῦ γεγονότος καὶ ὁ μὴ προσκεκλημένος μαρτυρεῖ*[5].

72. *Οὐκ ἐπὶ τῶν συμφώνων, ἀλλ' ἐπὶ τῶν συμβεβηκότων καὶ περιστατικῶν μαρτυρεῖ· οἷον ὅταν τὶς ἐν τῇ ὁδῷ ὕβρισέ με, ἢ ἔτυψέ με· οὐδὲ γὰρ ἐγίνωσκον τοῦτον, ἵνα προσκαλέσωμαί τινα ἐπ' αὐτὸ τοῦτο. ἐπὶ τῆς διαθήκης δὲ καὶ ἐπὶ τῶν ἄλλων συμφώνων οὐδαμῶς, εἰ μὴ προσκληθεῖεν*[6].

73. *Εἰ μὲν δόσις ἐστὶ καὶ πάρεισι τῇ καταβολῇ δύο μάρτυρες, μέχρι μιᾶς λίτρας ἀρκοῦσιν ἀδιάβλητοι μένοντες. εἰ δὲ ὑπὲρ τὴν λίτραν ἐστὶν ἡ ποσότης, τότε τρεῖς μάρτυρες δεχόμεθα, εἴγε μαρτυροῦσι παρεῖναι τῇ δόσει. καὶ ὑπὲρ ν' λιτρῶν ἀρκοῦσι τρεῖς μάρτυρες, ἐνώπιον αὐτῶν τοῦ χρυσίου καταβαλλομένου. εἰ δ' οὐκ ἔστι δόσις, ἀλλὰ κατάθεσις, ὅση ἂν ᾖ ποσότης, κἂν πολλὴ κἂν ἐλαχίστη, ε' μάρτυρες ὀφείλουσι προσλαμβάνεσθαι. καὶ οὐκ ἐκ τοῦ παρήκοντος οὗτοι θέλουσι μαρτυρεῖν καὶ λέγειν, δι' ἄλλην χρείαν παραγενόμενοι ἠκούσαμεν τοῦδε λέγοντος χρεωστεῖν τόσην ποσότητα ἢ ἀπολαβεῖν τὸ κεχρεωστημένον· τοῦτο γὰρ οὐδέν ἐστιν· ἀλλὰ διὰ τοῦτο προσκεκλῆσθαι, ὥστε τὸν ὁμολογοῦντα χρεωστεῖν ἢ ἀπολαβεῖν εἰπεῖν πρὸς αὐτούς· γινώσκετε τοῦτο καὶ μαρτυρεῖτε, ὅτι χρεωστῶ τῷ δεῖνι τόδε ἢ τὸ ἱκανὸν ἔλαβον τοῦ χρέους, καὶ ἐθέλω*

[1] Bas. ib. sch. 28. [2] Bas. ibi. [3] Bas. h. t. 10 sch. 1. [4] Epit. XII, 19. [5] Bas. h. t. 10. [6] Bas. ib. sch. 2.

ὑμᾶς εἰδέναι καὶ μαρτυρεῖν περὶ τούτου. τοιαύτην γὰρ ὁ νόμος ἐπὶ τῆς καταθέσεως ἀπαιτεῖ μαρτυρίαν[1].

74. Ὁ ἀπολαμβάνων τὶ ἢ κατατιθέμενος, ἐὰν οἶδε γράμματα, ἐγγράφως τὴν οἰκείαν γνῶσιν ποιεῖν ὀφείλει. εἰ δ᾽ οὖν, ε' μάρτυρας ὀφείλει προσκεκλῆσθαι[2].

75. Οἱ εἰδότες γράμματα καὶ συναλλάττοντες ἐγγράφως ὀφείλουσιν αὐτὰ ὑπογράφειν, ἵνα ᾖ τὸ συμβόλαιον αὐτῶν πιστόν[3].

76. Ἡ ἔγγραφος κατάθεσις ἡ ἐν δικαστηρίῳ συντεθεῖσα ἀναμφισβήτητός ἐστιν[4].

77. Δύο μάρτυρες ἀρκοῦσιν ἐπὶ δόσει νομισμάτων λίτρας μιᾶς, ὥσπερ ἐπὶ ἀπωλείᾳ δικαιωμάτων ναυαγίῳ καὶ τῶν ὁμοίων[5].

78. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας (ἤγουν μεσίτης γενόμενος) ἐν ὑποθέσει οὐ μαρτυρεῖ οὐδὲ δικάζει, εἰ μὴ συναινέσουσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ[6].

79. Ὁ μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι παρὰ ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσουσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ[7].

80. Συνηγορῆσαί ἐστι τὸ προθεῖναι τὴν οἰκείαν ἐν δικαστηρίῳ θέλησιν ἢ τὴν τοῦ φίλου παρὰ τῷ ἔχοντι δικαιοδοσίαν, ἢ τῇ ἑτέρου θελήσει ἀντειπεῖν[8].

81. Ἐκβιβαστής ἐστιν ὁ μετὰ τὴν ἀπόφασιν παρεχόμενος ἐπὶ τῷ ἐκβιβάσαι τὰ ἀποφανθέντα ἤγουν τὸ ἀπαιτῆσαι τὰ περιεχόμενα τῇ ἀποφάσει[9].

82. Ἐὰν δικαστὴς ἐναντιούμενος τῇ προτέρᾳ ἀποφάσει δευτέραν ἀπόφασιν παράσχῃ, οὐ χρεία ἐκκλήτου εἰς τὸ ἀνατραπῆναι αὐτήν[10].

83. Εἰς τὸ παντελὲς κωλύεται συνηγορεῖν ὁ μὴ πληρώσας τὸν ιζ' ἐνιαυτὸν καὶ ὁ μὴ παντελῶς ἀκούων[11].

84. Ἄγραφος μαρτυρία κατὰ ἐγγράφου οὐ φέρεται, εἰ μὴ ὅτε μαρτυρίαι ἔγγραφοι χωρὶς μαρτύρων προσφέρονται· τότε γὰρ ἡ ἄγραφος φωνὴ τῶν νῦν παραγενομένων ἐκμαρτυρίων ἐστὶ πολὺ πιστοτέρα· ἀλλ᾽ ὅτε κατὰ ἑτέρων τινῶν ἐγγράφων δικαιωμάτων ἄγραφοι προσφέρονται μαρτυρίαι[12].

85. Ἴσθι ὅτι ὁ ἐγγράφως χρεωστῶν, εἰ δείξει ὅτι ἀγράφως κατέβαλεν ἐπὶ ε' μαρτύρων, ἐλευθεροῦται τοῦ χρέους[13].

---

[1] Bas. h. t. 11 sch. 1. [2] Bas. h. t. 46 sch. 10. [3] Bas. ibi. [4] Bas. ibi. [5] Bas. h. t. 11 sch. ult. [6] Bas. h. t. 24. [7] Bas. h. t. 46 sch. 25. [8] Bas. h. t. 24 sch. 1. [9] Bas. IX, 3, 84. [10] Bas. IX, 1, 134. [11] Bas. VIII, 1, 1 th. 3. [12] Bas. h. t. (XXI, 1) 25 sch. 1 et 2. [13] Bas. ibi.

86. *Καὶ εἰς ἀνατροπὴν δὲ τῆς ἐγγράφου διαθήκης ἀρκοῦσι μάρτυρες ζ', ὧν ἐνώπιον τὴν ἀνατροπὴν ὁ διαθέμενος εἶπεν*[1].

87. *Ὅταν ἀποδημῶσιν οἱ μάρτυρες οἱ ἐν τῷ ἐγγράφῳ ὑπογράψαντες καὶ προσφέρηται τὸ ἔγγραφον μόνον, τότε ἡ ἄγραφος φωνὴ τῶν μαρτύρων ἐστὶν εὐπιστοτέρα*[2].

88. *Ἐὰν τὸ ἓν μέρος ἐκμαρτύριον προκομίσῃ, τὸ δὲ ἕτερον ἔχῃ μάρτυρας, τοὺς μάρτυρας ἡμεῖς προσιέμεθα ἢ τὰ ἐκμαρτύρια. εἰ γὰρ καὶ τῷ νόμῳ εἴρηται, ὅτι κατὰ ἐγγράφου μαρτυρίας ἄγραφος μαρτυρία οὐ προσφέρεται, οὐ περὶ τῶν μαρτύρων εἴρηται, ἀλλὰ περὶ ἑτέρων δικαιωμάτων, γαμικῶν συμφώνων, πράσεων, δωρεῶν, συμβολαίων, ἀνταλλαγῶν καὶ τῶν ὁμοίων. ἐπὶ δὲ τῶν ἐκμαρτυρίων ἡ ἄγραφος μαρτυρία τῶν παραγινομένων μαρτύρων πολὺ εὐπιστοτέρα ἐστὶ τῶν ἐκμαρτυρίων, καθὸ τὰ μὲν ἐκμαρτύριά εἰσι ψιλὰ γράμματα καὶ ἀβέβαια, ἡ δὲ παρισταμένη καὶ ἐρωτωμένη μαρτυρία σταθερά*[3].

89. *Συμβόλαιόν ἐστιν ὑπόμνημα ἤτοι καταγραφὴ τῶν συμφωνηθέντων καὶ στερχθέντων μεταξὺ ἑκατέρων τῶν συμφωνησάντων καὶ συμβαλόντων· τὸ γὰρ μίγμα τῶν βουλευμάτων τῶν συμβαλόντων προσώπων συμβολὴ, καὶ τὸ ἀπὸ ταύτης ἔγγραφον σύνταγμα συμβόλαιον καλεῖται*[4].

90. *Ἐὰν ἐπί τινι συμβολαίῳ ἡ αὐτὴ φράσις διχῶς νοῆται, ἡ ἁρμόζουσα τῷ κινουμένῳ πράγματι ἐπικρατεῖ*[5].

91. *Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγὰς, ἐὰν δυνατὸν ᾖ ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές*[6].

92. *Ἐν τοῖς συναλλάγμασιν ἡ τῶν πραγμάτων ἀλήθεια σκοπείσθω μᾶλλον ἢ τὸ ἔγγραφον*[7].

93. *Ἔγγραφος μαρτυρία ἐστὶ τὸ μετὰ τῶν ἐκμαρτυρίων παρεῖναι καὶ αὐτοὺς τοὺς ὑπογράψαντας ἐν τοῖς τοιούτοις ἐκμαρτυρίοις. ἄγραφος δὲ τὸ χωρὶς ἐκμαρτυρίων παρεστάναι τοὺς μάρτυρας. τότε γὰρ ἡ ἄγραφος φωνὴ κρείττων ἐστὶ τῆς ἐγγράφου, ὅτε σὺ μὲν ἐκμαρτύριον κομίζων μάρτυρας οὐ προσῆγες, ἐγὼ δὲ μάρτυρας κομίζων ἐκμαρτύριον οὐκ ἐκόμισα*[8].

94. *Κατὰ ἐγγράφου μαρτυρίας τῆς ἐχούσης τὸ ἀξιόπιστον καὶ ἐξ αὐτῶν τῶν ἀγράφων μαρτύρων ἄγραφος μόνη μαρτυρία οὐ προσφέρεται ἡ χωρὶς οὖσα δικαιωμάτων. τότε δὲ προσ-*

[1] Bas. ibi. [2] Bas. ib. sch. 2. [3] Bas. ibi. [4] Epanag. XIII, 1. [5] Bas. II, 3, 67. [6] Epanag. XIII, 3 sive Bas. XXII, 1, 60. [7] Bas. XXII, 1, 81. [8] Basil. XXI, 1, 25 sch. ult.

φέρεται κατὰ τῆς ἐγγράφου, ὅτε ἡ ἔγγραφος ἀπορεῖ μαρτύρων[1].

95. *Οἱ μάρτυρες ἢ κατὰ χάριν ἢ δυναστείαν τινὸς μαρτυροῦντες οὐ πιστεύονται*[2].

96. *Οὔτε ὁ κατὰ χάριν οὔτε ὁ κατὰ δυναστείαν μαρτυρῶν δεκτός ἐστιν*[3].

97. *Οὐδεὶς ἀναγκάζεται καθ' ἑαυτοῦ μάρτυρας παραγαγεῖν ἢ δικαιώματα, ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας*[4].

98. *Οὐδεὶς οὔτε χρηματικὴν δίκην κινεῖν οὔτε ἐγκληματικὴν γυμνάζειν κατά τινος ἀναγκάζεται μὴ βουλόμενος*[5].

99. *Εἴ τις διάφορα δικαιώματα ὑπὲρ ἑαυτοῦ προσφέρει, μάχονται δὲ ἀλλήλοις ταῦτα, ἀνίσχυρα αὐτῷ ἔσται καὶ ἀνωφελῆ*[6].

100. *Ἕκαστος*[7] *ἐνάγων ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ δικαίων. οἷον, εἰ φαίνεται τόνδε τὸν ἀγρὸν εἶναι τῆς ἐμῆς δεσποτείας. οὐ μὴν ὀφείλει κινῶν λέγειν· εἰ φαίνεται τόνδε τὸν ἀγρὸν μὴ εἶναι τῆς τοῦ ἀντιδίκου δεσποτείας. εἰ γὰρ οὕτως εἰσέλθοι κινῶν, ἐρεῖ αὐτῷ ὁ ἀντίδικος, πρῶτον μὲν ἐμός ἐστιν ὁ ἀγρὸς, εἰ δ' οὐκ ἐστιν ἐμὸς ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σὸς ἀλλὰ ἄλλου ἐστὶν· οὐ γὰρ πάντως τὸ μὴ ἐμὸν ἤδη σόν ἐστι· εἰ δὲ μήτε ἐμὸς μήτε σός ἐστιν ὁ ἀγρὸς, ὀφείλω σε νικᾷν ἐν τῷ παρόντι δικαστηρίῳ διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἡ αἵρεσις τοῦ νεμομένου*[8].

101. *Δύο περὶ κέρδους ἀγωνιζομένων χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος αἵρεσις*[9].

102. *Ὁ ἐνάγων ὀφείλει δεῖξαι· ἐὰν δὲ μὴ δείξῃ, νικᾷ ὁ ἐναγόμενος, κἂν ἀλλότριον νέμηται*[10].

103. *Οὐκ ἀπαιτεῖται ὁ ἐναγόμενος δεῖξαι πόθεν νέμεται*[11].

104. *Ὁ ἐνάγων ἀκολουθείτω τῷ φόρῳ τοῦ ἐναγομένου. φόρος δέ ἐστιν, ἔνθα νῦν ἔχει τὴν κατοίκησιν ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος*[12].

105. *Ὁ ὑπὸ κατηγορίαν ὢν ἀντικατηγορῆσαι οὐ δύναται*[13].

106. *Ὁ ἐναγόμενος ἐνάγειν οὐ δύναται, εἰ μήπω ἐγγύτερόν ἐστι τὸ κινούμενον ἔγκλημα κατὰ τοῦ ἐνάγοντος*[14].

---

[1] Bas. ibid. [2] Bas. h. t. 29. [3] Bas. ib. sch. 1. [4] Bas. h. t. 31. [5] Bas. VII, 19, 4. [6] Bas. XXII, 1, 73. [7] Paris. 1368 hic in margine adscriptum habet locum Harmenop. I, 1, 36. [8] Proch. XXVII, 14. [9] Bas. II, 3, 33. [10] Epit. XII, 12. [11] Bas. XLII, 1, 69. [12] Bas. VII, 3, 38. [13] Cf Bas. LX, 33, 5. 34, 41. [14] Non invenio.

107. *Δεῖ τοὺς μάρτυρας πρότερον ὀμνύναι πρὶν ἢ μαρτυρήσουσιν, ὅτι οὐκ οἴδασι δι' ἣν αἰτίαν προσεκλήθησαν καὶ ὅτι οὐδὲν περὶ τοῦ ζητουμένου ἐπίστανται. δεῖ δὲ τὸν δικάζοντα τοῖς τιμιωτέροις τῶν μαρτύρων πιστεύειν καὶ οὐ τοῖς πλείοσι. καὶ εἷς μόνος μάρτυς κἂν συγκλητικὸς ᾖ οὐ πιστεύεται*[1].

108. *Οὐδεὶς εἰς ἴδιον πρᾶγμα δύναται μαρτυρῆσαι. ἡ γὰρ γ' διάτ. βούλεται μὴ δεχθῆναι τὰς οἰκειακὰς μαρτυρίας. πολλῷ μᾶλλόν τις ὑπὲρ ἑαυτοῦ μαρτυρῶν εὐπρόσδεκτος οὐκ ἐστιν*[2].

109. *Ὁ δικαστὴς ὀφείλει σκοπεῖν, διὰ ποίων καὶ πόσων τεκμηρίων τὴν τοῦ πράγματος ἐφεύρῃ ἀλήθειαν· αὐτῷ γὰρ ἐπιτέτραπται τὰ τοιαῦτα ζητεῖν*[3].

110. *Τοὺς δικαστὰς ποιουμένους ἁμαρτημάτων ἐξέτασιν οὐ μαρτύρων μόνον φωναῖς ὁ νομοθέτης προσέχειν προτρέπεται, καὶ ὑπόντων μὲν τούτων καταψηφίζεσθαι τοὺς ἐναγομένους, ἐπιλειπόντων δὲ ἀθώους ἀφιέναι τούτους καὶ ἀνεπιτιμήτους, ἀλλὰ καὶ ἄλλ' ἄττα ζητεῖν κελεύουσι, καὶ βασάνους θεσπίζουσι τοῖς κρινομένοις ἢ καὶ συνειδόσι τούτοις ἐπάγεσθαι. ᾔδεσαν γὰρ οἱ νομικοί, ὅτι οἱ διαπράττεσθαί τι τῶν ἀπειρημένων ἐπιχειροῦντες κρύβδην καὶ ὑπὸ σκότος ἐργάζονται τὸ ἀτόπημα, ἵνα τοὺς τῶν πολλῶν λάθωσιν ὀφθαλμούς. καὶ διὰ τοῦτο νόμους ἔθεντο παραγγέλλοντες τοῖς δικαστηρίων ἐξάρχουσι ζητεῖν τὰ τεκμήρια, καὶ μαρτύρων χωρὶς ἐσθ' ὅτε κατακρίνειν τὸν ἐπί τινι κρινόμενον ἁμαρτήματι, καὶ μὴ διὰ παντὸς τοὺς ἐλέγχους ἐπιζητεῖν, ἀλλὰ καὶ τοῖς τεκμηρίοις ἀρκεῖσθαι μόνοις, καὶ ψῆφον ἐκφέρειν κατὰ τούτου καὶ ἀποφαίνεσθαι. ἐπὶ μὲν τῶν στοχαστικῶν ζητημάτων ἀντ' ἀποδείξεων ἀπολαμβάνονται τὰ τεκμήρια. ταῦτα δέ εἰσιν ἡ τῶν πολλῶν φήμη, ἡ τοῦ κρινομένου ὑπόληψις καὶ ὁ παρελθὼν αὐτῷ βίος. φησὶ γὰρ τὸ δέκατον κεφάλαιον τοῦ ν' τί. τοῦ ξ' βι. καὶ ἀπὸ τῆς φωνῆς καὶ τῆς ἐνστάσεως καὶ τῆς ἐν τῇ πόλει τοῦ ἐρωτωμένου προλήψεως ἡ ἀλήθεια καταλαμβάνεται. ἅπερ δὲ ὡς ἀποδείξεως ἐπέχονται δύναμιν, καὶ καταδίκην ἐπάγουσιν ἀναφανέντα, καὶ τὸν μὴ συντιθέμενον ἁρμαρτῆσαι ταῖς βασάνοις ὑποβάλλουσιν κατὰ τὴν τῶν προσώπων τε καὶ τῶν ἐγκλημάτων ποιότητα*[4].

111. *Εἰσί τινα πρόσωπα ἐν ἄλλοις μὲν βασάνων ἀπηλλαγμένα, ἐν ἄλλοις δὲ οὔ. ὅτε μὲν τὸ ἐξεταζόμενον ἔγκλημα*

[1] Bas. h. t. 33 et sch. 1. [2] Bas. h. t. 34 et sch. 1. [3] Bas. h t. 3 sch. 9. [4] Bas. ibi.

ἢ, οἷον ἡ βία, ἢ ἀνδροκτασία ἤ τι τοιοῦτο, καὶ τὸ ὑπεύθυνον πρόσωπον μὴ ἀξιωματικὸν, μὴ συγκλητικῆς ἠξιωμένον τιμῆς, μὴ κεκτημένον προνόμιον τοῦ μὴ βασανίζεσθαι, ὡς οἱ τῶν ἐνδόξων καὶ ἐπισήμων παῖδες ἀνδρῶν καὶ ἔκγονοι, καὶ στρατιῶται, καὶ οἱ ἐν ῥώμῃ φυλάσσοντες, οὐκ ἐκφεύγει τὰς βασάνους. ὅτε δὲ καθοσιώσεως ὑπάρχει τὸ ἔγκλημα, αἱ βάσανοι καὶ τοῖς ἀπηριθμημένοις προσώποις ἐπάγονται[1].

112. Ἀπελεύθερος κατὰ πάτρωνος μήθ᾽ ἑκὼν μήτ᾽ ἄκων μαρτυρείτω (ἤγουν μήτε ἐγκληματικῶς μήτε χρηματικῶς)[2].

113. Τῶν ἀπελευθέρων κατὰ τῶν πατρώνων τὰς ἀθεμίτους φωνὰς καὶ ἀναισχύντους τῇ τῆς τιμωρίας ἀντιθέσει ἀποκλείομεν, καὶ οὕτως, ἵνα μὴ μόνον ἑκουσίως προσελθεῖν μὴ τολμήσωσιν, ἀλλὰ μηδὲ κληθέντες εἰς δικαστήριον ἀναγκάζωνται παραγενέσθαι[3].

114. Οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ καὶ ἀπόδειξις διδάσκει τὸν δικαστήν[4].

115. Ὁ ἀπελεύθερος τάξιν ἐπέχει τῶν κατιόντων καὶ διὰ τοῦτο ἀποκέκλεισται καταμαρτυρεῖν τοῦ πάτρωνος τάξιν πατρὸς ἐπέχοντος[5].

116. Ὁ τὰ ψευδῆ μαρτυρήσας πρότερον μὲν ἐπιορκεῖ, δεύτερον δὲ ὡς πλαστογράφος ἐνάγεται, καὶ ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς μαρτυρίας ὑπονοηθεὶς ψεύδεσθαι βασάνοις ὑπόκειται. ἐὰν δὲ βουληθῇ ὁ ἐκ τῆς ψευδοῦς μαρτυρίας καταδικασθεὶς πολιτικῶς (ἤγουν χρηματικῶς) κινῆσαι κατὰ τοῦ ψευδομαρτυρήσαντος, λήψεται παρ᾽ αὐτοῦ πᾶσαν ἣν ὑπέστη ζημίαν, πρὸς τῷ καὶ τὴν ἀπὸ τῶν νόμων ὡρισμένην τιμωρίαν ὑφίστασθαι. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ πρωτοτύπῳ δίκῃ (ἤγουν τῇ προκατάρξει τῆς δίκης) ψευδόμενος ἐλεγχθείη, ἔργον ἐστὶ τοῦ δικάζοντος ἢ εἰς πᾶσαν τὴν ἐπιφερομένην ἐκείνῳ καθ᾽ οὗ ἐμαρτύρησε δίκην καταδικάζειν αὐτὸν, ἢ εἰς ἔλαττον, ἢ καὶ τιμωρίαις ὑποβάλλειν αὐτόν· φυλαττομένων πάντων τῶν ἤδη νενομοθετημένων περὶ τῶν τὰ ψευδῆ μαρτυρούντων (τουτέστιν ὁ τοιοῦτος μηδὲ ἐν ἄλλῳ καιρῷ ἢ προσώπῳ μαρτυρείτω)[6].

117. Ἐὰν πρεσβύτερος ἢ διάκονος ψευδομαρτυρήσῃ, εἰ μὲν ἐπὶ χρηματικῇ ὑποθέσει, ἐπὶ τρεῖς ἐνιαυτοὺς τῆς θείας ὑπηρεσίας χωρίζεται· εἰ δὲ ἐπὶ ἐγκληματικῇ, καθαιρεῖται, καὶ

---

[1] Bas. ibi. [2] Bas. h. t. 36 et schol. 3. [3] Bas. cit. sch. 1. [4] Bas. LX, 50, 1 th. 15. In aliis haec §. deest. [5] Bas. h. t. (XXI, 1) 36 sch. 2. [6] Bas. h. t. 37.

τότε ταῖς τῶν ψευδομαρτύρων ποιναῖς ὑποβάλλεται. εἰ δὲ ὑποδιάκονος ἢ ψάλτης ἐστὶν ἢ ἀναγνώστης, οὐδεμιᾶς οὔσης διαφορᾶς ἐπὶ ποίᾳ δίκῃ εἴτε χρηματικῇ εἴτε ἐγκληματικῇ, καθαιρεῖται καὶ βασάνοις ὑποβάλλεται[1].

118. Αἱ μάστιγες ἔχουσι χώραν χρηματικῶς ζητουμένης τῆς ὑποθέσεως. ὅταν μέντοι ἐγκληματικῶς ζητῆται τὸ περὶ πλαστογραφίας, ἀρκεῖ γὰρ ὁ περιορισμὸς καὶ ἡ τελεία δήμευσις[2].

119. Ὁ ψευδομαρτυρῶν ὡς πλαστογράφος εὐθύνεται[3].

120. Ἐὰν ὑπονοηθῇ ἐν τῇ κινουμένῃ δίκῃ κατὰ τὸν καιρὸν αὐτῆς ὡς ψευδομάρτυς ὁ μαρτυρῶν τὰ ψευδῆ, τότε βασάνοις ὑπόκειται· ἂν δὲ μετὰ τὴν δίκην, ὁ ζημιωθεὶς τότε καὶ τὴν ζημίαν ἀπαιτεῖ καὶ τὸν ψευδομαρτυρήσαντα μαστίζει[4].

121. Οἱ ψευδομαρτυροῦντες πλαστογραφίας κρίνονται· δυσσεβοῦσι δὲ καὶ εἰς τὸ θεῖον ἐπιορκοῦντες. ἂν δὲ ὁ ἀδικηθεὶς μὴ ἐπεξέρχηται αὐτῷ, ὁ δικαστὴς εἰ φωράσαι[5] καὶ τὰ τῆς δίκης δαπανήματα τῷ ἀδικηθέντι παρ᾽ αὐτοῦ δοθῆναι κελεύει, καὶ τοῦτο ποιήσει πάντων τῶν πάλαι νομοθετηθέντων βεβαίων μενόντων[6].

122. Ὁ κληθεὶς εἰς μαρτυρίαν καὶ τὰ ψευδῆ μαρτυρήσας, καὶ μέλλων διὰ τοῦτο κολάζεσθαι παρὰ τοῦ δικαστοῦ, οὐδένα φόρον ἢ ἀξίαν ἢ στρατείαν ἢ ἐπαρχίαν ἐπικαλεῖσθαι δύναται[7].

123. Ὁ ψευδόμενος οὐκ ἔχει φόρου παραγραφήν[8].

124. Ἡ τοῦ φόρου παραγραφὴ ἐν προοιμίοις τῆς δίκης ἀντιτίθεται. ἐὰν δ᾽ ἅπαξ εἰσέλθῃ τὶς εἰς τὸ δικαστήριον μὴ χρησάμενος τῇ παραγραφῇ ταύτῃ, οὐκέτι δύναται αὐτὴν ἀντιτίθεσθαι· τυχὸν οὐ δύναται λέγειν, ὅτι στρατεύομαι ἢ ὅτι ἐξ ἄλλης ἐπαρχίας εἰμὶ καὶ οὐχ ὑπόκειμαι τῇ δικαιοδοσίᾳ ἤτοι τῇ κρίσει σου[9].

125. Ὅτε οἱ μάρτυρες ἑαυτοῖς ἐναντιοῦνται ἢ ἄλλοις μάρτυσιν ἢ πλαστῶς μαρτυροῦσι, τότε δεχέσθω ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους, καὶ κολαζέτω τοὺς ὑπόπτους, εἴπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες[10].

126. Τὰς ἡμέρας, ἃς διατρίβουσιν οἱ μάρτυρες ἐν τῷ δικαστηρίῳ, λαμβάνουσι τὰ δαπανήματα παρὰ τῶν προσαγόντων αὐτοὺς κρίσει τοῦ ἄρχοντος[11].

---

[1] Bas. ib. sch. 1. [2] Bas. ib. sch. 3. [3] Bas. ib. sch. 4. [4] Bas. cit. [5] Basil. συνίδοι. [6] Bas. cit. sch. 5. [7] Bas. h. t. 38. [8] Bas. ib. sch. 1. [9] Bas. l. c. et sch. 2. [10] Proch. h. t. 4. [11] Bas. h. t. 43 sch. 2.

127. Πολλῶν τὸ αὐτὸ ἁμαρτησάντων τῶν τῆς δειλοτέρας καὶ ἁπαλωτέρας ἡλικίας ὄντων δεῖ τῆς συζητήσεως ἄρχεσθαι[1].

128. Ἐὰν ἐλεύθεροί τινες εἰς μαρτυρίαν καλῶνται μὴ ὡς κοινωνοὶ τοῦ πταίσματος, ἀλλὰ μόνον δι' εἴδησιν μαρτυρῆσαι, χρὴ αὐτοῖς ἀναλώματα προστάξει τοῦ ἄρχοντος χορηγεῖσθαι. (ἂν δὲ κοινωνοὶ ὦσι τοῦ πταίσματος, οὐ λαμβάνουσι τὰς χορηγίας παρὰ τοῦ τούτους καλέσαντος.) καὶ οὐ μόνον ἐπὶ τῶν ἐγκληματικῶν, ἀλλὰ καὶ χρηματικῶν αἰτιῶν τοῦτο κρατείτω, εἰ καὶ ἐν χρηματικῇ δίκῃ μάρτυρες παρὰ θατέρου μέρους ὀφείλουσι προσενεχθῆναι[2].

129. Κρίσει τοῦ δικάζοντος λαμβανέτωσαν δαπανήματα οἱ μαρτυροῦντες πάσῃ δίκῃ παρὰ τοῦ παράγοντος αὐτοὺς, εἰ μὴ ἄρα μαρτυροῦσι πταίσματί τινι οὗ καὶ μετέχουσιν[3].

130. Ἐὰν ἅπαξ τινὲς ὁμολογήσαντες περὶ ἑαυτῶν βουληθῶσι περὶ ἑτέρων εἰπεῖν ὡς συνειδότων, μὴ πιστευέσθωσαν, εἰ μήτοιγε δείκνυνταί τινες κοινῶς ἁμαρτήσαντες. ἐπὶ δὲ τῷ φυγεῖν τὴν καθ' ἑαυτῶν μέλλουσαν ἐξενεχθῆναι ἀπόφασιν προδεδωκότες αὐτοὺς, ὀφείλουσι τιμωρηθῆναι[4].

131. Δυνατὸν καὶ ἀπὸ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς δικαστικῆς σταλῆναι τὰς μαρτυρίας, πραττομένας μέντοι κατὰ νόμους ἤγουν ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τοῦ ἐκδίκου ἢ παρὰ τοῦ ἄρχοντος, ἐν δὲ τῇ κωνσταντινουπόλει παρὰ τῶν θείων δικαστῶν. καὶ σημείωσαι, ὅτι αἱ πραττόμεναι μαρτυρίαι ὀφείλουσιν ἔχειν σημεῖον ἐκείνου παρ' οὗ καὶ ἐπράχθησαν[5].

132. Ἐπὶ τῶν ἐγκλημάτων ἀνάγκη πάντως παραχθῆναι τοὺς μάρτυρας καὶ μὴ τὰς φωνὰς αὐτῶν[6].

133. Τοὺς δούλους μήτε ὑπὲρ τοῦ δεσπότου μήτε κατὰ τοῦ δεσπότου δύνασθαι ἐρωτηθῆναι οὐκ ἀμφιβάλλεται. ὑπὲρ μέντοι ἰδίου φάκτου δύνασθαι αὐτοὺς ἐρωτᾶσθαι, πάλιν οὐκ ἀμφιβάλλεται[7].

134. Δοῦλος κατὰ δεσπότου ἢ ὑπὲρ δεσπότου ἢ ἀπελεύθερος μὴ μαρτυρείτω[8].

135. Ὁσάκις δοῦλος ἐρωτᾶται περὶ ἰδίας πράξεως, εἴτε συμβάλλεται τῷ δεσπότῃ εἴτε βλάπτει αὐτὸν ἡ ἐπερώτησις, δεχόμεθα αὐτήν[9].

136. Ὑπὲρ οἰκείου φάκτου ἕκαστος δοῦλος καλῶς ἐπερω-

---

[1] Bas. h. t. 35 sch. 1. [2] Bas. h. t. 35. [3] Bas. ib. sch. 1. [4] Bas. cit. [5] Bas. h. t. 46 sch. 19. [6] Bas. ib sch 20. [7] Nonnulli praeponunt rubricam: περὶ δούλων. Bas. h. t. 32. [8] Bas. ib. sch. 1. [9] Bas. ib. sch. 3.

ταται, οὐ μὴν [ἀλλὰ] καὶ βασανίζεται, καὶ ἡ ἐμβάσανος αὐτοῦ ὁμολογία πιστεύεται[1].

137. Τί ἐστιν ἄρα περὶ φάκτου ἰδίου; νόμισον, ὅτι κελευσθεὶς παρὰ τοῦ δεσπότου ἐφόνευσεν ἢ ἄλλο τὶ ἥμαρτεν· ἐρωτώμενος περὶ τοῦ οἰκείου φάκτου δύναται καὶ τοῦ δεσπότου μνημονεῦσαι. ἢ πάλιν ἐρωτώμενος εἰ ἔφυγε πρὸ τῆς προκατάρξεως λέγει· καίτοιγε βλάπτει τὸν ἀγοραστὴν λέγων πολλάκις, ὅτι οὐκ ἔφυγεν[2].

138. Οὐδὲ βουλομένου τοῦ δεσπότου ἐρωτᾶται κατ' αὐτοῦ ἢ κατὰ δεσποίνης δοῦλος[3].

139. Τοὺς δούλους οὐ μόνον ὑπὲρ τῶν δεσποτῶν, ὧν ἐν τῇ δεσποτείᾳ ὑπῆρχον, ἀλλ' οὐδὲ ὑπὲρ ἐκείνων, ὧν πρότερον ἦσαν, δύνασθαι ἐρωτᾶσθαι ὡμολόγηται[4].

140. Δοῦλος κατὰ δεσπότου οὐ βασανίζεται, εἰ μὴ μόνον ἐπὶ τῷ περὶ μοιχείας καὶ ἐπὶ τῆς βλάβης τῶν κίνσων καὶ καθοσιώσεως. ἐὰν δὲ πρὸς οἷς ὁ δοῦλος κατέθετο κατὰ τοῦ δεσπότου ὦσι καὶ ἕτεραι ἀποδείξεις, οὐ δυνάμεθα τὰς ἄλλας διαβάλλειν ἐξ ὧν ὁ δοῦλος κατέθετο. ἐν δὲ ταῖς χρηματικαῖς δίκαις οὐδὲ ἐνώπιον ἀποδείξεων χρὴ τοὺς δούλους κατὰ τῶν δεσποτῶν ἐρωτᾶσθαι[5].

141. Καὶ ἡ ϛ' νεαρά φησι, μὴ δέχεσθαι τὸν τῇ ἀληθείᾳ ὄντα δοῦλον ἐν μαρτυρίᾳ καθόλου[6].

142. Ἐὰν ὁ μαρτυρῶν λέγηται εἶναι δοῦλος, ἑαυτὸν δὲ φῇ οὗτος εἶναι ἐλεύθερον, ἂν μὲν ἐκ γενετῆς ᾖ δοῦλος καὶ μαρτυρήσῃ, ἐκβάλλεται διὰ τῆς παραγραφῆς· εἰ δ' ἀπελεύθερος εἴη, δεικνύτω τὴν ἐλευθερίαν αὐτοῦ, ἢ ὀμνύτω ὡς οὐκ ἔχει αὐτὴν ἐν ἑτοίμῳ· καὶ ἂν μαρτυρήσας μὴ δείξῃ μετὰ ταῦτα τὴν οἰκείαν ἐλευθερίαν, οὐκ ἔστι λοιπὸν προσδεκτέος[7].

143. Ὁ μὴ ἐναχθεὶς περὶ τῆς ἰδίας καταστάσεως καλῶς μαρτυρεῖ ἐν διαθήκῃ[8].

144. Εἰ ὡς δοῦλος διαβάλλεται ὁ μάρτυς, λέγει δὲ εὐγενὴς εἶναι, δεχέσθω τούτου ἡ μαρτυρία παραγραφῆς ὑποκειμένης. εἰ δ' ἀπελεύθερος εἶναί φησι, τοῦτο αὐτίκα δεικνύτω ἢ ὀμνύτω μὴ δυνάμενος τοῦτο προχείρως δεῖξαι· καὶ τῆς μαρτυρίας αὐτοῦ αναλαμβανομένης τοῖς πραττομένοις μὴ ἄλλως αὐτὴν προσδεχέσθω ὁ δικαστής, ἂν μὴ πρότερον συστῇ ἡ ἐλευθερία[9].

---

[1] Bas. cit. [2] Bas. cit. [3] Bas. cit. [4] Bas. cit. [5] Bas. cit.
[6] Bas. ib. sch. 2. [7] Bas. h. t. 46 sch. 21. [8] Bas. cit. [9] Bas. cit.

145. Ἐάν[1] τις τὸν ἴδιον ἀντίδικον περὶ συγγενείας ἀπαιτήσῃ συστάσεις, λέγων αὐτὸν μὴ εἶναι συγγενῆ, καὶ ἐλεγχθείη ψευδόμενος, ταύτην ἀπολαμβανέτω τὴν τιμωρίαν, ἵνα κἂν ταῖς ἀληθείαις ᾖ συγγενὴς, ἀπολέσῃ τὰ ἐξ ἀδιαθέτου δίκαια τὰ πρὸς ἐκεῖνον ὃν ἀπήτησε τὰς περὶ συγγενείας ἀποδείξεις. μᾶλλον δὲ ἐπειδὴ τοῦτο τὸ προνόμιον εὐκαταφρόνητον ἦν, ἑκάστου λέγοντος ὅτι κἂν μὴ δουλαγωγήσω, οὐ πάντως ἐγὼ μέλλω κληρονομεῖν αὐτὸν· ἴσως γὰρ ἐπὶ διαθήκῃ τελευτᾷ· κελεύει ἡ διάταξις, τὸν ἀπαιτοῦντα γένους σύστασιν τέως πρὸ πάντων ὀμνύναι, ὡς νομίζων μὴ εἶναι συγγενῆ τὸν διάδικον τοῦτο λέγει· καὶ εἰ μὲν ἐπομόσεται, δύναται κληρονομῆσαι. λοιπὸν δὲ μετὰ τὸν τούτου ὅρκον ὀφείλει ὁ τὰς συστάσεις ἀπαιτούμενος ταύτας παρασχεῖν. χρεία δὲ ἐν τῇ ἀποδείξει μαρτύρων ε', ἐὰν μὴ ὦσι δικαιώματα πρὸς σύστασιν ἐπιτήδεια· εἰ δ' εἰσὶ δικαιώματα, ἀρκούμεθα γ' μάρτυσιν· εἰ δὲ τὸ δικαίωμα τοιοῦτόν ἐστιν, ὥστε ἀντὶ πάντων ἀρκεῖν, ἴσως γὰρ ὑπόμνημα δημόσιον ἦν, τότε οὐδὲ δεόμεθα μαρτύρων[2].

146. Ἐάν τις ἐν ὑπομνήμασι καὶ ἐν συμβολαίῳ προσμαρτυρήσῃ (ἢ ὑπογράψῃ), ἀνάγκην ἐχέτω πᾶσι τρόποις, καὶ δίκης ἐπὶ τῷ πράγματι κινουμένης μαρτυρῆσαι, κἂν ἕτερον φόρον ἐπιγράφηται. ἂν γὰρ τοῦτο μὴ εἴπωμεν, βλάπτεται ὁ δεηθεὶς τῆς αὐτοῦ μαρτυρίας[3].

147. Ὁ ἀρνούμενος τὸν ἴδιον συγγενῆ οὐ κληρονομεῖ αὐτὸν ἐξ ἀδιαθέτου[4].

148. Μὴ ὀφείλειν τινὰ ἀρνεῖσθαι τὴν ἰδίαν γονήν. ἀρκείτωσαν δὲ πρὸς ἀπόδειξιν ε' μάρτυρες μὴ ὄντων ἐγγράφων. εἰ δ' ἐστὶν ἔγγραφον ἤτοι συμβόλαιον, γ' μόνοι ἀρκοῦσι μάρτυρες. εἰ δὲ εὔπιστον τὸ συμβόλαιόν ἐστι καὶ οὐδὲ χρεία μαρτύρων ἐπ' αὐτῷ, δεκτόν ἐστιν[5].

149. Οὔτε ὁ ἐπίτροπος πιστεύεται ἀγνοεῖν τοῦ παρ' αὐτοῦ ἐπιτροπευθέντος τὴν ἡλικίαν, οὔτε ὁ ἐγγίζων τινὶ κατὰ συγγένειαν. τοῦτο δὲ συντείνει ἐπὶ τῶν ἀποπροσποιουμένων [μὴ] εἰδέναι ὅπερ ὤφειλον εἰδέναι. ἡ δὲ αἰτία τοῦ ὅρκου αὕτη. κατὰ τοῦτο εἶπεν ἡ διάταξις τὸν ἐναγόμενον πρῶτον ὀμνύναι τὸν περὶ εἰδήσεως ὅρκον, ἵνα ὕστερον δύνηται κληρονομεῖν τὸν ἐνάγοντα ἀδιάθετον τελευτήσαντα. ἐκ τούτου γοῦν ἔξεστιν

---

[1] Nonnulli praeponunt inscriptionem: περὶ τῶν ἀρνουμένων τοὺς ἰδίους συγγενεῖς. [2] Bas. h. t. 39 med. [3] Bas. ib. in fine. [4] Bas. ib. sch. 4. [5] Bas. ibi.

εἰπεῖν, ὅτι εἰ ὁ ἐνάγων ἔχει παῖδας ἢ ἑτέρους συγγενεῖς πλησιεστέρους δυναμένους κληρονομεῖν τοῦτον ἐξ ἀδιαθέτου, οὐκ ἀπαιτηθήσεται τὸν ὅρκον ὁ ἐναγόμενος. τούτου δὲ οὕτω μὴ ἔχοντος, ὁμολογουμένως τοῦτον ἀπαιτηθήσεται, κἂν τοιαῦτα πρόσωπα ὦσι, κἂν τῇ κληρονομίᾳ ἀποτάσσηται. ὁ γὰρ νόμος ζητεῖ ἐξ αὐτοῦ τὸν ὅρκον διὰ τὸ συκοφαντικῇ προαιρέσει ὑπονοεῖν αὐτὸν τοῦτο ποιεῖν[1].

150. *Καὶ πάλιν λέγει περί τινος θείου ἐπιτροπεύσαντος ἰδίας ἀνεψιᾶς, μὴ πιστεύεσθαι διά τε τὴν ἐπιτροπὴν καὶ τὴν τῆς συγγενείας ἐγγύτητα ἀγνοεῖν τὴν ἡλικίαν τῆς ἐπιτροπευθείσης. εἰ δὲ προκομίζει δικαίωμα γ΄ μαρτύρων ἔχον ὑπογραφὰς ὁ τὰς συστάσεις τοῦ γένους ἀπαιτούμενος, ἀρκούμεθα τοῖς ἐν τῷ συμβολαίῳ ἀναταττομένοις γ΄ μάρτυσι, [μὴ ἀπαιτοῦντες σὺν τοῖς ἐν τῷ συμβολαίῳ ἀναταττομένοις μάρτυσι] καὶ ἑτέρους γ΄ ἔξωθεν παράγεσθαι[2].*

151. *Ὁ κῆνσος καὶ τὰ δημόσια ὑπομνήματα ἐπικρατέστερα τῶν μαρτύρων εἰσὶν, οἷον ἰσοκώδηξ ἢ μάτρηξ ἢ δικαστηρίου πρακτικόν[3].*

152. *Εἴ τις ἐν πόλει ἢ προαστείοις αὐτῆς ὢν μαρτυρίας ἐγγράφους ἔνεμέ τινι, εἰ μὲν ἐπὶ καταθέσεως τοῦτο πεποίηκε, μεταστελλέσθω ἀζημίως καὶ τὴν οἰκείαν βεβαιούτω μαρτυρίαν· εἰ δὲ μὴ, πάντων δεινότατα πείσεται ὁ τῇ ἐκείνου πιστεύσας μαρτυρίᾳ[4].*

153. *Ὁ ὑπογράψας ἐν οἱῳδήποτε συμβολαίῳ ἀναγκάζεται ἃ οἶδε περὶ τῆς ἰδίας ὑπογραφῆς λέγειν, καὶ εἰ φαίνεται, ὅτι αὐτοῦ ἐστιν ἡ ὑπογραφὴ, δεχόμεθα αὐτήν· ἂν δὲ εἴπῃ μὴ εἶναι αὐτοῦ, τιμωρούμεθα τὸν αὐτὴν ὑπὲρ αὐτοῦ προφέροντα, ἀπειλοῦντες αὐτῷ ἔκπτωσιν τῆς δίκης[5].*

154. *Οἱ ὑπογράψαντες ἔν τινι συμβολαίῳ καὶ μὴ θέλοντες μαρτυροῦσι μετὰ τὸ ὑπογράψαι[6].*

155. *Οἱ φρόνιμοι τῶν ἀνθρώπων ἀεὶ τὰς μαρτυρίας τῶν παρόντων τοῖς γινομένοις λαμβάνουσιν ἐγγράφως, ὡσὰν μὴ συμβῇ μετὰ ταῦτα ὑποφθαρῆναι τοὺς μάρτυρας παρὰ τῶν διαδίκων ἢ ἐπιλήσμονας γενέσθαι τῶν γενομένων[6].*

156. *Κελεύει ἡ διάταξις, οὐ μόνον ἐν ταῖς ἐγκληματικαῖς*

---

[1] Bas. ib. sch. 6. [2] Bas. ibid. et sch. 8. [3] Bas. ibid. et sch. 9. [4] Bas. ib. sch. 11. [5] Bas. ib. sch. 4. [6] Etiam §§. 154 et 155, ni fallor, ex scholiis ad Basil. h. t. 39 haustae sunt, licet in scholiis, qualia Fabroti et Heimbachii editiones praestant, hodie non legantur.

δίκαις ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν μεθ᾽ ὅρκου ἅπερ ἐπίσταται, ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται, ὑπεξῃρημένων τῶν προσώπων τῶν ἀπὸ νόμου κωλυομένων μαρτυρεῖν. καὶ εἰ μὲν ἐνδημοῦσιν ἐν τῇ βασιλίδι, δι᾽ οἰκείας φωνῆς μαρτυρεῖν· εἰ δὲ ἀπολιμπάνονται, στέλλεσθαι τοὺς τῶν μερῶν ἐντολέας, ἐφ᾽ ᾧ καταθέσθαι ἅπερ ἐπίστανται ἢ ἐπομόσασθαι ἅπερ ἀγνοοῦσι, δηλονότι καὶ ἐπὶ τῆς ἐν ὑπομνήμασι μαρτυρίας τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων (ἤγουν τῶν ἀπὸ τοῦ νόμου κωλυομένων). πάσας δὲ τὰς ἐπὶ τούτοις διαλαλιὰς καὶ τὰς παραγωγὰς ἀζημίους εἶναι τοῖς μάρτυσιν[1].

157. Οὐκ ἀναγκάζεταί τις μαρτυρεῖν ἐν διαθήκῃ, ἀλλὰ προσκαλεῖται ὁ θέλων τοῦτο ποιεῖν[2].

158. Ἀναγκάζονται[3] καὶ ἐπὶ χρηματικῶν καὶ ἐπὶ ἐγκληματικῶν μαρτυρεῖν· οὐ πάντοτε δὲ, ἀλλ᾽ ἐπὶ τῶν περιστατικῶν, ὡς ὅταν ἐκ τῶν μεγίστων ἀρχόντων ἔχῃ τὶς δίκαιον κατὰ ἀνδρὸς πολὺ ὑποβεβηκότος, καὶ τοῦ ἄρχοντος τὴν δυναστείαν δεδιότες οἱ μάρτυρες ἀναποδίζωσι πρὸς τὴν μαρτυρίαν. τότε γὰρ ὁ δικάζων ἀναγκάζει αὐτοὺς μαρτυρῆσαι ἃ ἐπίστανται, ἢ ὀμόσαι ὡς οὐκ ἐπίστανται. ἐπεὶ οὐ δυνατὸν λέγειν καθόλου, καὶ ἐπὶ τῶν ἐγκληματικῶν μαρτυρεῖν ἄκοντας· εὑρίσκεται γὰρ ὁ κατήγορος κατὰ πολὺ πλεονεκτῶν τοῦ φεύγοντος, εἴγε οὗτος μὲν ἄκοντας παράγει μάρτυρας, ὁ δὲ ἐναπόκλειστος ὢν τοῦτο οὐ δύναται ποιεῖν, καὶ οἴχεται ὁ κανὼν ὁ λέγων· θάλπονται οἱ ἐναγόμενοι. ὅπερ ὁ νόμος οὐ βούλεται, ἀλλὰ ῥητῶς οὕτω φησίν· οἱ βουλόμενοι κατηγορεῖν εὐπρεπεῖς ἔχοντες τὰς ἀποδείξεις οὕτω κατηγορείτωσαν. εὐπρεπεῖς δὲ λέγομεν τὰς διὰ μαρτύρων ἢ συμβολαίων. οὐχ ἵνα μετὰ τὴν ἔναρξιν τῆς δίκης ἄκοντας καὶ μὴ βουλομένους τῇ ἰσχύϊ τοῦ δικαστοῦ παράγει μάρτυρας[4].

159. Ἰστέον, ὅτι ἐπὶ μόνων τῶν χρηματικῶν, ὅτε ἀπολιμπάνονται οἱ μάρτυρες, πέμπονται οἱ τῶν μερῶν ἐντολεῖς πρὸς τοὺς μάρτυρας ἐφ᾽ ᾧ καταθέσθαι ἅπερ οἴδασιν· ἐπὶ δὲ τῶν ἐγκληματικῶν οὔ· αὐτοπροσώπως γὰρ οἱ μάρτυρες ἐρωτῶνται, ὡς προείρηται[5].

160. Ὁ παράγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ᾽ αὐτοῦ προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραι-

---

[1] Bas. h. t. 40. [2] Bas. ib. sch. 1. [3] Codices: Οὐκ ἀναγκ. [4] Bas. ib. sch. 2. [5] Bas. ib. sch. 6.

τήσασθαι αὐτοὺς, τυχὸν ὡς εὐτελεῖς ἤ τι τοιοῦτον· εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γενομένην αὐτῷ τοῖς νόμοις δεκτὴν (ἤτοι κεφαλικὴν ἔχθραν, οὐ ψιλὴν ἀμφισβήτησιν) καὶ ποιοῦσαν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις ἂν ἐλέγξῃ αὐτοὺς φανερῶς ἐπὶ λήψει χρημάτων ἢ ὑποσχέσει ποιουμένους τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ καὶ δύναται ψευδῆ τὰ παρ᾽ αὐτῶν λεγόμενα δεῖξαι δι᾽ ἀντιπαραστάσεως μαρτύρων, καὶ τοῦτο ποιείτω. τοῦτο γὰρ μόνον εἶπεν ἡ διάταξις, μὴ δύνασθαι αὐτοὺς παραιτήσασθαι, οὐ μὴν ἵνα καὶ πάντως πιστεύσωσι τῇ τούτων φωνῇ[1].

161. Οὐ δύνανταί τινες παραγράφεσθαι οὓς ἔφθασαν προσάγοντες ἐν ἄλλῃ δίκῃ ὑπὲρ αὐτῶν μαρτυρήσαντας, εἰ μὴ ἄρα προφανῶς ψευδῆ λέγουσιν ἢ ἐπὶ χρήμασι μαρτυροῦσιν[2].

162. Καὶ ὁ προκομίσας ὑπὲρ αὐτοῦ ἰδιόγραφον οὐκ ὀφείλει τοῦτο ἐκβάλλειν καὶ παραγράφεσθαι[3].

163. Διὰ τῆς παρούσης προστάξεως φαίνεται μηδὲν ὑγιῶς λέγων, ὡς ἐν τῇ τοῦ κγ' κεφ. ἑρμηνείᾳ λέγει μὴ πιστευόμενος· ὑπὲρ αὐτοῦ γὰρ καὶ κατὰ τοῦ αὐτοῦ οὐ δεχόμεθα λέγειν τὸν αὐτὸν, ὡς νῦν μὲν ἐν τούτῳ τῷ δικαστηρίῳ κατ᾽ αὐτοῦ, νῦν δὲ ἐν ἑτέρῳ ὑπὲρ αὐτοῦ λέγοντα ἤτοι μαρτυρεῖν ἐθέλοντα[4].

164. Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας ἐὰν ἀποτάξηται καὶ διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν τῶν μαρτύρων καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παράγειν μάρτυρας[5].

165. Ἐὰν ἅπαξ τὶς παραγαγὼν μάρτυρας ἢ δὶς ἀποτάξηται, καὶ ἢ ἐκλάβῃ τὰς μαρτυρίας (τὰς ὑπὲρ αὐτοῦ προσαγομένας παρὰ τῶν ἰδίων μαρτύρων) καὶ κατασκέψηται, ἢ τοῦ ἀντιτεταγμένου τοῦτο ποιήσαντος αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι ἀπὸ τοῦ ἀντιδίκου κἀκεῖθεν μάθοι τὰ μεμαρτυρημένα, οὐχ ἕξει πάντως ἄδειαν οὐδεμιᾷ περαιτέρω χρήσασθαι μαρτύρων παραγωγῇ, οὐδ᾽ ἂν ἡ θεία τούτῳ κέλευσις πορισθείη[6].

166. Οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν οὐκ εὐχερῶς ἀκούονται λέγοντες, ἢ ὅλον τὸ χρέος ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μαρτύρων, ἐὰν μὴ ε' μάρτυρες ἀξιόπιστοι παρῶσιν ἐν τῇ ἀγράφῳ καταβολῇ (ἐπ᾽ αὐτῷ τούτῳ προσκληθέντες) καὶ ἐνωμότως κατάθωνται, ὡς παρόντων αὐ-

---

[1] Bas. h. t. 41. [2] Bas. ib. sch. 1. [3] Bas. cit. [4] Bas. ibid. [5] Bas. h. t. 46 sch. 18. [6] Bas. h. t. 46 med. — Codices hoc loco §. 161 repetent.

τῶν κατεβλήθη τὸ χρέος ἢ κατάθεσις τῆς καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν. οὐ γὰρ ἄλλως ἐστὶν εὐπρόσδεκτος ὁ καταβολὴν ἄγραφον λέγων γεγονέναι. εἰδότες οὖν ἅπαντες τοῦ νόμου τὴν δύναμιν μὴ ἄλλως ἢ τὸ πᾶν χρέος καταβαλλέτωσαν ἢ μέρος αὐτοῦ, ἂν μὴ ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται ἢ ε΄ μάρτυρες ἀξιόπιστοι μὴ εὐτελεῖς παρῶσι τῇ καταβολῇ ἢ τῇ καταθέσει (καὶ τῇ ὁμολογίᾳ τοῦ δανειστοῦ). εἰ δὲ γέγονε μὲν αὐτοῖς ἀπόδειξις ἔγγραφος, τυχηρᾷ δέ τινι περιστάσει ἢ ἐμπρησμῷ ἢ ναυαγίῳ (ἢ τυχὸν ἐφόδῳ ληστῶν ἢ καταπτώσει) ἢ ἄλλως πως ἀπώλετο (ἡ ἔγγραφος ἀπόδειξις), ἐξέστω τότε τοῖς καταβεβληκόσιν ἀποδεικνύειν, ὡς ἀπώλετο ἡ γενομένη αὐτοῖς περὶ τῆς καταβολῆς ἀσφάλεια, καὶ μηδὲν ἀπὸ τῆς τοιαύτης ἀπωλείας ζημιούσθωσαν[1].

167. Ἐπειδὴ μὴ πρόσκειται μαρτύρων ἀριθμὸς, ἀρκοῦσι β΄ εἰς ἀπόδειξιν, ὡς εἴρηται[2].

168. Τὸ κατὰ πόδας διὰ ε΄ μαρτύρων φησὶν ἀποδεικνύειν, καί φησιν ὁ Θαλέλαιος, οὐ πάντως ε΄, ἀλλὰ καὶ διὰ β΄. ἔνθα γάρ, φησιν ὁ νόμος, ἀπόδειξις διὰ μαρτύρων, κἂν μὴ εἴπῃ δὲ τὸν ἀριθμὸν, ἀρκοῦσι β΄[3].

169. Νομίζω, ὅτι ὅτε ἔγγραφόν ἐστι τὸ χρέος καὶ ὁ δανεισάμενος λέγων καταβαλεῖν τοῦτο ἔγγραφον εἰσάγει καταβολὴν ἢ κατάθεσιν, πιστευθήσεται. πρόσχες καὶ γὰρ τῇ διατάξει λεγούσῃ· οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν. ὅτε δὲ ἄγραφόν ἐστι τὸ χρέος, οὐ συνορῶ, ὅπως οὐκ ἀκουσθήσεται ὁ χρεώστης δεικνύων δι᾽ ἀγράφων γ΄ μαρτύρων ἢ καταβολὴν ἢ κατάθεσιν τοῦ δανειστοῦ. ὁ γὰρ νόμος ἀεὶ κατὰ σύγκρισιν τὴν πρὸς τὰ ἔγγραφα τὸ ἄγραφον ὑποβιβάζει, καθὼς καὶ ἐκ τῆς παρούσης δείκνυται διατάξεως. ὅτε δὲ ἐπιλείπει τὸ ἔγγραφον, ἡ ἄγραφος ἀπόδειξις πιστευθήσεται[4].

170. Ἆρα καὶ ἐπὶ τῆς ἐγγράφου καταθέσεως ε΄ μάρτυρας ὀφείλομεν ζητεῖν, ἢ ἀρκοῦσι οἱ γ΄; πάντως γὰρ ὁ νομοθέτης [ἐπί τε τῆς ἀγράφου] καταβολῆς, ἐπί τε τῆς ἀγράφου καταθέσεως ἐζήτησε καὶ ε΄ μάρτυρας διὰ [τὸ μὴ κατὰ τῶν] ἐγγράφων ἰσχύειν τὰ ἄγραφα. ὅτε δὲ καὶ τὸ χρέος ἔγγραφόν ἐστι καὶ ἡ τῆς καταβολῆς κατάθεσις ἔγγραφος, οὐ συνορῶ δι᾽ ὃν λόγον ἀποδοκιμασθήσεται ἡ διὰ γ΄ μαρτύρων ἔγγραφος κατάθεσις, τοῦ αὐτοῦ δικαίου καὶ τῆς αὐτῆς δυνάμεως οὖσα καὶ μὴ κατά τι πλεονεκτουμένη[5].

[1] Bas. h. t. 42. [2] Bas. ib. sch. 4. [3] Bas. ibid. [4] Bas. ibid. [5] Bas. ibid.

171. *Οἱ μαρτυροῦντες περὶ χεῶν ἐγγράφων εἰπάτωσαν, ὡς κἂν τῇ καταβολῇ παρῆσαν, ἐπὶ τούτῳ καὶ οὐκ ἐπ᾽ ἄλλῳ προσκληθέντες οὐδενὶ, δηλονότι ἐὰν ὦσι πέντε τὸν ἀριθμόν*[1].

172. *Σημείωσαι ὅτι γενικῶς ἡ διάταξις ἐφ᾽ οἱουδήποτε χρέους ἐγγράφου λέγει μὴ δέχεσθαι ἀγράφους μάρτυρας, ἂν μὴ ὦσι ε΄ ἐπ᾽ αὐτῷ τούτῳ προσκληθέντες*[2].

173. *Οὐ πιστεύονται οἱ ταβουλλάριοι λέγοντες ἐν ἐκμαρτυρίῳ κατατίθεσθαι καὶ ὁμολογεῖν τινα χρεώστην, ἐὰν ἐκεῖνος οἶδε γράμματα καὶ οὐχ ὑπέγραψε δηλονότι, ἢ ἰδιόχειρον οὐκ ἐξέθετο, εἰ μὴ ἄρα ἐπὶ μαρτύρων ε΄ νομίμως κατέθετο. καὶ σημείωσαι αὐτὸ, ὅτι ἐὰν ὁ λέγων χρεωστεῖν ὑπέγραψεν ἐν τῷ ἐκμαρτυρίῳ ἢ ἰδιόχειρον ἐξέθετο ἢ ὡμολόγησεν ἐπὶ μαρτύρων, κατέχεται, κἂν γράμματα οἶδεν. ἐὰν γὰρ ἀγράμματος ᾖ, ἔῤῥωται τηνικαῦτα τὸ παρὰ τοῦ ταβουλλαρίου γενόμενον ἐκμαρτύριον κατὰ τὴν ἐνταῦθα λεχθεῖσαν ἀντιδιαστολὴν, ἐὰν μέντοι ἔχῃ γ΄ μαρτύρων ὑπογραφὰς τὸ ἐκμαρτύριον κατὰ τὰ ἑξῆς λεχθησόμενα· δεκτέα ἐστὶ τὰ ἐκμαρτύρια, ἐὰν ἔχωσι καταθέσεις καὶ ὑπογραφὰς γ΄ μαρτύρων*[3].

174. *Σημείωσαι οὖν διὰ τὸ ἀδιστάκτως εἰρημένον ἐν τῷ δ΄ βι. τοῦ κώδ. τί. κ΄ διατ. δ΄, ὅτι οὐκ ἐστι δεκτέα τὰ ἐκμαρτύρια καθ᾽ ἑαυτὰ, ὅτε οἱ μάρτυρες ἑαυτοῖς ἐναντιοῦνται ἢ ἄλλοις μάρτυσι· τότε γὰρ δεχέσθω ὁ δικάζων τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους καὶ κολαζέτω τοὺς ὑπόπτους, εἴπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες*[4].

175. *Οἱ δωροδοκηθέντες καὶ ἐξεπίτηδες ἑαυτοῖς ἐναντιούμενοι μὴ δεχθήτωσαν εἰς μαρτυρίαν διὰ τὸ αὐτῶν παλίμβολον*[5].

176. *Διαπίπτει παντελῶς ἡ μαρτυρία, ὅταν ἑαυτοῖς ἢ ἀλλήλοις ἐναντιῶνται οἱ μάρτυρες· ἀλλὰ τὰ παρὰ τῶν πλειόνων ὅμως καὶ ἀξιοπιστοτέρων ἐπικρατεῖ*[6].

177. *Οὐ πάντως δὲ πιστεύονται οἱ πλείονες, ἀλλ᾽ ὅτε λέγουσι συμβαίνοντα τῇ φύσει τοῦ πράγματος*[7].

178. *Ὅτι ἐν ἐκμαρτυρίῳ δόντες τὰς ἑαυτῶν φωνὰς καὶ διὰ τούτου ἀναγκαζόμενοι καὶ ἐν δικαστηρίῳ μαρτυρεῖν, ἐξεπίτηδες διὰ τὸ μὴ μαρτυρῆσαι ἐναντία τοῖς ἐν τῷ ἐκμαρτυρίῳ λέγουσιν, οὐκ εἰσιν ἄξιοι πιστεύεσθαι διὰ τοῦτο*[8].

179. *Οὐκ εἰσι πιστεύεσθαι δίκαιοι οἱ λέγοντες, ὅτι ἤκου-*

---

[1] Bas. h. t. 46 sch. 6. [2] Bas. ib. [3] Bas. l. l. sch. 10. [4] Bas. ib. et sch. 15. [5] Bas. cit. sch. 15. [6] Bas. ib. [7] Bas. ib. [8] Bas. ib.

σαν τοῦδε χρεωστεῖν τῷδε, ἢ τοῦδε καταβαλεῖν τῷδε χρυσίον, ἢ τοῦδε λαβεῖν χρυσίον παρὰ τοῦδε, κἂν ταβουλλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες[1].

180. *Ὁ ἀπολαμβάνων τὶ ἢ κατατιθέμενος, ἐὰν οἶδε γράμματα, ἐγγράφως τὴν οἰκείαν γνώμην ποιεῖν ὀφείλει· εἰ δ' οὖν, ὀφείλει ε' μάρτυρας προσκαλεῖσθαι*[2].

181. *Σημείωσαι δὲ, ὅτι οἱ εἰδότες γράμματα συναλλάττοντες ἐγγράφως ὀφείλουσιν ὑπογράφειν, ἵνα τὸ συμβόλαιον ᾖ αὐτόπιστον*[3].

182. *Εἰ καὶ μὴ κεκώλυται ῥητῶς ὑπὸ νόμου μαρτυρεῖν ἐν δημοσίῳ δικαστηρίῳ τοὺς ἐπὶ συκοφαντίᾳ καταδικασθέντας, ὅμως οὐ τὸ μὴ κεκωλυμένον δεῖ προσδέχεσθαι, καὶ ὁ δικαστὴς ἐκείνης τῆς μαρτυρίας ὀφείλει διακρίνειν τὴν πίστιν (βεβαιοῦν, προκρίνειν), ἥτις παρὰ ἀνθρώπου ἀμέμπτου (ἐντίμου, ἀκεραίου, ἀνυβρίστου, ἀσκώπτου) λέγεται*[4].

183. *Ὁ ἑρμαφρόδιτος, εἰ τὰ ἀῤῥένων ἐπικρατεῖ ἐν αὐτῷ, μαρτυρεῖ ἐν διαθήκῃ*[5].

184. *Ἆρα δύναται ὁ ἑρμαφρόδιτος ἐν διαθήκῃ μαρτυρεῖν; λέγει ὁ παπιανὸς, ὅτι ἡ ποιότης τῆς πυρουμένης φύσεως τέμνει τὴν ζήτησιν. εἰ μὲν γὰρ εἰς τὸ δέχεσθαι ἄνδρας ἐκπεπύρωται, οὐ μαρτυρεῖ· εἰ δὲ εἰς τὸ μᾶλλον γυναικὶ χρῆσθαι, μαρτυρεῖ. διὰ τοῦτο δὲ τῆς γυναικείας φύσεως ἐπικρατεστέρας εὑρισκομένης ἐν αὐτῷ μαρτυρεῖν ἐν διαθήκῃ κεκώλυται, ἐπειδὴ γυνὴ ἐν διαθήκῃ οὐ δύναται μαρτυρεῖν· ἐν ἀποδείξει δὲ μαρτυρεῖ, ἀλλ' οὐδὲ πάλιν εἰ μὴ ἐν βαλανείῳ καὶ τόκῳ*[6].

185. *Δύναται ὁ ἑρμαφρόδιτος γράφειν κυοφορούμενον κληρονόμον, εἰ ἐπικρατεῖ ἐν αὐτῷ τὰ ἀνδρῶν*[7].

186. *Βι. λε' τί. α' κεφ. κ', ὅτι κληρονόμος οὐ δύναται μαρτυρεῖν ἐν διαθήκῃ· ὁ δὲ ληγατάριος καὶ ὁ γινόμενος ἐπίτροπος δύναται, εἰ μὴ ἑτέρως κωλύεται, τυχὸν ἄνηβος ὢν, ἢ καὶ ὑπεξούσιος τοῦ διαθεμένου. σημείωσαι δὲ ἐκ τούτου, ὅτι εἰ ἔφηβός ἐστιν, ἀπὸ τῆς ἀντιδιαστολῆς μαρτυρεῖ. ὁ γὰρ ὢν ἧττον τῶν κε' ἐνιαυτῶν οὐ γίνεται ἐπίτροπος*[8].

187. *Οὐ μαρτυρεῖ τελώνης (ἢ ὁ κομμερκιάριος ἤγουν ὁ τὰ δημόσια εἰσπράττων), οὔτε ὁ ἐπίτηδες διὰ τὸ μὴ μαρτυρῆσαι ἀπὼν, οὔτε ὁ τὴν στρατιωτικὴν ἀποτροφὴν ἐκλαβὼν, οὔτε ἄνηβος*[9].

---

[1] Bas. cit. sch. 7. [2] Bas. cit. sch. 10. [3] Basil. ibid. [4] Bas. h. t. 12 et sch. 2. [5] Bas. h. t. 14 th. 2. [6] Bas. ib. sch. 3. [7] Bas. ibid. [8] Bas. h. t. 16 sch. 2. [9] Bas. h. t. 18.

188. *Γυναῖκες, κἂν ἐπὶ σεμνότητι καὶ εὐσεβείᾳ γνωρίζωνται, ἐπὶ μὲν ἄλλοις κεφαλαίοις οὐ μαρτυροῦσιν, αἷς ἀπείρηται μηδὲ διδάσκειν ἀλλ᾽ ἐν τῇ τῶν ἀκροωμένων τάξει καθεστάναι· ἐπὶ μέντοιγε τοκετοῦ αἱ τὸν εἰρημένον τῆς σεμνότητος τρόπον φυλάττουσαι δύνανται μαρτυρεῖν*[1].

189. *Ἡ γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει, ἐν οἷς οἱ ἄνδρες οὐ προσκαλοῦνται*[2].

190. *Ἡ μὲν νεαρὰ τοῦ βασιλέως κυροῦ* Λέοντος τοῦ σοφοῦ *ἐπίσης τῷ παρόντι διατάγματι κωλύει τὰς γυναῖκας ἐπὶ συμφώνοις καὶ συναλλάγμασι μαρτυρεῖν· ἐπὶ δὲ τοκετῶν καὶ ἑτέρων ἃ μόνη θήλεια ὄψις ὁρᾷ, οὐ μὴ δὲ καὶ ὀφθαλμοὶ ἀῤῥένων, ἐπιτρέπει ταύταις τὴν μαρτυρίαν. πλὴν ἂν μὴ καταδικασθῇ ἐπὶ μοιχείᾳ*[3].

191. *Οἱ ἄρχοντες ἑκάστου τόπου μαρτυροῦσιν ἐν διαθήκαις, καὶ παρασκευάζουσι καὶ ἄλλους μαρτυρεῖν ἐν διαθήκαις*[4].

192. *Χρὴ τὸν ἄρχοντα φροντίζειν τοῦ εὐπορῆσαι μαρτύρων τοὺς διατιθεμένους, καὶ εἰ δεήσει καὶ αὐτὸν μαρτυρεῖν. καὶ σημείωσαι, ὅτι καὶ ὁ ἄρχων ἐν τῇ διαθήκῃ δύναται μαρτυρεῖν, καὶ ὅτι οὐκ ἀνάγκη τὸν αὐτὸν μαρτυρεῖν καὶ χρηματίζειν ἤγουν δικάζειν*[5].

193. *Τοῦ πράγματος ἀπαιτοῦντος καὶ ἄρχοντες μαρτυροῦσιν, εἰ πάρεισι, καὶ πραίτωρ ἐπὶ τοῦ περὶ μοιχείας ἐγκλήματος*[6].

194. *Ἐὰν ἄκοντες ἐπισχεθῶσιν οἱ μάρτυρες, οὐκ ἔῤῥωται ἡ διαθήκη. ὃ δεῖ νοεῖν ἐπὶ ἰδιωτῶν ἐπισχόντων*[7].

195. *Αἱ οἰκειακαὶ μαρτυρίαι οὐκ εἰσι δεκταί*[8].

196. *Οἰκειακὰς μαρτυρίας οἱ νόμοι οὐ δέχονται. ὁμοίως ἔγνως ἐπὶ συμβολαίου ἐν [τῇ] ε′ διατ. ἀνάγνωθι καὶ τὴν ι′ διάτ. λέγουσαν, μὴ δύνασθαί τινα οἰκείῳ φάκτῳ μαρτυρεῖν. ἐπὶ δὲ ἀλλοτρίῳ φάκτῳ δεκτή ἐστιν ἡ οἰκειακὴ μαρτυρία. οὕτω νόει τὸ εἰρημένον ἐνταῦθα*[9].

197. *Ἐάν τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προσφέρῃ, οὐκ ἔστι δεκτὴ ἡ τοιαύτη μαρτυρία*[10].

198. *Τὸ ἐκμαρτύριον καθ᾽ ἑαυτὸ οὐ δεκτόν ἐστι· καλῶς εἶπε καθ᾽ ἑαυτό· διαστίζει γὰρ ἡ ϛ′ νεαρά, ὡς ἐὰν σχῇ γ′ μαρτύρων κατάθεσιν καὶ ὑπογραφὴν τὸ ἐκμαρτύριον, ἔῤῥωται*[11].

[1] Epanag. XII, 18. [2] Bas. h. t. 17. [3] Bas. ib. sch. 1. [4] Bas. h. t. 21. [5] Bas. ib. sch. 1. [6] Bas. h. t. 20 th. 2. [7] Bas. h. t. 21 sch. 1. [8] Bas. h. t. 27. [9] Bas. ib. sch. 1. [10] Bas. h. t. 28. [11] Bas. ib. sch. 1. — Codex Lips.: *οὐκ ἔῤῥωται.*

199. *Μόνον ἑνὸς ἀνθρώπου μαρτυρίαν προσφερομένην, καὶ μὴ ἄλλοις νομίμοις βοηθήμασι τῆς αἰτίας ἀποδεικνυμένης, μηδεμιᾶς εἶναι ῥοπῆς ὡμολογημένον ἐστίν*[1].

200. *Ὁ ἕνα μόνον ἔχων μάρτυρα οὐ δεόντως ἐπιζητεῖ πρὸς ἀπόδειξιν τῶν παρ' αὐτοῦ προτεθέντων ἐξετασθῆναι δοῦλον, κἂν ἀλλότριος ᾖ· καὶ βασανισθέντος δὲ τούτου οὐδὲν ὠφελεῖται αὐτός*[2].

201. *Καὶ σημείωσαι, ἐπ' ἐκείνων μόνων ἀρκεῖν καὶ ἕνα μάρτυρα, ἤγουν ἐπὶ τῶν ἀρνουμένων τὴν ἰδίαν χεῖρα καὶ τὰ ἑαυτῶν γράμματα· ἐπ' ἐκείνων γὰρ καὶ εἷς συμβολαιογράφος ἀρκεῖ πρὸς μαρτυρίαν*[3].

202. *Ἔτι σημείωσαι, ὅτι ἡ ἐν ἐκσφραγίσματι μαρτυρία ἑνὸς ἀνθρώπου οὐκ εἰς ῥοπὴν ὠφελεῖ· ὑπέξελε τὸν ἀργυροπράτην· οὗτος γὰρ ἐκ . . . ἀπὸ τῶν οἰκείων βρεβείων πιστεύεται εἷς ὤν*[4].

203. *Ὅτι καὶ εἷς μάρτυς δέχεται, ὡς ὅτε προφέρει ὁ ἐμφυτευτὴς τὸν κανόνα καὶ ὁ δεσπότης ἀναβάλλεται τοῦτον λαβεῖν*[5].

204. *Ἡ τοῦ ἑνὸς μαρτυρία ἀποδοκιμάζεται*[6]. *εἰ δέ ἐστι καὶ ἄλλη βοήθεια ἤτοι μαρτυρία ἢ δυνατὸν ἑτέρως δειχθῆναι τὸ ἀληθὲς, δέχεται καὶ ἡ τοιαύτη μαρτυρία κατὰ τὸν κανόνα τὸν λέγοντα· ἑνὸς μαρτυρία οὐκ ἔστι δεκτὴ ἐν οἱᾳδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη*[7].

205. *Ἐν τῇ περὶ εὐγενείας δίκῃ οὐκ εἰσι μόνοι δεκτοὶ οἱ προσφερόμενοι μάρτυρες, ἀλλὰ καὶ δικαιωμάτων χρεία πάντως*[8].

206. *Ἐὰν ζήτησίς σοι περὶ εὐγενείας γένηται, ἀσφάλισαι τὴν δίκην συμβολαίῳ καὶ ἐλέγχοις ὡς νομίζεις· μόνοι γὰρ μάρτυρες οὐκ ἀρκοῦσιν εἰς τὸν περὶ εὐγενείας λόγον*[9].

207. *Ἡ εὐγένεια διὰ συμβολαίου καὶ ἑτέρων ἀποδείξεων ὀφείλει δείκνυσθαι. μόνοι γὰρ μάρτυρες εἰς εὐγενείας ἀπόδειξιν οὐκ ἀρκοῦσιν*[10].

208. *Σημείωσαι, ὅτι ἐν τῷ περὶ εὐγενείας δικαστηρίῳ οὐκ ἀρκοῦσι μόνοι μάρτυρες, ἀλλὰ καὶ χρεία δικαιωμάτων*[11].

209. *Οἱ ἀνιόντες καὶ οἱ κατιόντες κατ' ἀλλήλων οὐδὲ βουλόμενοι δύνανται μαρτυρῆσαι*[12].

---

[1] Bas. cit. [2] Bas. LX, 50, 19. [3] et [4] Haec quoque scholiis Basilicorum deberi videntur, licet in editionibus Fabroti et Heimbachii non legantur. [5] Cf. Bas. h. t. (XXI, 1) 33 sch. 2. [6] Att. XIII, 12. [7] Bas. cit. 33. [8] Bas. h. t. 26 sch. 1. [9] Bas. h. t. 26. [10] Bas. ib. sch. 1. [11] Cf. not. 3. [12] Bas. h. t. 30.

210. *Οἱ γονεῖς καὶ τὰ τέκνα κατ᾽ ἀλλήλων λέγοντες μὴ προσδεχέσθωσαν*[1].

211. *Λέγουσί τινες, ὅτι οἱ ἀνιόντες καὶ οἱ κατιόντες οὐδὲ βουλόμενοι κατ᾽ ἀλλήλων [δύνανται] μαρτυρεῖν ἐπὶ τῶν ἐγκλημάτων, ἀλλ᾽ ἐπὶ τῶν χρηματικῶν· ὑπὲρ ἐκείνων δὲ μαρτυρεῖν οὐ κεκώλυνται· ὡσαύτως δὲ καὶ οἱ ἀπελεύθεροι. ἄλλοι δὲ λέγουσι, μηδόλως τούτους τοὺς ῥηθέντας ἢ κατ᾽ ἀλλήλων ἢ ὑπὲρ ἀλλήλων μαρτυρεῖν, φάσκοντες, εἰ οἱ κατὰ χάριν ἢ φιλίαν μαρτυροῦντες οὐ δέχονται, πολλῷ μᾶλλον οὗτοι οὐ δεχθήσονται· ἐν ποίοις γὰρ ἄλλοις μάρτυσι πρόληψις φιλίας ἢ χάριτος νοηθήσεται, ἢ ἐν συγγενέσι μαρτυροῦσιν ὑπὲρ ἀλλήλων*[2];

212. *Μαρτύρων ἐπὶ αἱρετοῦ δικαστοῦ καταθεμένων, καὶ μετ᾽ ὀλίγον τῆς ὑποθέσεως εἰς ἕτερον δικαστήριον ἐξεταζομένης, ἐγένετο ζήτησις, εἰ δύναται κεχρῆσθαι τῇ τῶν μαρτύρων φωνῇ παρὰ τῷ δευτέρῳ δικαστῇ ἐκεῖνος, ὑπὲρ οὗ γέγονεν ἡ μαρτυρία. ὅθεν ἡ διάταξις αὕτη παρακελεύεται· εἰ μέν τι περὶ τῶν μαρτύρων τοῖς συμφώνοις τοῖς περὶ τοῦ αἱρετοῦ δικαστηρίου ῥητῶς συμπεφώνητο, τοῦτο κρατεῖν· εἰ δὲ μηδὲν περὶ τῶν μαρτύρων συνεφωνήθη, εἰ μὲν ἔτι ζῶσιν οἱ μάρτυρες οἱ παρὰ τῷ αἱρετῷ δικαστῇ καταθέμενοι, καὶ διαβάλλει τὴν τούτων κατάθεσιν ὁ διὰ τῆς φωνῆς αὐτῶν ἀδικούμενος, ἐξέστω τῷ ἑτέρῳ μέρει παράγειν ἐκ δευτέρου τοὺς μάρτυρας, μηδενὸς αὐτοὺς παραγραφομένου ὡς ἤδη πρότερον μαρτυρήσαντας. εἰ δὲ μὴ συγχωρεῖται τοὺς μάρτυρας αὖθις παράγειν, κατάθεσιν αὐτῶν λαμβανέτω, φυλαττομένης πάσης ἐννόμου δικαιολογίας τῷ ἑτέρῳ μέρει κατὰ τῆς [τῶν] μαρτύρων καταθέσεως. εἰ δὲ παρὰ τῷ αἱρετῷ δικαστῇ μαρτυρήσαντες ἐτελεύτησαν, πιστευέσθω ἡ κατάθεσις αὐτῶν ὡς ταῖς ἀληθείαις παρ᾽ αὐτῶν γενομένη. εἰ δέ τινες μὲν ἐξ αὐτῶν εἰσὶν, ἄλλοι δὲ ἐτελεύτησαν, ἐπὶ μὲν τῶν περιόντων ἐχέτω τὴν ἐπιλογὴν καὶ τὴν ἐπίκρισιν ὁ τῇ μαρτυρίᾳ τούτων ἐναντιούμενος, εἴτε αὐτοὺς βούλεται παραχθῆναι εἴτε τὰς αὐτῶν καταθέσεις· ἐπὶ δὲ τῶν τελευτησάντων πιστευέσθωσαν αἱ καταθέσεις αὐτῶν, ἔχοντος αὐτοῦ τοῦ ἀντιδίκου πᾶσαν ἔννομον παραγραφὴν ἀκέραιον κατὰ τῆς αὐτῶν καταθέσεως*[3].

213. *Τοῦτο ἦν τὸ ζητούμενον. πολλάκις δύο τινὲς ἠγωνίσαντο παρὰ αἱρετῷ δικαστῇ, καὶ προεφέροντο μάρτυρες, καί τινα ἔλεγον, καὶ ἀνελαμβάνοντο αἱ φωναὶ αὐτῶν ἐν τοῖς ἐγ-*

---

[1] Cf. pag. 228 not. 3. [2] Bas. cit. sch. 1. [3] Bas. h. t. 44.

γράφοις, καὶ ἢ τοῦ αἱρετοῦ δικαστοῦ τελευτήσαντος ἢ τῶν μερῶν κατὰ κοινὴν συναίνεσιν χωρισθέντων ἢ καὶ ἑνὸς αὐτῶν τὸ πρόστιμον καταβαλόντος, συνέβαινε τὴν δίκην κινεῖσθαι ἐν δικαστηρίῳ, καὶ προεφέροντο αἱ ἤδη γενόμεναι τῶν μαρτύρων καταθέσεις, καὶ ὁ ἕτερος οὐκ ἐδέχετο ταύτας λέγων, ὅτι ἅπαξ λυθέντος τοῦ αἱρετοῦ δικαστοῦ πάντα τὰ ἐν αὐτῷ πραχθέντα οὕτως εἰσὶν ὡσανεὶ μηδὲ γενόμενα. περὶ τούτου τοίνυν ἡ διάταξις νομοθετοῦσα λέγει· εἰ μέν εἰσιν ἔτι ζῶντες οἱ μάρτυρες, παραγίνεσθαι αὐτοὺς καὶ μαρτυρεῖν, ἢ ἐὰν μὴ βούληται αὐτοὺς παραγενέσθαι ἐκεῖνος καθ᾽ οὗ ἐμαρτύρησαν, τὰς καταθέσεις αὐτῶν προσενεχθῆναι[1].

214. *Πολλάκις γὰρ συνεφωνήθη, ἵνα τοῦ [προστίμου] προκαταβαλλομένου μηδὲ αἱ μαρτυρίαι προσφέρωνται ἀλλαχοῦ, ἢ τὸ ἐναντίον*[2].

215. *Ὅσα ἂν πρὸς φάκτον βλέποντα ἀποδειχθῶσιν ἐπὶ τοῦ αἱρετοῦ δικαστοῦ, ταῦτα ἐν δικαστηρίῳ ἀποδείξεων οὐ χρήζουσι, διότι τὰ αὐτά εἰσι πρόσωπα τὰ δικαζόμενα*[3].

216. *Ἐπειδὴ εἴρηται ἐν τῷ κγ' κεφ., ὅτι ὁ ἅπαξ κατά τινος μαρτυρήσας οὐ δύναται πάλιν κατ᾽ αὐτοῦ μαρτυρεῖν ὡς νομιζόμενος ἐχθρὸς εἶναι, διὰ τοῦτό φησιν ἡ διάτ.*[4]*, ἐὰν δεύτερον οἱ μάρτυρες καλῶνται, οὐκ ὀφείλει ἀντιτιθέναι αὐτοῖς ὅτι ἅπαξ ἐμαρτύρησαν κατ᾽ αὐτοῦ. μὴ δὲ νόμισαι ἐναντίον τοῦτο εἶναι τῇ πρὸ ταύτης διατάξει, ἔνθα φησὶν, ὅτι οὐ χρὴ δεύτερον κληθῆναι τοὺς μάρτυρας. ἐκεῖ γὰρ ἡ πρώτη κλῆσις ἀπὸ κελεύσεως ἐγένετο δικαστικῆς, καὶ ἡ δευτέρα πάλιν παραγωγὴ εἰ ἐπιτέτραπται, ἀπὸ δικαστικῆς ἐγένετο κελεύσεως. ἐνταῦθα δὲ, ἐπειδὴ κομπρομισσάριος ἦν ὁ δικαστὴς, πρώτη κλῆσις νοεῖται αὐτοῦ ἡ ἐν τῷ δικαστηρίῳ γενομένη· παρὰ γὰρ τῷ κομπρομισσαρίῳ ἑκουσίως παραγένοντο καὶ ἐμαρτύρησαν οὐδενὸς αὐτοὺς ἀναγκάσαντος*[5].

217. *Οὐ δύναται λέγειν, ὡς οὐκ εἰσι τῶν μαρτύρων αἱ προσφερόμεναι καταθέσεις, ἀλλ᾽ ὡς τῇ ἀληθείᾳ γενομένας αὐτὰς λέγομεν προσφέρεσθαι. ἐκείνου δὲ ἔργον λοιπόν ἐστι τὸ εἴ τινα δίκαιον λόγον νομίζοι ἔχειν, τούτῳ χρήσασθαι κατὰ τῶν μαρτύρων*[6].

218. *Παντὸς δικαίου νομίμου, ὅπερ ἁρμόζει τούτῳ καθ᾽ οὗ προφέρονται, καθάπερ εἰρήκαμεν, ἀκεραίου φυλαττομένου*

---

[1] Bas. ib. sch. 1. [2] Bas. ib. sch. 2. [3] Bas. ibid. [4] Codices: *διατήρησις*. [5] Bas. ib. sch. 3. [6] Bas. ib. sch. 5.

κατὰ τούτων τῶν καταθέσεων, ἐὰν αἱ καταθέσεις προσφέρωνται, [καὶ] κατὰ τῶν μαρτύρων, ἐὰν οἱ μάρτυρες παραγένωνται[1].

219. *Ἐὰν τοιοῦτόν ἐστι τὸ πρᾶγμα (περιστατικὸν, οἷον ἐν ὄρει), ὥστε δέξασθαι μαρτυροῦντα κυνηγὸν ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύεται*[2].

220. *Κυνηγὸν λέγει τὸν ἐπὶ τῷ θηριομαχῆσαι μισθούμενον. τότε δὲ, ἡνίκα οὐ δυνατὸν εὑρεθῆναί τινα, τουτέστιν ἢ ἐν ὄρεσιν ἢ ἐρήμοις τόποις. οἱ γὰρ κυνηγοὶ καὶ οἱ ὅμοιοι τούτοις ὡς ἄτιμοι ὄντες (κυνηγοὺς γὰρ τοὺς θηριομάχους νόησον) καὶ δίχα τιμωριῶν οὔκ εἰσι δεκτοὶ εἰς τὸ μαρτυρῆσαι*[3].

221. *Ὁ δωρολήπτης οὔτε ἐπὶ τῶν ἐν συστάσει οὔτε ἐπὶ τῶν ἐν ἀποδείξει, τουτέστιν οὔτε ἐν δικαστηρίῳ, δύναται μαρτυρεῖν, ἀλλ᾽ οὐδὲ διαθέσθαι*[4].

222. *Ἀδόκιμος οὐ μαρτυρεῖ ἐν διαθήκῃ· ἀδόκιμος δέ ἐστιν ὁ κληθεὶς ἐπὶ τῷ ὑπογράψαι ἐν διαθήκῃ καὶ μὴ ἐλθὼν, ἢ ὑπογράψας καὶ σφραγίσας καὶ μὴ θελήσας μαρτυρῆσαι· καὶ ὁ καταδικασθεὶς εἰς ᾠδὴν ἀθέμιτον*[5].

223. *Ὁ ἐγκληματικῶς κατηγορήσας κατά τινος οὐ δύναται κατ᾽ αὐτοῦ μαρτυρεῖν. ὁ γὰρ χρηματικῶς τινα αἰτιασάμενος οὐ κωλύεται [μὲν] μαρτυρεῖν κατ᾽ αὐτοῦ, πλὴν ὑπούσης εὐλόγου αἰτίας κωλύεται μαρτυρεῖν*[6].

224. *Σημείωσαι, ὅτι ἡ ἐν δικαστηρίῳ κατάθεσις ἀναμφισβήτητός ἐστι, καὶ μάλιστα ἐν διαθήκαις. καὶ οἱ προσκαλούμενοι μάρτυρες ἀπαιτοῦνται τὸν διατιθέμενον γνωρίζειν*[7].

225. *Σημείωσαι, ὅτι τὸ ἐκμαρτύριον μὴ ἔχον ὑπογραφὰς τῶν μαρτύρων οὔκ ἐστι δεκτόν*[8].

226. *Εἰ συκοφαντοῖτο παρά τινός τις ὡς χρέος ὀφείλων αὐτῷ, ἕτερον δὲ ὅμοιον κατὰ τὸ εἶδος εὑρὼν ὁ ἐνάγων τῷ συκοφαντουμένῳ, ἐνώπιόν τινων μαρτύρων ἐρωτήσας ὁ ἀπαιτῶν ὡς παρασχεῖν μοι βούλει νομίσματα· τοῦ δὲ καταθεμένου καὶ τῶν μαρτύρων βεβαιωσάντων τὴν κατάθεσιν πρὸς τὸν ἀληθῶς συκοφαντούμενον, ὥρμησε κινῶν λαβεῖν τὰ χρήματα· ὁ δὲ ἀπηγόρευεν· οἱ δὲ μάρτυρες συνῄνουν πλανώμενοι τῇ ὄψει, ὅπερ ὕστερον οὐ διέλαθε τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι*[9].

227. *Τῶν αἱρετικῶν οἱ μὲν μανιχαῖοι καὶ οἱ βορβορῖται*

---

[1] Bas. ib. sch. 6. [2] Bas. h. t. 20 th. 3. [3] Bas. ib. sch. 3. [4] Bas. h. t. 14 sch. 1. [5] Bas. ibid. [6] Bas. h. t. 46 sch. 24. [7] Bas. h. t. 46 sch. 11. 13. [8] Bas. h. t. 46 sch. 14. [9] Bas. h. t. 46 sch. 9.

ἢ ἕλληνες ἢ σαμαρεῖται ἢ μοντανισταὶ ἢ τοσκοδρουγῖται ἢ ὀφῖται ἢ ἰουδαῖοι ἐν μηδενὶ (δικαστηρίῳ ἢ συναλλάγματι ἢ ἁμαρτήματι ἢ ἐγκλήματι, μήτε κατὰ χριστιανῶν μήτε κατὰ ὁμοδόξων) μαρτυρείτωσαν. οἱ δὲ λοιποὶ πάντες αἱρετικοὶ ἐν δικαστηρίῳ μὲν ὀρθόδοξον ἔχοντες ἀντίδικον μὴ δεχέσθωσαν· ἐν δὲ τοῖς λοιποῖς πᾶσι συναλλάγμασιν ἢ διαθήκαις ἢ δικαστηρίοις αἱρετικοὺς ἔχουσιν ἀντιδίκους ἀδιστάκτως μαρτυρείτωσαν τοῦ πλάτους χάριν τῶν ἀποδείξεων (ἤγουν ἵνα μὴ ἡ τῶν ἀποδείξεων περιουσία στενοχωρηθῇ)[1].

228. Θεσπίζομεν, κατὰ ὀρθοδόξων δικαζομένων μηδένα τῶν αἱρετικῶν ἢ τῶν ἰουδαίων εἰς μαρτυρίαν κοινωνίας[2] ἔρχεσθαι, ἄντε ἑκάτερον μέρος ὀρθόδοξον ᾖ ἄντε τὸ ἕν. ἐν ἑαυτοῖς δὲ οἱ αἱρετικοὶ καὶ οἱ ἰουδαῖοι ἐὰν δικάζωνται, συγχωροῦμεν τὸ αἶσχος ἐπίμικτον καὶ ἀξίας κατὰ τῶν δικαζομένων μαρτυρίας εἰσάγεσθαι, ἐκτὸς δηλαδὴ τῶν μανιχαίων, ὧν καὶ οἱ βορβορῖται μέρος τυγχάνουσιν. ἀλλ' οὐδὲ τοῖς ἕλλησιν ἢ σαμαρείταις συγχωροῦμεν μαρτυρεῖν ἢ μοντανισταῖς ἢ τασκοδρουγίταις ἢ ὀφίταις· τούτοις γὰρ πᾶσι νόμιμον μαρτυρίαν ἀποκλείομεν καὶ ἑτέραν νόμιμον ἀναστροφήν. ἄλλοις δὲ αἱρετικοῖς μόνον τὰς δικαστικὰς μαρτυρίας κατὰ ὀρθοδόξων καθὼς διατέτακται βουλόμεθα κεκωλυμένας εἶναι· ἐν δὲ τοῖς λοιποῖς τουτέστι καὶ τὰς κατὰ διαθήκας μαρτυρίας αὐτῶν καὶ τὰς ἐν τελευταίαις βουλήσεσι καὶ ἐν συναλλάγμασιν ὑπαρχούσας διὰ τὴν λυσιτέλειαν τοῦ ἀναγκαίου πράγματος ἀδιστάκτως παραχωροῦμεν, ἵνα μὴ ἡ τῶν ἀποδείξεων περιουσία στενοχωρηθῇ[3].

229. Πᾶς αἱρετικὸς ἄτιμος ἔστω, οἵ τε ἄλλοι καὶ οἱ ἐναγεῖς μάλιστα καὶ βέβηλοι μανιχαῖοι. ἐκβαλλέσθωσαν δὲ καὶ κώμης ἁπάσης καὶ πόλεως, καὶ τὴν δίαιταν ἐν ἀβάτοις ἐρημίαις ἐχέτωσαν, ἅμα τῷ σαφέστατα καὶ ὁμολογουμένως πατρὶ αὐτῶν καὶ διδασκάλῳ γενομένῳ τῷ διαβόλῳ καὶ δὴ καὶ τοῖς ἀγγέλοις αὐτοῦ[4].

230. Καὶ ἐν οἱῳδήποτε τόπῳ φαινόμενοι φονεύονται[5].

231. Ὁ ἁρπάσας ἰουδαίου πράγματα μὴ θορυβοῦντος ἢ ἕλληνος ἢ ἀβαπτίστου, εἰς τὸ διπλάσιον ἀντιστρεψάτω ταῦτα[6].

232. Ἐὰν ἐπὶ χρηματικῇ ὑποθέσει ἀκουσίως τὶς ἕλκηται πρὸς μαρτυρίαν, εἰ μὲν αὐτὸς ἑκουσίως ἐγγυητὴν βούλεται δοῦναι τῆς ἑαυτοῦ παραστάσεως, διδότω· μὴ βουλόμενος δὲ

---

1 Bas. h. t. 45. 2 Legendum: *μαρτυρίας κοινωνίαν*. 3 Bas. ib. sch. 1. 4 Non invenio. 5 Bas. ib. sch. 2. 6 Bas. ib. sch. 6.

παρασχεῖν ἐγγυητὴν, μὴ ἐμβαλλέσθω δεσμωτηρίῳ, ἀλλ᾽ ἐπομνύτω μόνον ὅτι παραγίνεται. εἰ γὰρ ἐπὶ πάσῃ τῇ δίκῃ πιστεύομεν τῷ ὅρκῳ τοῦ μάρτυρος, πολλῷ μᾶλλον ὑπὲρ τῆς ἑαυτοῦ παρουσίας ὀμνύων ὀφείλει πιστεύεσθαι. ἵνα δὲ μὴ παρεκτείνωνται οἱ μάρτυρες ἐν τοῖς ὑπὲρ τῶν ἄλλοις συμφερόντων δυσχερείαις, μὴ ἀναγκαζέσθωσαν παραφυλάττειν (προσμένειν καὶ προσεδρεύειν) τῷ δικαστηρίῳ εἰ μὴ ἐπὶ μόνας ιε΄ ἡμέρας μετὰ τὴν προσταχθεῖσαν αὐτοῖς ὑπόμνησιν ψηφιζομένας· ἀλλὰ προνοείτωσαν οἱ δικασταὶ δέχεσθαι τὴν διάγνωσιν (τῶν ιε΄ ἡμερῶν), ἐφ᾽ ᾗ χρεία γέγονε τῆς τῶν μαρτύρων καταθέσεως, ἐξουσίαν ἔχοντες καὶ ἀπουσίᾳ θατέρου μέρους δέχεσθαι τοὺς μάρτυρας, μόνον εἰ τὸ ἕτερον μέρος ὑπομνησθὲν παρὰ τῶν ἐκβιβαστῶν τῆς ὑποθέσεως οὐκ ἠθέλησε παραγίνεσθαι. παρατρεχουσῶν δὲ τῶν ιε΄ ἡμερῶν ἀναχωρείτωσαν οἱ μάρτυρες τοῦ δικαστηρίου, καὶ μηκέτι εἰς δευτέραν ἑλκέσθωσαν μαρτυρίαν. εἰ δὲ αὐτὸς ὁ δικάζων ὑπέρθηται τὴν διάγνωσιν ἢ τοὺς μάρτυρας δέξασθαι, οἴκοθεν ἀναπληρούτω τὴν ἐντεῦθεν συμβᾶσαν θατέρῳ τῶν μερῶν ζημίαν[1].

233. *Οἱ καλούμενοι μαρτυρεῖν ἐπὶ χρηματικῇ δίκῃ διδότωσαν ἐγγύας· εἰ δὲ τούτων ἀποροῦσιν, ὀμνύτωσαν ὅτι παραγίνονται ἐπὶ τῷ λέγειν ἃ ἴσασιν*[2].

234. *Ἄρα οὖν ἐπὶ τῶν ἐγκληματικῶν οὐδὲν εἴρηται αὐτῇ τῇ διατάξει, ἀλλὰ περὶ μόνων τῶν χρηματικῶν, ἐν οἷς καὶ γέγονεν ἡ καινοτομία εἰς τὸ ἕλκεσθαι τοὺς μάρτυρας καὶ πρὸς ἀνάγκην παρὰ τὸν παλαιὸν νόμον· τὸ γὰρ παλαιὸν οὐδεὶς ἀναγκαζόμενος εἰς χρηματικὴν δίκην ἐμαρτύρει*[3].

235. *Οἱ μαρτυροῦντος ἐπὶ χρηματικῇ αἰτίᾳ οὐκ ἀναγκάζονται προσμεῖναι τῷ δικαστηρίῳ πλέον τῶν ιε΄ ἡμερῶν, λαμβάνειν δὲ καθ᾽ ἃς διατρίβουσιν ἡμέρας δαπανήματα παρὰ τῶν προσαγόντων αὐτοὺς κρίσει τοῦ ἄρχοντος*[4].

236. *Ἐπὶ τῶν χρηματικῶν ἀναγκάζονται μαρτυρεῖν οἱ γινώσκοντες τὴν ἀλήθειαν, δηλονότι οἱ τοῖς αὐτῶν διάγοντες τόποις· εἰ γὰρ ἐν ἑτέροις διάγουσιν, οὐδὲ ἕλκονται, ὡς εἴρηται ἐν τῇ ις΄ διατ. δεῖ οὖν αὐτοὺς ὑπομνησθέντας μὴ παραγενέσθαι, ἵνα τότε δυνηθῇ ὁ δικαστὴς μονομερῶς τὴν τῶν μαρτύρων δέξασθαι φωνήν*[5].

237. *Μᾶλλον μὲν οὖν, εἰ τὸ ἕτερον μέρος πάρεστι καθ᾽*

---

[1] Bas. h. t. 43. [2] Bas. ib. sch. 1. [3] Bas. ib. [4] Bas. ib. sch. 2.
[5] Bas. ib. sch. 2. 5.

οὗ προφέρεται ἡ μαρτυρία, οὐκ ὀφείλει ὁ δικαστὴς ἐκείνου τοῦ μέρους παρόντος μόνου δέξασθαι τὴν μαρτυρίαν. συμβαίνει γὰρ πολλάκις, ὅτι ἐγὼ τυχὸν ὁ καλέσας τοὺς μάρτυρας, μαθὼν ἃ μέλλουσι λέγειν, παραιτοῦμαι τὴν αὐτῶν μαρτυρίαν καὶ ἀπολιμπάνομαι[1].

238. *Θεσπίζομεν καὶ μάλιστα ἐπὶ τῆς μεγάλης ταύτης καὶ εὐδαίμονος πόλεως, ἔνθα πλείστη καθέστηκε (θεὸς δὲ ἡγείσθω τοῦ λόγου) πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν εὐπορία, εὐϋπολήπτους εἶναι δεῖν τοὺς μάρτυρας, καὶ ἢ κρείττους διαβολῆς διὰ τὸ τῆς στρατείας ἢ ἀξίας ἢ εὐπορίας ἢ ἐπιτηδεύσεως ἀναμφισβήτητον, ἢ εἴπερ οὐ τοιοῦτοι καθεστᾶσιν, ὑφ᾽ ἑτέρων γοῦν ὅτι καθεστᾶσιν ἀξιόπιστοι μαρτυρούμενοι, καὶ μή τινας ἐπιδιφρίους μηδὲ χαμερπεῖς μηδὲ τελέως ἀσήμους ἐπὶ μαρτυρίαν ἰέναι, ἀλλὰ τοιούτους, ὥστε εἴπερ ἀμφισβητηθείη τὰ κατ᾽ αὐτούς, δύνασθαι ῥαδίως ἀποδεικνύναι τὸν βίον (καὶ τρόπον αὐτῶν), ὡς ἄμεμπτοί τε καὶ ἐπιεικεῖς εἶεν (καὶ ἐντεῦθεν ὡμολογουμένως πιστοί). εἰ δὲ ἄγνωστοί τινες εἶεν καὶ πανταχόθεν ἀφανεῖς, καί τι φανεῖεν ὅλως περὶ τὴν μαρτυρίαν τῶν ἀληθῶν διαφθεῖραι σπεύδοντες, δύνασθαι καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι, καὶ τοὺς δικαστάς, εἰ μὲν ἄρχοντες εἶεν, αὐτοὺς τοῦτο πράττειν, εἰ δὲ ἕτεροι παρὰ τοὺς τὰς ἀρχὰς ἔχοντας, ἐνταῦθα μὲν παραλαμβάνειν τὸν ὑπουργοῦντα τῷ μεγαλοπρεπεστάτῳ πραίτορι τῶν δήμων, κατὰ χώραν δὲ τὸν τῶν τόπων ἔκδικον, καὶ δι᾽ αὐτῶν προσάγειν αὐτοῖς τὴν ἐκ βασάνων πεῖραν, ὅπως ἂν ταύτῃ γοῦν μηδὲν κατακρύψαιεν τῶν ἀληθῶν, ἢ καὶ ἁλοῖεν διὰ ταύτης τῆς ὁδοῦ χρημάτων τὴν μαρτυρίαν ποιούμενοι, ἢ ἄλλως περὶ αὐτὴν κακουργοῦντες*[2].

239. *Εἰ δὲ καὶ ἤδη μηδεμίαν ἐπὶ χρέει ἐγγράφῳ ἀγράφου καταβολῆς ἀπόδειξιν διὰ μαρτύρων δέχεσθαι νενομοθετήκαμεν, πλὴν εἰ μὴ κατὰ τὴν ἐκεῖσε ῥηθεῖσαν παρατήρησιν, ἣν δὴ καὶ κρατεῖν βουλόμεθα, ἀλλ᾽ οὖν καὶ νῦν τοῦτο ἀνανεούμεθα. εἰ γὰρ ἔγγραφον εἴη τὸ χρέος, καὶ ἀγράφου καταβολῆς προτείνοιτο παρὰ τῶν δικαζομένων ἡ διὰ τῶν μαρτύρων ἀπόδειξις, τότε δεκτὴν αὐτὴν παρὰ τοῖς δικασταῖς εἶναι, ἡνίκα ἐπ᾽ αὐτῷ τούτῳ προσλαμβάνονται μάρτυρες, ἐφ᾽ ᾧ τῇ γενησομένῃ καταβολῇ ἢ τῇ μνήμῃ τοῦ γεγενῆσθαί τινα καταβολὴν ἤδη, καὶ τοῦτο ὁμολογεῖσθαι παρὰ τοῦ τὰ χρήματα λαβόντος μαρτυρήσαιεν ἄνδρες ἀξιόπιστοι καθεστῶτες, ἢ καὶ ἐν ἐκμαρτυρίοις*

[1] Bas. ib. sch. 6. [2] Bas. h. t. 46 th. 1. 2.

ἴσως ποιήσαιεν φανερόν. τὰς δὲ ματαίας αὐτὰς καὶ ἐκ τοῦ παρήκοντος γενομένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν, καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας, ὡς δι᾽ ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τούτου λέγοντος εἰληφέναι χρυσίον παρὰ τοῦδε, ἢ ὀφείλειν τῷδε. αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι καὶ οὐδὲ λόγου ἄξιαι, ὁπότε καὶ τοιοῦτον ἐν τῷ δικάζειν εὕρομεν, ὡς, καίτοι πολλῶν χρημάτων λεγομένων καταβεβλῆσθαι, ταβουλάριοι δύο μόνοι τοῦτο ἔφησαν ἀκηκοέναι, μάρτυρος παρόντος οὐδενὸς, καίτοι τοῦ χρέους ἐγγράφου τυγχάνοντος, καὶ τοῦ κατατιθεμένου δῆθεν γράφειν ἐπισταμένου, καὶ δυναμένου δι᾽ οἰκείων γραμμάτων ταῦτα φανερὰ καταστῆσαι. ὅπερ ἐξ ἐκείνου μισήσαντες ἀφορμὴν τοῦ παρόντος εἰλήφαμεν νόμου[1].

240. Καὶ αὖθις παρήχθη τὶς ἕτερος τὸ εἶδος ἐοικὼς τῷ συκοφαντουμένῳ, καὶ ἐπὶ μαρτύρων δῆθεν καὶ ταβουλαρίων κατετίθετο καθ᾽ ἑαυτοῦ χρέα. καὶ ὁ μὲν μισθοῦ τοῦτο πράξας ἀπῆλθεν, ἕτερος δὲ εἰσεπράχθη τὸ χρέος, τὸ παρ᾽ ἑτέρου τινὸς ὡς παρ᾽ αὐτοῦ δῆθεν ὁμολογηθέν. καὶ τοῦτο ὕστερον οὐ διέλαθε, τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι. οὔτε οὖν ταῖς τοιαύταις πιστεύομεν μαρτυρίαις, ἢ ταῖς τῶν ταβουλαρίων καθάπερ ἔφθημεν εἰπόντες καταθέσεσιν, ἡνίκα γραμμάτων ἐπιστήμονες εἶεν οἱ καταθέσθαι λεγόμενοι, παρὸν καὶ γράψαι ἢ ἐν δικαστηρίῳ καταθέσθαι, καὶ δοῦναι τῷ πράγματι πίστιν ἀναμφισβήτητον, οὔτε μένειν αὐτὰς τοῖς ἀληθέσι λυμαινομένας συγχωροῦμεν, οὔτε εἴ τι τοιοῦτο γέγονε, προσιέμεθα. ἀλλ᾽ ἀπαιτοῦμεν τὸ παρακεκλῆσθαι παρὰ τοῦ ἐνδόντος τοὺς μάρτυρας ἐπ᾽ αὐτῷ τούτῳ, καὶ τοῦτο διὰ μαρτυρίας ἀποδείκνυσθαι. καὶ εἶναι αὐτοὺς (τοῦτο δὴ τὸ τῶν διαθηκῶν) παρακεκλημένους, καὶ εὐϋπολήπτους καθεστάναι, καὶ οὕτω τὸ πρᾶγμα δέχεσθαι τὴν ἐξ αὐτῶν ἀπόδειξιν, καὶ μηδὲ ἐκμαρτυρίαν τοῦ λοιποῦ, μὴ καὶ μαρτύρων ἔχουσαν καὶ παρουσίαν καὶ κατάθεσιν καὶ ὑπογραφὴν κρατεῖν. εἰ δὲ μὴ τοιοῦτοι καθεστᾶσιν οἱ μάρτυρες, ὁποίους ἔμπροσθεν εἰρήκαμεν, καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι κελεύομεν[2].

241. Εἰ δέ τινες καθαρῶς ἑαυτοῖς σφίσιν ἐναντία ἢ καὶ ἀλλήλοις φθέγξαιντο, τοὺς δικαστὰς μάλιστα τούτοις προσέχειν τὸν νοῦν, καὶ εἰ περὶ τὰ καιριώτατα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν τὰς τοιαύτας μαρτυρίας, ταῖς

---

1 Bas. cit. th. 3. 2 Bas. cit. th. 3. 4.

παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλειόνων προσέχοντας. εἰ δὲ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες, καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν, μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατά τινα πλάνην, ὡς εἰκὸς, ἀλλ' ἐξεπίτηδες τἀναντία δειχθεῖεν λέγοντες[1].

242. Ἐπειδὴ δὲ πολλοὶ πολλάκις μάρτυρας παραστησάμενοι καὶ τρισσάκις τοῦτο πράξαντες, εἶτα, ἐπειδὰν ἀποτάξωνται καὶ ἐκλάβωσι τὰς διαμαρτυρίας, πειρῶνται προσελεύσεσιν ἡμᾶς ἐνοχλεῖν, καὶ βούλεσθαι καὶ τετράκις παραγαγεῖν μαρτυρίας, θεσπίζομεν, τὸ τοὺς μάρτυρας παραγαγὸν μάλιστα προσέχειν, καὶ εἰ τρισσάκις ἤδη παρῆλθον οἱ μάρτυρες, καὶ παρὰ τοῦ τοὺς μάρτυρας παραγαγόντος καὶ ἀποταξαμένου καὶ ἐκλαβόντος πάλιν αἰτοῦνται μάρτυρες, τούτους παντελῶς μὴ προσίεσθαι, ὡς ὑποψίας οὔσης, μή ποτε παραλιπόντων τὶ τῶν μαρτύρων τῶν [προτέρων] καὶ ἤδη φανερῶν τούτων διὰ τῆς μαρτυρίας γενομένων, ἐκεῖνος οὐ παραγωγῆς μαρτύρων, ἀλλὰ τῆς τῶν ἔμπροσθεν ἢ οὐ μαρτυρηθέντων προσθήκης ἢ μαρτυρηθέντων ἐπανορθώσεως ἐπιθυμεῖ. εἰ δὲ ὁ παραγαγὼν μὲν οὐκ ἐκλάβοι οὐδὲ ἐντύχοι ταῖς μαρτυρίαις οὐδὲ αὐτὸς οὐδέ τις τῶν συνηγόρων αὐτοῦ, ὁ δὲ ἀντιτεταγμένος ἐκλάβοι μόνος, καὶ ποιήσεται παραγραφὰς, οὐ μὴν ταύτας ἐκδοίη τῷ τρὶς ἤδη ποιησαμένῳ τὴν τῶν μαρτύρων πάροδον, ὥστε μὴ διὰ τῶν παραγραφῶν μαθόντα τὸν τούτους παραγαγόντα τὰ ἐλλείποντα ταῖς μαρτυρίαις ταῦτα προσθεῖναι, τηνικαῦτα δοτέον καὶ τετάρτην παραγωγὴν μαρτύρων τῷ ταῦτα αἰτοῦντι, πρότερον ὅρκου διδομένου παρ' αὐτοῦ, ὡς οὔτε ἐξείληφεν, οὐδὲ ἐνέτυχε ταῖς μαρτυρίας οὐδὲ αὐτὸς οὐδέ τις ἢ συνήγορος ἢ ὅλως ὑπὲρ αὐτοῦ πράττων, οὔτε κατά τινα δόλον οὐδὲ μηχανὴν οὐδὲ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι τῶν μαρτύρων, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελλομέναις χρήσασθαι μαρτυρίαις. καὶ εἰ τοῦτο γένοιτο, μηδὲ κελεύσεως ὑπὲρ τούτων δεῖσθαι βασιλικῆς, καθάπερ ἔμπροσθεν ἦν, ἀλλ' αὐτόθεν τὸν νόμον ἀρκεῖν αὐτοῖς τὰ τοιαῦτα ὡς ἔδοξεν ἀφιέντα. καὶ ἄχρι μὲν τετάρτης μαρτύρων παραγωγῆς ἄδειαν εἶναι μαρτυρίαις χρῆσθαι, μὴ μέντοι διὰ μακροῦ, ὥστε μηδὲ ἐντεῦθεν μηκύνεσθαι τὰς δίκας, ἀλλὰ δεῖν πάντως τάχος αὐταῖς προσεῖναι, καθάπερ ἂν ὁ δικαστὴς οἰηθείη τοῦτο πράττειν δεῖν[2].

243. Ἐκεῖνο μέντοι τῶν ὡμολογημένων ἐστὶν, ὡς εἰ καὶ

---

[1] Bas. cit. th. 4 in f. [2] Bas. cit. th. 5.

ἅπαξ τὶς παραγαγὼν μάρτυρας ἢ δὶς εἶτα ἀποτάξεται, καὶ ἢ ἐκλάβοι τὰς μαρτυρίας καὶ κατασκέψεται, ἢ τοῦ ἀντιτεταγμένου τοῦτο ποιήσαντος αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι, κἀκεῖθεν μάθοι τὰ μεμαρτυρημένα, οὐχ ἕξει παντελῶς ἄδειαν οὐδεμιᾷ περαιτέρω χρῆσθαι μαρτύρων παραγωγῇ, οὐδ᾽ ἂν θεία τούτῳ κέλευσις πορισθείη[1].

244. Ἐπειδὴ δὲ ἴσμεν γενόμενον νόμον, ὥστε εἴ τις ἐνταῦθα λέγει δίκην, δεῖται δὲ ἐπὶ τῆς χώρας μέρει τινὶ συστῆναι τῆς δίκης, ἐξεῖναι, τοῦ δικαστοῦ τοῦτο κρίνοντος καὶ τὴν ἀρκοῦσαν προθεσμίαν ὁρίζοντος, παράγειν ἐπὶ τῆς ἐπαρχίας τοὺς μάρτυρας, ἐνταῦθά τε ἀναπέμπεσθαι τὴν δίκην τῶν πεπραγμένων φερομένων, καὶ ὑπὸ τῷ αὐτῷ κρίνεσθαι δικαστηρίῳ, πολλαὶ δὲ τοιαῦται προσελεύσεις ἡμῖν γίνονται, βουλομένων τινῶν, οἵπερ ἐν ἐπαρχίᾳ μὲν δικάζονται, ἐνταῦθα δὲ τοὺς μάρτυρας ἔχουσιν, ὥστε κρατεῖν καὶ ἐπὶ τῶν τοιούτων τὸν νόμον, καὶ ἄδειαν εἶναι τῷ ἐν ἐπαρχίᾳ δικάζοντι πέμπειν ἐνταῦθα, ὥστε παριέναι τοὺς μάρτυρας, ἢ τὰς ἀποδείξεις ὅλως δέχεσθαι, καὶ πάλιν εἰς αὐτὸν φέρεσθαι τὰς δίκας, ἢ καὶ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν ταῦτα αἰτεῖν γίνεσθαι, θεσπίζομεν, διὰ τὴν τῶν ἀποδείξεων εὐπορίαν καὶ τοῦτο κρατεῖν, καὶ δύνασθαι καὶ ἀπὸ ἐπαρχίας ἐνταυθοῖ παρὰ τοῦ δικάζοντος ἐν τῇ χώρᾳ στέλλεσθαι, καὶ παρ᾽ ἑνὶ τῶν ἐξ ἡμῶν ὡρισμένων ἐλλογιμωμάτων δικαστῶν, ψήφου περὶ τούτου παρὰ τοῦ δικάζοντος γενομένης, τὰς μαρτυρίας δίδοσθαι καὶ ἀπὸ ἐπαρχίας ἑτέρας εἰς ἑτέραν παρὰ τῷ ἐκδίκῳ ἢ τῷ ἄρχοντι, τῶν μαρτυριῶν ἐκ ψήφου τοῦ δικάζοντος διδομένων, ἐκεῖσε δηλαδὴ τῆς αὐτοτελοῦς ψήφου διδομένης, ἔνθα καὶ προκατήρχθη, ἵνα ὥσπερ ἐντεῦθεν ἐν τῇ χώρᾳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς ἐκδίκοις τὰ περὶ τῆς παραγωγῆς τῶν μαρτύρων πράττεσθαι νενομοθέτηται, οὕτω καὶ ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ ἐπαρχίας ἐνταῦθα κρατοίη, καὶ τελεία διὰ πάντων ἡ τῶν ἀποδείξεων εἴη ἅπασιν εὐκολία. τῶν μέντοι μαρτυριῶν οὐκ ἐκδιδομένων ἐν ταῖς χώραις, ἀλλὰ τῶν πεπραγμένων διδομένων αὐτοῖς τοῖς παραγαγοῦσιν ἢ καὶ αὐτῶν ἀντιδίκοις, ἐπὶ πράξεως ὑπομνημάτων σημεῖα δεχομένων, καὶ οὕτως ἐνταῦθα ἢ ἐπαρχίαις πεμπομένων παρὰ τῶν δικαστῶν, μή ποτε, ὡς εἰκός, δεηθείη καὶ ἑτέρων μαρτύρων ἡ τοῦ πράγματος φυσις, καὶ ἀποκλεισθείη διὰ τὴν ἔκδοσιν ἡ τῶν μαρτύρων προσθήκη. τούτων ἁπάντων ἐπὶ τῶν χρηματικῶν

[1] Bas. cit. th. 5 in f.

ζητήσεων νοουμένων· ἐπὶ γὰρ ἐγκλημάτων, ἔνθα περὶ μεγίστων ἐστὶν ὁ κίνδυνος, ἀνάγκη πᾶσι τρόποις ὑπὸ τοῖς δικασταῖς παριέναι τοὺς μάρτυρας, καὶ τὰ αὐτοῖς ἐγνωσμένα διδάσκειν. ἔνθα καὶ βασάνων ἴσως ἔσται καιρὸς καὶ τῆς ἄλλης ἁπάσης παρατηρήσεως[1].

245. Εἰ δὲ λέγοιτο δουλικῆς εἶναι τύχης ὁ βουλόμενος μαρτυρεῖν, ὁ δὲ ἐλεύθερος ἰσχυρίζοιτο καθεστάναι, εἰ μὲν ἐκ γενετῆς, πληρούσθω μὲν ἡ μαρτυρία, ταῖς δὲ παραγραφαῖς ὁ περὶ τῆς τύχης φυλαττέσθω λόγος, ὥστε εἰ φανείη τύχης οἰκετικῆς ὤν, τὴν αὐτοῦ μαρτυρίαν ἀντὶ μηδὲ γενομένης εἶναι, εἰ δὲ ἐλευθερωθῆναι φήσοι, ἀναγκάζεσθαι δεικνύναι πρότερον αὐτὸν τὸ συμβόλαιον, ἐν ᾧ τῆς ἐλευθερίας τετύχηκεν, οὕτω τε μαρτυρεῖν. εἰ μέντοιγε ἐν ἑτέρᾳ χώρᾳ τῆς ἐλευθερίας φήσοι τυχεῖν, ἢ οὐκ εἶναι προχείρους αὐτῷ τὰς ἀποδείξεις, καὶ τοῦτο ῥητῶς ἐπομόσεται, ἡ μὲν μαρτυρία γραφέσθω, μὴ δειχθέντος δὲ τοῦ τῆς ἐλευθερίας συμβολαίου ὁ παραγαγὼν οὐ χρήσεται τῇ ἐκείνου μαρτυρίᾳ[2].

246. Εἰ μέντοι τὶς φήσειεν ἀπεχθῆ τὸν παριόντα πρὸς μαρτυρίαν αὐτῷ καθεστάναι τυχὸν καὶ ὑπὸ αἰτίαν παρ᾽ αὐτοῦ γενέσθαι, εἰ μὲν δείξειεν εὐθὺς, ὡς ἐγκληματικὴ μεταξὺ αὐτῶν κινεῖται δίκη, μὴ παρίτω πρὸς μαρτυρίαν ὁ μέχρι τοσούτου δυσμενὴς, ὡς καὶ περὶ ἐγκλημάτων δικάζεσθαι. εἰ δὲ ἄλλως ἀπεχθὴς εἶναι λέγοιτο, ἢ καὶ αἰτιάσασθαι χρηματικῶς, προΐτω μὲν τὰ τῆς μαρτυρίας, τῷ δὲ καιρῷ τῶν παραγραφῶν φυλαττέσθω τὰ τῶν τοιούτων ζητήσεων[3].

247. Ἐπειδὴ δὲ ἐθήκαμεν νόμον, ὥστε καὶ ἐπὶ χρηματικῶν δικῶν ἄκοντας μαρτυρεῖν, ἐκείνων οὐκ ἀναγκαζομένων τὴν μαρτυρίαν [νέμειν], ὅσοι μεσῖται γεγόνασιν αὐτοῖς, καί τινες ἀποχρῶνται τούτῳ καὶ μαρτυρίαν οὐ βούλονται νέμειν, θεσπίζομεν, εἴπερ ἑκ[άτερον] μέρος συναινοίη τὸν μεσίτην αὐτῶν γενόμενον μαρτυρῆσαι, [καὶ ἀρκεσθήσεσθαι] τοῖς παρ᾽ αὐτοῦ λεγομένοις, ἀναγκάζεσθαι καὶ ἄκοντα αὐτὸν μαρτυρίαν νέμειν· τοῦ κωλύματος, διόπερ αὐτὸν ἄκοντα μαρτυρεῖν ὁ πρότερος ἡμῶν οὐκ ἠβούλετο νόμος, διὰ τῆς συναινέσεως ἑκατέρων τῶν μερῶν ἀνῃρημένου. καὶ τοῦτο δὲ πολλάκις πραττόμενον ἴσμεν, ὥς τινες ἢ παρὰ τοῖς τῶν τόπων ἐκδίκοις ἢ παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν, ἢ ὡς εἰκὸς ἐνταῦθα παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων εἰσιόντες, καὶ μεμφό-

---

[1] Bas. cit. th. 6. [2] Bas. cit. th. 7. [3] Bas. cit. th. 8.

μενοι, ὡς παρὰ τοῦδε πεπονθότες τὶ παράνομον ἢ ἄλλως ἠδικημένοι ἢ ἐζημιωμένοι, μάρτυρας βούλονται παραστήσασθαι, καὶ ἵνα μὴ ὕστερον ἀντιτεθείη αὐτοῖς, ὡς κατὰ μίαν μοῖραν τὰ πεπραγμένα συνέστη, δεῖν κἀκεῖνον ἐν αὐτῇ τῇ πόλει καθεστῶτα, ἔνθα αἱ μαρτυρίαι δίδονται, ὑπομνησθέντα παρὰ τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου παραγενέσθαι καὶ ἀκούσειν τῶν μαρτυριῶν. εἰ δὲ μὴ βουληθείη παραγενέσθαι, ἀλλὰ διαπτύσειεν, ὥστε ἐκ τοῦ κατὰ μίαν μοῖραν δίδοσθαι τὰς μαρτυρίας κατ᾽ αὐτὸ τοῦτο ἀρχήστους εἶναι, θεσπίζομεν τὰς τοιαύτας μαρτυρίας οὕτω κρατεῖν, ὡς ἂν εἰ [μὴ] μονομερῶς ἐτύγχανον οὖσαι, ἀλλὰ καὶ αὐτοῦ παρόντος ἐγεγόνεισαν. εἰ γὰρ παραιτήσοιτο, καὶ ἐλθεῖν μὴ βουληθείη καὶ ἀκοῦσαι τῶν κατατιθεμένων, καίτοι δημοσιεύων τε καὶ οὐκ ἐξ ἀπαραιτήτου τινὸς ἀνάγκης ἀφικέσθαι μὴ δυνάμενος, ἐν ἴσῳ τοῖς παραγενομένοις ἔσται, καὶ οὐδὲν ὄφελος ἐκ τῆς αὐτοῦ προπετείας ἑαυτῷ γενήσεται, ἀλλὰ δοκείτωσαν μὲν συστάδην γεγονυῖαι, ὅσα δὲ ἂν ἁρμόσειεν αὐτῷ παραγράφεσθαι περὶ αὐτῶν, ἐξεῖναι τούτοις χρῆσθαι, μόνου τοῦ δοκεῖν αὐτὰς εἶναι μονομερεῖς διὰ τὴν αὐτοῦ προπέτειαν, οἷα κατ᾽ αὐθάδειαν μὴ παραγενομένου[1] ταῖς μαρτυρίαις ἀντιτίθεσθαι μὴ δυναμένου. τῶν ἄλλων ἁπάντων, ὁπόσα περὶ μαρτύρων παρὰ τῶν πρὸ ἡμῶν ἢ καὶ παρ᾽ ἡμῶν αὐτῶν εἴρηται καὶ νενομοθέτηται, κυρίων μενόντων καὶ παρὰ τῶν ἡμετέρων δικαστῶν φυλαττομένων, εἴτε μείζους εἴτε ἐλάττους εἶεν, εἴτε ἐπὶ ταύτης τῆς μεγαλοπόλεως εἴτε ἐν ταῖς ἔξω χώραις, ἵνα καὶ τὰ τῶν μαρτύρων ὁπόσον δυνατοὶ καθεστήκαμεν ἐπανορθώσαντες ἔτι καθαρώτερόν τε καὶ ὁσιώτερον τὰς δίκας πράττεσθαι παρασκευάσωμεν, δι᾽ ἃς καὶ τὰς ἀκροάσεις γίνεσθαι παρὰ τοῖς δικασταῖς ἅπασι τῶν θείων προκειμένων λογίων ἐνομοθετήσαμεν, καὶ ὅρκον ὑπέχειν καὶ τοὺς ἐνάγοντας καὶ τοὺς ἐναγομένους καὶ τοὺς συνηγόρους παρεκελευσάμεθα, πανταχοῦ τὸν θεὸν ἐφιστάντες ταῖς τῶν δικαζομένων τε καὶ δικαζόντων καὶ τῶν μαρτυρούντων ψυχαῖς, ἵνα διὰ πάντων τῇ τοῦ θεοῦ μνήμῃ τε καὶ παρουσίᾳ καθαρὰ τὰ τῶν δικῶν καὶ ἀνύποπτα τοῖς δικαζομένοις γίνοιτο. ὃν δὴ νόμον κρατεῖν βουλόμεθα εἰς τὸν ἐφεξῆς ἅπαντα χρόνον[2].

248. Τὸν δικαστὴν, οὗ ἐξεκαλεσάμην τὴν ἀπόφασιν, οὐ δύναμαι παραιτεῖσθαι ὡς ἐχθρὸν διδόμενόν μοι ἐφ᾽ ἑτέρᾳ μου δίκῃ δικαστήν· δύναμαι γὰρ πάλιν ἐκκαλέσασθαι[3].

---

[1] Lips. παραιτουμένου. [2] Bas. cit. th. 9. 10. [3] Bas. cit. sch. 25.

249. *Ἐάν τις προτραπῇ ὑπὸ τοῦ συνιστῶντος κατ᾽ αὐτοῦ μαρτυρίαν παραγενέσθαι καὶ ἀκροάσασθαι τῶν παρατιθεμένων, καὶ μὴ παραγένηται, ἔῤῥωνται αἱ πραττόμεναι κατ᾽ αὐτοῦ μαρτυρίαι, κἂν κατὰ μίαν μοῖραν συνέστησαν· καὶ οὐ δύναται αὐτὰς παραγράφεσθαι. ἀλλ᾽ εἴπερ ἑτέρας ἔχει παραγραφὰς χωρὶς τοῦ λέγειν, ὡς κατὰ μίαν μοῖραν ἐγένοντο, οὐ κωλύεται αὐταῖς χρήσασθαι*[1].

250. *Ζήτει βι. ξ' τί. γ' κεφ. μ', καὶ ἀναγνοὺς σκόπησον, μήποτε ἡ παροῦσα διάταξις περὶ μαρτύρων διδάσκει μὴ δυναμένων εἶναι· καὶ μεταταῦτα νομοθετεῖ, ὡς κἂν μήπω ἔφθασα κινῆσαι κατὰ τοῦ ὄντος μοι ἐνόχου, εὕρω δὲ τοῦτον ἔν τινι τόπῳ, ἐν ᾧ καὶ οἱ τῆς ὑποθέσεως μάρτυρες διάγουσιν, ἔχειν με ἄδειαν καταναγκάσαι τοῦτον δέξασθαι τὰς φωνάς. ἔχει δὲ τὸ ῥηθὲν κεφάλαιον οὕτως· ἐὰν γραμμάτιον χρέους αἱρετικοῦ ἀπαλείψῃ τὶς, καὶ δειχθῇ τοῦτο διὰ τεκμηρίων ἢ μαρτύρων τῶν μὴ δυναμένων εἶναι, τῆς αἱρέσεως [ἐξιούσης] καταδικάζεται μὲν, οὐκ ἄλλως δὲ ἀπαιτεῖται, εἰ μὴ ἐξέλθῃ τοῦ χρέους ἡ αἵρεσις*[2].

250. *Μὴ νόμιζε τὸ προκείμενον νόμιμον τὰ αὐτὰ λέγειν τῷ μζ' κεφαλαίῳ. ἀλλ᾽ ἐκεῖνο μὲν νόει ἐπὶ τῶν ἐναγόντων καὶ προκαταρξαμένων καὶ εἰς ἀποδείξεις ἀπολυθέντων· τὸ δὲ παρὸν ἐπὶ τῶν μήτε κινησάντων μήτε προκαταρξαμένων καὶ εἰς ἀποδείξεις ἀπολυθέντων, ἄδικον δέ τι παρά τινος παθόντων, ὕβριν τυχὸν καὶ πληγὰς ἢ ἁρπαγήν· ἔξεστι γὰρ τούτοις καὶ πρὸ τοῦ κινῆσαι ἢ λίβελλον δοῦναι προσέρχεσθαι δικαστῇ καὶ ζητεῖν, εἴγε πάρεστιν ὁ ἀδικήσας, καὶ αὐτοὺς ἐρωτηθῆναι τοὺς εἰδότας τὸ γεγονός. καὶ τοῦτο καὶ ἡ χρῆσις αὐτὴ συμμαρτυρεῖ. καὶ σήμερον γὰρ πολλαὶ γίνονται ἔρευναι περὶ ἀταξιῶν γεγονυιῶν καὶ πρὸ δόσεως λιβέλλου καὶ προκατάρξεως*[3].

252. *Ὁ*[4] *ὅρκος δύναμιν ἀποφάσεως ἔχει*[5]. *ὁ γὰρ ἐπιφέρων ὅρκον τῷ ἀντιδίκῳ αὐτοῦ δοκεῖ δικαστὴν αὐτὸν ποιεῖν, καὶ οὐ δύναται ἀντειπεῖν.*

253. *Εἰ μηδενὸς ἐπάγοντος ὀμνύει τὶς, οὐδὲν ὠφελεῖται*[6].

---

[1] Bas. cit. sch. 26. [2] Bas. ibid. [3] Bas. ibid. sch. 27. — In Cod. Lips. jam spatium in albo relictum est. Paris. 1351 A intercalat haec: *περὶ ἐνάγοντος καὶ ἐναγομένου. Ἡ δὲ νδ' νεαρὰ τοῦ κυροῦ Λέοντος τοὺς καταμηνυθέντας κ. τ. λ.* (Cf. Harm. I, 2, 4). Eadem Paris. 1368 in margine habet. [4] Nonnulli praemittunt rubricam: *περὶ ὅρκου· περὶ ἀναψηλαφήσεως ὅρκου· περὶ ἐνδίκου ορκου· καὶ περὶ ἐπιόρκου.* [5] Bas. LI, 6, 1. [6] Att. XIV, 13.

254. Ὅρκος ἐπιφερόμενος ἢ παρὰ τοῦ ἀντιδίκου ἢ παρὰ τοῦ δικαστοῦ τέμνει τὴν ἀμφισβήτησιν. ἔοικε γὰρ διαλύσει, καὶ μείζων ἐστὶ ψήφου[1].

255. Ἐφ᾽ οἱαδήποτε ἀγωγῇ ὀμνύς τις ἐλευθεροῦται[2].

256. Ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ὀφείλει ὀμνύεσθαι. εἰ γὰρ ἐμοῦ κατὰ τοῦ θεοῦ ἐπάγοντος ὀμόσεις κατὰ τῆς κεφαλῆς σου ἢ κατὰ τῶν τέκνων σου, οὐκ ἔῤῥωται[3].

257. Ἐπὶ χρήμασι κατὰ βασιλέως ὀμάσας καὶ ἐπιορκήσας, τυχὸν ὅτι χρεωστεῖ ἢ κεχρεώστηται ἢ ὅτι δίδωσιν εἴσω προθεσμίας, ῥοπαλίζεται[4].

258. Ἐπὶ τῶν δημοτικῶν εἷς ὁρκῶν ἢ ἐνάγων ἀσυμπαίκτως ἀποκλείει πᾶσιν[5].

259. Καὶ περὶ χρημάτων καὶ πραγμάτων καὶ ἔργων ἔξεστιν ἐπάγειν καὶ ἀντεπάγειν[6].

260. Ἐκεῖνος δύναται ἀντεπάγειν τῷ ἀντιδίκῳ ὁ ἔχων τὸν τέλειον ὅρκον, οὐ μὴν ὁ ἔχων τὸν τῆς συκοφαντίας· ἀντεπακτὸς γὰρ ἀντεπακτοῦ οὐκ ἔστιν[7].

261. Οὐδεὶς κατὰ τοῦ θεοῦ ὀμόσας κινδυνεύει. ἱκανὸν γὰρ ὁ ὅρκος τιμωρὸν ἔχει τὸ θεῖον. εἰ δὲ κατὰ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται[8].

262. Ἐπὶ τῶν καλῇ πίστει καὶ τῶν ἄλλων ἀγωγῶν δύναται ὁ δικαστὴς ἐν ἀπορίᾳ τῶν ἀποδείξεων ὅρκον ἐπιφέρειν[9].

263. Οὐδεὶς ὑπὲρ ἄλλου δικαζόμενος ἢ συμφωνῶν ἢ ὅρκον ἐπιφέρων παρὰ γνώμην τοῦ δεσπότου τῶν πραγμάτων πρόκριμα αὐτῷ ἤτοι βλάβην ποιεῖ[10].

264. Λέγων τὶς χρεωστεῖσθαι λεγάτον ἐν διαθήκῃ καταλειφθὲν αὐτῷ καὶ μὴ προσφέρων τὴν διαθήκην, ὅρκον ἀπητήθη παρὰ τοῦ κληρονόμου, καὶ ἐπωμόσατο τῇ ἀληθείᾳ καταλελεῖφθαι αὐτῷ τὸ λεγάτον ἢ καὶ ἔλαβεν αὐτό. μετὰ ταῦτα ἀπεδείχθη προφανῶς, μηδὲν αὐτῷ καταλελεῖφθαι. ἡ διάταξις λέγει, τούτου δεικνυμένου ἀντιστρέφειν ὃ ἔλαβε, καὶ μηδὲν ἀπὸ τῆς ἰδίας ἐπιορκίας κερδαίνειν[11].

265. Ὁ ἐνάγων πρῶτος ὄμνυσι τὸν περὶ συκοφαντίας[12].

266. Ὁ ἐπαγαγὼν ὅρκον καὶ μὴ ὀμνὺς τὸν τῆς συκοφαντίας ἔοικε τῷ παραχωροῦντι τὸν ὅρκον, καὶ ἐκπίπτει τῆς ἀγωγῆς[13].

---

[1] Att. eod. 12. [2] Att. cit. 14. [3] Bas. XXII, 5, 3 th. 4 sqq. [4] Att. cit. 15. [5] Att. cit. 16. [6] Att. cit. 17. [7] Att. cit. 18. [8] Att. cit. 19. [9] Att. cit. 20. [10] Att. cit. 21. [11] Att. cit. 22. [12] Bas. XXII, 5, 34 th. 6. — Paris 1351 A praeponit rubricam: περὶ ὅρκου τῆς συκοφαντίας. [13] Bas. ibid. 37.

267. Ἀντὶ ὁμολογοῦντός ἐστιν ὁ μὴ ὀμνὺς μήτε ἀντεπάγων[1].

268. Ἐπενεχθέντος τοῦ ὅρκου ὀφείλει ὁ ἐναγόμενος ἢ ὀμόσαι ἢ καταβαλεῖν ἢ ἀντεπαγαγεῖν, εἰ μὴ ἄρα ὁ ἐνάγων ἐμποδίζει μὴ ἀνεχόμενος αὐτὸς παρασχεῖν τὸν περὶ συκοφαντίας ὅρκον. χρὴ γὰρ πρῶτον τὸν ἐπιφέροντα τὸν ὅρκον αὐτὸν ὀμόσαι τὸν περὶ συκοφαντίας ὅρκον, ὅτι οὐχ ὡς συκοφαντῶν σε βούλομαι λαβεῖν παρά σου τὸν ὅρκον, ἀλλ' ὡς νομίζων δικαίως ἐνάγειν[2].

269. Ἐάν τις ἐπαγαγὼν ὅρκον τινὶ πρὶν ὀμοθῆναι τὸν ὅρκον μεταμεληθεὶς μηκέτι βουληθείη δοθῆναι τὸν ὅρκον ὡς εὐπορήσας ἑτέρων ἀποδείξεων, μηκέτι ἐξέστω αὐτῷ ἐκ δευτέρου ἐπιφέρειν τὸν ὅρκον, ἐπειδὴ ἅπαξ ἀπηγόρευσε, καὶ οὔκ ἐστι δίκαιον ἀποτυχίᾳ τῶν ἄλλων ἀποδείξεων πάλιν εἰς τὸν ὅρκον ὑποστρέφειν. μέχρι δὲ τότε ἔξεστι τῷ ἐπάγοντι τὸν ὅρκον καὶ μήπω αὐτὸν λαβόντι μεταμέλεσθαι, ἕως ὅτε ἀπόφασις ἐξέλθῃ ἐπιτρέπουσα δοθῆναι τὸν ὅρκον. ἀποφάσεως γὰρ ἅπαξ ἐξενεχθείσης καὶ ἐκκλήτου μὴ ἐπιδοθείσης, ἢ γενομένης μὲν ἐκκλήτου, βεβαιωθείσης δὲ τῆς πρώτης ἀποφάσεως ἐν τῷ δικαστηρίῳ τῆς ἐκκλήτου, οὐκέτι ἔξεστι μεταμέλεσθαι τῷ ἐπενεγκόντι τὸν ὅρκον καὶ μεταπηδᾷν πρὸς ἑτέρας ἀποδείξεις, ἵνα μὴ ἄνωθεν δικαζόμενος τὸ τέλος τῆς πρώτης ὑποθέσεως ἀρχὴν δευτέρου δικαστηρίου ποιήσηται[3].

270. Κατὰ τῆς τοῦ ὅρκου παραγραφῆς[4] ἀντιτίθεται δόλου ἀναπλοκὴ ἤτοι ἀνάλυσις· οὐ γὰρ αναψηλαφᾶται ὁ ὅρκος[5]. ἀναπλοκὴ δὲ ἤτοι ἀνάλυσίς ἐστι παραγραφὴ παραγραφῆς.

271. Ὁ ὅρκος δύναμιν ἀποφάσεως ἔχει. οὐκ ἀντίκειται δὲ τῷ ἀνήβῳ ὁ παρ' αὐτοῦ ἐπαχθεὶς ὅρκος, εἰ μὴ σὺν αὐθεντίᾳ τοῦ ἐπιτρόπου ἐν δικαστηρίῳ ἐπαγάγῃ[6].

272. Μόνος ὁ δικαστὴς ἐπάγει τὸν ἔνδικον ὅρκον, καὶ ἐν αὐτῷ ἐστὶν ἐπαγαγεῖν αὐτὸν, καὶ ὑπερθέσθαι. δύναται δὲ μετὰ τὸν ὅρκον ἐκ μεγάλης αἰτίας, ἢ ἀποδείξεων ὕστερον εὑρεθεισῶν, ἐν μέρει ἢ εἰς τὸ παντελὲς κουφίσαι τὸν ἐναγόμενον[7].

273. Ἀπὸ ῥᾳθυμίας οὐκ ἐπάγεται ὁ ἐν δίκῃ ὅρκος, ἀλλ' ὁ δικαστὴς ποιεῖται τὴν ἀποτίμησιν[8].

---

[1] Bas. ib. 38. [2] Bas. ib. 51. [3] Bas. ib. 53. [4] Cod. παραγωγῆς. [5] Bas. LI, 1, 15. [6] Bas. LI, 6, 1 th. 1. 2. [7] Bas. XXII, 6, 4 th. 3. [8] Bas. cit. th. 4.

274. *Καὶ σημείωσαι πότε ὅρκος ἀναψηλαφᾶται*[1].

275. *Οὐδεὶς ἀπὸ τοῦ αὐτοῦ συμβολαίου ἢ τῆς ἑαυτοῦ σημειώσεως, εἰ μὴ καὶ ἄλλαις προσθήκαις βοηθεῖται, ἀξιόπιστον κατασκευάζει τοῦ χρέους τὴν μαρτυρίαν· ὡς κεφ. λθ'*[2].

276. *Οἱ λόγοι τοῦ τελευτήσαντος, ἐν οἷς κατέγραψεν ἑαυτὸν χρεωστεῖσθαι, πρὸς ἀπόδειξιν οὐκ ἀρκοῦσιν, ἀλλ' οὐδὲ τὸ ἐν διαθήκῃ εἰπεῖν αὐτόν τινα περὶ χρεῶν ἰδίων ἱκανόν ἐστι πρὸς ἀπόδειξιν ἀληθείας. ἐὰν δὲ ἐσημειώσατό τινα καθ' ἑαυτοῦ, ἢ ἐν τῇ διαθήκῃ αὐτοῦ ἔγραψεν ἑαυτὸν χρεώστην, πιστεύομεν τῇ τοιαύτῃ γραφῇ τοῦ τελευτήσαντος. ὡς κεφ. μ' τοῦ κβ' βι. τοῦ α' τί.*[3].

277. *Ἐάν τις προσφέρῃ τινὰ γραφὴν, ὀφείλει αὐτὸς αὐτὴν δεικνύειν ἀληθῆ. ἐπεὶ εἰ μὴ τοῦτο δείξῃ, πλαστογραφίας λόγον ὑφέξει. ὡς κεφ. μα' καὶ νη'*[4].

278. *Ἔνθα μὴ συνεφωνήθη, ἵνα τὸ δίκαιον, ὅπερ ὁ πράτης ἔχει, αὐτῷ εἴη πεπραμένον, ἀναγκάζεται δεῖξαι κληρονόμον ἑαυτόν. ὡς κεφ. ιε' τί. δ'*[5].

279. *Περὶ ἐνδίκου ὅρκου. Ὁ ἔνδικος ὅρκος τοιοῦτός ἐστιν· ὅταν τὶς ἀπελεγχθῇ βιαίαν ἁρπαγὴν ποιησάμενος πραγμάτων ἢ ἐπέλευσιν κατὰ οἰκίας τινὸς ἢ κλοπὴν ἢ ζημίαν ἄδικον, τότε ὀμνύει ὁ ἀντίδικος, ὅτι τόσα ἐζημιώθη καὶ ἀπώλεσεν ἐν τῇ γενομένῃ κατ' αὐτοῦ ἐπιθέσει ἢ βίᾳ ἢ κλοπῇ ἢ ἀναισχύντῳ ζημίᾳ, καὶ ἀπολαμβάνει ταῦτα εἰς τὸ ἁπλοῦν ἀπὸ τοῦ ἀντιδίκου· πλὴν οὐκ ἀβασανίστως ὅσα ὀμόσει λήψεται, ἀλλὰ μετὰ ταξατίωνος. ὁρίζει γὰρ ὁ δικαστὴς καὶ τυποῖ τὴν εὐπορίαν τοῦ ἐνάγοντος, καὶ τὸν τόπον, ἐν ᾧ ἡ ἀπώλεια γεγονε· καὶ κατ' ἐκεῖνα περιστᾷ τὸ ποσὸν, καὶ τότε προτρέπει αὐτὸν ἐπομόσασθαι, ὅτι οὐχ ἧττονα τῶν τοιούτων ἀπώλεσεν*[6].

280. *Ἐπὶ τῆς περὶ κλοπῆς ἀγωγῆς δεῖ ὀμνύειν, ὅτι τοσοῦδε ἦν τὸ πρᾶγμα ὅτε ἐκλάπη, οὐ μὴν ὅτι πλείονος, ὡς κεφ. θ'*[7].

281. *Καὶ ὁ περὶ δικαιωμάτων ἐνάγων ὄμνυσι τὸν ἐν δίκῃ ὅρκον, ὃ διαφέρει αὐτῷ προκομισθῆναι αὐτὰ, καὶ εἰς τοσοῦτον ὁ ἐναγόμενος καταδικάζεται. ὡς κεφ. ι'*[8].

282. *Ὅρκος ὃν ὀμνύουσιν οἱ ἰουδαῖοι. — Ἐν πρώτοις, ἵνα ζώσηται τὴν βάτον, καὶ κρατήσῃ ἐν ταῖς χερσὶν αὐ-*

---

[1] Att. XIV, 22 in fine. [2] Bas. XXII, 1, 39. [3] Bas. XXII, 1, 40. [4] Bas. XXII, 1, 58. [5] Bas. XIX, 4, 13. [6] Att. XIV, 23. [7] Bas. XXII, 6, 9. [8] Bas. XXII, 6, 10.

τοῦ τὸ μεγαλεῖον, καὶ εἴπῃ οὕτως· εὐλόγητος κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ διαγαγὼν ἡμᾶς διὰ ξηρᾶς τὴν ἐρυθρὰν θάλασσαν, ὅτι οὐ ψεύδομαι. εἰ δὲ καὶ ψευδόμενος εὑρεθῶ, δώῃ μοι κύριος ὁ θεὸς τὴν λέπραν τοῦ γιεζῆ καὶ τοῦ ἀμμᾶ, ἠλεῖ τοῦ ἱερέως τὴν καταδίκην, καὶ ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταπιέτω με ζῶντα, ὡς δαθὰν καὶ ἀβειρών[1].

283. Ἐὰν οὖν ὁ καταδικασθεὶς εὑρηκέναι λέγῃ μετὰ ταῦτα δικαιώματα καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ· εἰ δὲ ἀντίδικος ἐπαγάγει τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις[2].

284. Θεσπίζομεν, πᾶσαν δίκην καὶ συμπλοκὴν διὰ μαρτύρων λυομένην ἐγγράφως τε καὶ ἀγράφως περατοῦσθαι ὡς ὑποτέτακται· ἐπὶ μὲν τῆς βασιλίδος ἡμῶν πόλεως μνηστείας, προικῷα, ἐμφυτευτικὰ, ἐμπερίγραφα παντοῖα, ἀναγραφὰς ὀρφανικῶν πραγμάτων, σύμφωνα ἐφ᾽ ἑκάστῳ πράγματι, δωρεὰς, πράσεις, ἀγορασίας, δάνεια, παραθήκας, διαθήκας τε καὶ ἐλευθερίας, καὶ ἄλλο εἴ τι παρατυγχάνει τούτοις ἐοικὸς κεφάλαιον, προσκληθέντων ἑπτὰ ἢ πέντε (ἐπὶ δὲ διαθηκῶν καὶ ἐλευθεριῶν καὶ μόνων ἕως τῶν τριῶν) μαρτύρων ἀξιοπίστων, ἱερέων, ἀρχόντων, στρατευομένων, πολιτευομένων, εὐπορίαν ἢ ἐπιτήδευμα ἐχόντων, εὐσεβῶς δηλονότι καὶ εὐλαβείᾳ βιούντων, ἐπ᾽ αὐτῶν τὰς συναλλαγὰς καὶ σύμφωνα παντοῖα καὶ τὰ ἔγγραφα προέρχεσθαι. καὶ εἰ μὲν δύναται ὁ τὸ ἔγγραφον ποιῶν δι᾽ ἑαυτοῦ γράψαι, γραφέτω τὸ πᾶν, ὑπογραφόντων καὶ τῶν μαρτύρων· ἄνευ μέντοι τῶν προικῴων καὶ ἐμπεριγράφων παντοίων· ἐν ἐκείνοις γὰρ οἵ τε ταβουλάριοι καὶ οἱ νομικοὶ, καὶ οἱ μάρτυρες κατὰ τὸ ἔθος γραφέτωσαν, τοιούτων ὑπογραφόντων μαρτύρων, οἵων προέφημεν. τούτων δὲ οὕτω πραττομένων, ὁσάκις ἂν φιλονεικία γένηται ἐξ οἱουδήποτε μέρους προάγεσθαι τοὺς μάρτυρας καὶ τὰ ἔγγραφα, καὶ ἐρωτᾶσθαι αὐτοὺς περὶ τῶν ἐγγράφων, εἰ ἀληθινά ἐστι. καὶ ἐὰν συμφωνήσωσιν οἱ μάρτυρες τὸν θεὸν ἐπικαλούμενοι, καὶ λέγοντες ἀληθινὰ εἶναι τὰ προκομισθέντα ἔγγραφα, ἀπολύεσθαι τὴν δίκην, καὶ τὸ ἐγκείμενον τῷ προκομισθέντι ἐγγράφῳ πρόστιμον ζημιοῦσθαι τὸν τὴν ἀγωγὴν ποιησάμενον παρὰ τοῦ δικαστοῦ, καὶ παρέχεσθαι τῷ διαδίκῳ αὐτοῦ. εἰ δὲ μετὰ τὴν τελευτὴν τῶν προσκειμένων τῷ χάρτῃ μαρτύρων ἡ ἀγωγὴ τῆς

[1] Cf. Leunclav. IGR. I p. 120. [2] Phot. XIII, 18.

δίκης γένηται, καὶ οὕτως ἀπολύεσθαι τὴν δίκην ἄνευ ζητήσεως. εἰ δὲ ὁ τὸ ἔγγραφον ποιῆσαι ἀπαιτούμενος ἐν τοῖς προονομασθεῖσι κεφαλαίοις ἀγράμματος ὑπάρχει ἢ ἐκ πάθους ἀδυνάτως ἔχει τοῦ γράφειν, προτάσσειν αὐτὸν τὸν τίμιον σταυρὸν, καὶ τὰ λοιπὰ γράφεσθαι διὰ ταβουλαρίων ἢ ἑτέρων χειροχρηστῶν. καὶ εἰ μέν ἐστιν ἀναγκαῖον τὸ ὑπογράψαι τοὺς μάρτυρας, γενέσθω οὕτως· εἰ δὲ μήγε, διὰ τῆς σημειώσεως τῶν ὀνομάτων αὐτῶν φανεροῦσθαι αὐτούς. τὰ δὲ ἀγράφως πραττόμενα γενέσθω οὕτως· προσκληθέντων (ὡς εἴρηται) ζ' ἢ ε' μαρτύρων ἀξιοπίστων (ἐπὶ δὲ διαθηκῶν καὶ ἐλευθεριῶν καὶ μόνων ἕως τῶν τριῶν) ἐπὶ αὐτῶν τάς τε συναλλαγὰς καὶ σύμφωνα παντοῖα περατοῦσθαι. καὶ ὅταν συμβῇ φιλονεικίαν γενέσθαι παρ' οἱουδήποτε μέρους, ἐπιζητεῖσθαι τοὺς εὑρεθέντας μάρτυρας· καὶ εἰ μὲν συμφωνήσουσι τῷ ἐνάγοντι, ἀνακρινόμενοι παρὰ τῶν δικαστῶν ποιείτωσαν ἔγγραφα ἐξ ἰδιοχείρου, καὶ τιθέτωσαν αὐτὰ ἐπ' ἐκκλησίας. εἰ δὲ ἀγράμματοί εἰσι, ποιείτωσαν τοὺς τιμίους σταυροὺς, καὶ τὰ λοιπὰ γραφέτωσαν διὰ χειροχρηστῶν, περιέχοντα ἐπὶ λέξεως οὕτως· ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ τὰ ἐπιτηδεύματα καὶ ἀξιώματα. μάρτυς κύριος ὁ θεὸς, καὶ ὁ ἱερὸς τόπος οὗτος ἐν ᾧ ἑστήκαμεν καὶ τὰ ἔγγραφα προάγομεν. ἀλήθειαν ἐμαρτυρήσαμεν καὶ οὐκ ἐψευσάμεθα ἔν τινι· καὶ μετὰ ταύτης τῆς μαρτυρίας παραστησόμεθα τῷ φοβερῷ βήματι χριστοῦ τοῦ θεοῦ ἡμῶν. ἀποδοθείη τε ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι ἡ ἀντάμειψις κατὰ τὴν μαρτυρίαν ἡμῶν. ἐὰν δὲ πώποτε καιρῷ ἢ χρόνῳ ἀποδειχθῶμεν ψευδομάρτυρες, τὴν διὰ τῆς μαρτυρίας ἡμῶν γενομένην ζημίαν ἀποκαθιστᾶν ἡμᾶς τῷ ζημιωθέντι, καὶ εἶθ' οὕτως ὑποκεῖσθαι ἡμᾶς τῇ τῶν ψευδομαρτύρων ποινῇ, κατὰ τὸ παροιμιαστικῶς γεγραμμένον· μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται κακῶν. ἐὰν δὲ διφωνήσωσιν οἱ μάρτυρες, ἢ καὶ τὰ ἑκάτερα μέρη προσάγωσι μαρτυρίας, γενέσθω ἐκλογὴ τῶν μαρτύρων παρὰ τῶν δικαζόντων, καὶ εἴ τινές εἰσι πλείονες καὶ ἀξιοπιστότεροι, ποιείτωσαν ἰδιόχειρα, καὶ περατούσθω ἡ δίκη. ταῦτα κρατείτωσαν καὶ ἐν ταῖς ἔξω πόλεσι καὶ ἐπαρχίαις· ἄνευ μέντοι τῶν ὁροθεσίων. ταύτας γὰρ τὰς φιλονεικίας θεσπίζομεν λύεσθαι βασταζομένων τῶν ἁγίων εὐαγγελίων ἢ καὶ τοῦ τιμίου σταυροῦ παρὰ τῶν διοριζόντων μαρτύρων, καθὼς καὶ ἕως τοῦ νῦν ἐκράτησεν ἡ συνήθεια[1].

[1] Nov. Irenae Coll. I Nov. 27. — Caeterum in medio hoc capite (a. v. *εἰ δὲ ἀγράμματοι*) altera manus incipit, qua Lipsiensis exaratus est.

285. *Περὶ ἐπιόρκων εἴρηται ἐν βι. ιβʹ τί. βʹ καὶ βι. δʹ τοῦ κώδ. τί. αʹ. καὶ ὁ μὲν γενικὸς λόγος βούλεται μὴ ζητεῖσθαι ἐπιορκίας· εἰσὶ δέ τινες ἐξαιρέσεις. εἴρηται γὰρ βι. ιβʹ τί. βʹ. λαʹ, ὅτι ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ἐπιφέρειν ὅρκον καὶ οὕτω ψηφίζεσθαι· ἐὰν ὁ οὕτω καταδικασθεὶς εὑρηκέναι μετὰ ταῦτα δικαιώματα λέγῃ καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ· εἰ δὲ ὁ ἀντίδικος ἐπάγει τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις*[1].

286. *Ὁ βʹ τί. τοῦ ιβʹ βι. τῶν διγέστων διδάσκων περὶ ὅρκου ἱμοτέου, εἴτε προαιρετικοῦ τουτέστιν ἐπακτοῦ εἴτε ἀναγκαίου εἴτε δικαστικοῦ, κεῖται ἐν τῇ ἀρχῇ τοῦ εʹ τί. τοῦ κβʹ βι. τῶν βασιλικῶν. καὶ φησι τὸ δʹ θέμα τοῦ γʹ κεφ. καὶ γυνὴ ὀμνύουσα ἐγκυμονεῖν πέμπεται εἰς νομὴν, καὶ οὐκ ἐνάγεται μετὰ τὸν ὅρκον ὡς κατὰ συκοφαντίαν εἰς νομὴν πεμφθεῖσα, καὶ οὐχ ὑπομένει βίαν ἐπὶ τῇ νομῇ. εἰ δὲ ὁ ἀντίδικος ὀμόσει μὴ ἐγκυμονεῖν αὐτὴν, οὐ πέμπεται*[2].

287. *Πρόκριμα δὲ διὰ τῶν τοιούτων ὅρκων οὐ γίνεται τῇ ζητήσει τοῦ τοκετοῦ· ὁ γὰρ ἑτέρου ὅρκος ἄλλον οὐκ ὠφελεῖ οὔτε βλάπτει. καὶ ὁ αʹ τί. τοῦ δʹ βι. τοῦ [κώδ.] ἐστὶ κεφ. μγʹ τοῦ αὐτοῦ εʹ τί. τοῦ κβʹ βι. τῶν βασιλικῶν καί φησιν· ἡ δίκη ὅρκῳ κατὰ συναίνεσιν ἑκατέρου μέρους ἢ τοῦ διαδίκου ἐπιφέροντος καὶ παρασχεθέντος ἢ συγχωρηθέντος τμηθεῖσα οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναζητεῖσθαι δύναται, εἰ μὴ ἄρα ἰδικῶς τοῦτο νόμῳ ὑπεξαιρεῖται*[3].

288. *Ἔστι δὲ εὑρεῖν βι. δʹ τοῦ κώδ. τί. αʹ διάτ. ιγʹ καὶ ὅρκον ὀμνύοντα ἐξ ἐπαγωγῆς τοῦ ἀντιδίκου ἀναψηλαφώμενον. φησὶ γὰρ, ὅτι ἐὰν ὁ ληγάτον ἀπαιτῶν τῆς διαθήκης μὴ φαινομένης ἐξ ἐπαγωγῆς τοῦ κληρονόμου ὀμόσῃ κεχρεωστῆσθαι καὶ λάβῃ, μετὰ ταῦτα δὲ εὑρεθῇ μὴ κεχρεωστημένος, ἢ κεχρεωστημένος μὲν, μὴ ὀφείλων δὲ τὸ πᾶν λαβεῖν διὰ τὸν φαλκίδιον, ἀναδίδωσιν*[4].

289. *Ἡ δὲ περὶ τῆς καθαρότητος τῶν ὅρκων τῶν δικῶν διαλαμβάνουσα ρκδʹ νεαρὰ δίδωσιν ἄδειαν ἀναψηλαφᾶσθαι ἤγουν ἐλέγχεσθαι τὸ ψεῦδος τοῦ ὀμόσαντος. εἴρηται δὲ καὶ βι. βʹ τί. βʹ διγ. ιγʹ, ὅτι ὁ ἐπὶ χρήμασι κατὰ βασιλέως ὀμόσας καὶ ἐπιορκήσας, τυχὸν ὅτι οὐ χρεωστεῖται ἢ χρεωστεῖ ἢ ὅτι δίδωσιν εἴσω προθεσμίας, ῥοπαλίζεται*[5].

---

[1] Phot. XIII, 18. [2] Bals. ad Phot. XIII, 18 [3] Bals. l. c. [4] Phot. l. l. [5] Phot. cit.

290. Ἐν τῷ β' βι. τοῦ κώδ. τί. δ' διατ. μα' φησὶν, ὅτι ὁ τέλειος τὴν κατὰ τοῦ Θεοῦ ἢ τοῦ βασιλέως ἐνωμότως χωρὶς ἀνάγκης γενομένην παρ' αὐτοῦ διάλυσιν παραβαίνων, ἐν τῷ προσιέναι βασιλεῖ ἢ ἄρχουσιν ἢ μὴ ποιεῖν τὰ δόξαντα, ἀτιμοῦται, καὶ τῆς ἀγωγῆς ἐκπίπτει καὶ ὧν ἔμελλεν ἐκ τῆς διαλύσεως κερδαίνειν, καὶ δίδωσι τὴν ὁρισθεῖσαν ποινὴν, καὶ πάντα λαμβάνουσιν οἱ ἐμμένοντες. καὶ διατ. μβ', ὅτι ἐὰν ἀπὸ πλαστῶν δικαιωμάτων πάκτον ἢ διάλυσις γένηται καὶ ἔχῃ προκείμενον ὅρκον, ἀνατρέπεται, κἂν χρηματικῶς ἐζητήθη τὸ πλαστὸν, εἰ μὴ καὶ ἐπ' αὐτῶν γέγονε διάλυσις[1].

291. Καὶ βι. δ' τοῦ κώδ. τί. α' διατ. β', ὅτι εἰ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως κατὰ θερμότητά τις ἐπιορκήσει ὀμόσας, οὐ βασανίζεται οὔτε καθοσιώσει ὑπόκειται[2].

292. Καὶ βι. τοῦ κώδ. θ' τί. η' διατ. β', ὅτι ὁ διὰ παντὸς ὀργίζεσθαι τῷ οἰκείῳ δούλῳ ὀμόσας οὐχ ὑπόκειται καθοσιώσει παυσάμενος τῆς ὀργῆς[3].

293. Λέγει δὲ καὶ βι. β' τί. ιδ' διατ. ζ', ὅτι παρὰ τὰ κοινὰ νόμιμα πακτεύειν ἢ λεγατεύειν οὐκ ἔξεστι, καὶ ἐάν τις ἐπὶ τούτοις ὀμόσῃ μὴ ἐνάγειν, οὐκ ἔῤῥωται[4].

294. Ἡ δὲ περὶ τῶν σκηνικῶν νεαρά φησιν, ὅτι αἱ σκηνικαὶ κἂν ὀμόσωσιν ὡς οὐκ ἀποστήσονται τῆς πορνείας, ἀναχωροῦσι μὴ φοβούμεναι τὴν ἐκ τῆς πορνείας ποινήν· καὶ κανονικῶς προστίθησιν, ὅτι ἐπὶ τοῖς αἰσχροῖς οὐ δεῖ τὸν ὅρκον φυλάττειν[5].

295. Τὸ μδ' κεφ. τοῦ ε' τί. τοῦ κβ' βι. τῶν βασιλικῶν φησιν· οὐδεὶς κατὰ Θεοῦ ὀμόσας κινδυνεύει· ἱκανὸς γὰρ ὁ ὅρκος ἔχειν τιμωρὸν τὸ Θεῖον, εἰ γέγονε κατὰ τοῦ Θεοῦ· εἰ δὲ κατὰ τοῦ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται[6].

296. Ἡ ἐπὶ σκηνῆς οὖσα γυνὴ, κἂν ὀμόσῃ καὶ ἐγγύας δώσει [μὴ] ἀναχωρεῖν τῆς πορνείας, ἀκινδύνως ἀφίσταται. καὶ εἰ ἀπαιτήσει τὶς τὰς τοιαύτας ἐγγύας, ὑπόκειται τῷ τῆς ἐπιορκίας ἐγκλήματι καὶ προστιμοῦται ι' λίτρας χρυσοῦ[7].

297. Σημείωσαι οὖν τὸ κεφάλαιον τὸ διδάσκον, τὴν ἐπιορκήσασαν μὴ τιμωρεῖσθαι, τὸν δὲ τιμωροῦντα αὐτὴν διὰ τὴν ἐπιορκίαν ὡς ἐπίορκον τιμωρεῖσθαι· ὅπερ ἐστὶ καινόν[8].

---

[1] Phot. cit. [2] Phot. cit. [3] Phot. cit. [4] Phot. cit. [5] Phot. cit. [6] Bals. ad Phot. cit. [7] Bals. cit. [8] Bals. cit.

Τίτλος κη'. Περὶ τῆς ἀνωτάτω τριάδος καὶ περὶ χειροτονίας ἐπισκόπων καὶ περὶ κληρικῶν καὶ μοναχῶν.

1. *Πάντας οὕτω πιστεύεσθαι βούλεται ἡ διάταξις, ὡς οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ ἅγιοι πατέρες παρέδωκαν, ἵνα τοῦ πατρὸς καὶ τοῖ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος μίαν οὐσίαν, μίαν δύναμιν εἶναι πιστεύωμεν. καὶ οἱ μὲν οὕτω πιστεύοντες χριστιανοὶ καλούμεθα, οἱ δὲ λοιποὶ ὡς αἱρετικοὶ ἀτιμοῦνται, ὑποκείμενοι καὶ τῇ ἐκ θεοῦ τιμωρίᾳ καὶ βασιλικῇ κινήσει*[1]. *καὶ τὰ τούτων βιβλία καίεσθαι.*

2. *Χριστιανός ἐστιν ὁ πιστεύων μίαν εἶναι θεότητα ἐν ἴσῃ ἐξουσίᾳ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁ γὰρ παρὰ τὰ εἰρημένα δοξάζων αἱρετικός ἐστιν*[2].

3. *Οἱ κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα ποιείτωσαν τῶν ἐπισκόπων. ὀμνύοντες ὡς οὐ διὰ δόσιν, οὐδὲ δι' ἄλλην τινὰ προσπάθειαν ἐπελέξαντο αὐτούς, ἀλλ' ὡς εἰδότες αὐτοὺς τῆς καθολικῆς ἐκκλησίας ὄντας καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὰ τριάκοντα ἔτη, καὶ ὡς οὔτε γαμετὴν ἢ παλλακὴν οὔτε φυσικοὺς παῖδας ἔσχον, ἀλλ' ὅτι καὶ εἰ ἔσχε γαμετήν, μίαν μόνην ἐκ παρθενίας οἶδασι, καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρός, ἀλλὰ καὶ τοῖς κανόσιν ἤτοι τοῖς νόμοις μὴ ἀπηγορευμένην*[3].

4. *Οἱ πατριάρχαι καὶ οἱ μητροπολῖται ἅπαξ ἢ δὶς τοῦ ἐνιαυτοῦ κοινὰς ποιείτωσαν τὰς συνόδους, τὰς κατ' ἀλλήλων καὶ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων καὶ κληρικῶν διακρίνοντες αἰτίας καὶ τὰ ἀνακύπτοντα κατὰ κανόνα διατιθέντες κεφάλαια*[4].

5. *Μηδένα τῶν ἐπισκόπων πλέον ἢ ἐνιαυτὸν ἔξω τῆς κατ' αὐτὸν ἐκκλησίας ἀπολιμπάνεσθαι, πλὴν εἰ μὴ τοῦτο εἴη κατὰ βασιλικὴν κέλευσιν. μηδὲ προφασιζέσθω ὡς τῆς ἐκκλησίας αὐτοῦ ἐνδίκως ἑλκόμενος· ταῦτα γὰρ διὰ τῶν κληρικῶν τῶν οἰκονομούντων ἢ τῶν ἀποκρισιαρίων δεῖ γίνεσθαι. καὶ μήτε δίχα συστατικῶν ὁδεύειν, μηδὲ παρὰ γνώμην εἰς τὴν βασιλίδα ὀφθῆναι βασιλεῖ, πρὶν ἂν παραγένηται πρὸς τὸν παναγιώτατον*

---

[1] Nomoc. Pseudo-Ioannis ap. Voell. p. 644. [2] Att. III, 1. [3] Proch. XXVIII, 1. [4] Nomoc. cit. p. 659 ex Ath. I, 2.

πατριάρχην, ἢ πρὸς τοὺς ἑκάστης διοικήσεως ἐξ ἧς εἰσὶν ἀποκρισιάριοι, καὶ αὐτοῖς κοινοῦσθαι τὰς αἰτίας δι' ἃς ἀνῆλθον, καὶ οὕτως συνεισιέναι πρὸς τὴν βασιλείαν αὐτούς[1].

6. Ἐπειδὴ δὲ τὸ τοῖς κανόσιν εἰρημένον περὶ τῶν συνόδων τῶν ὁσιωτάτων ἐπισκόπων τῶν ὀφειλουσῶν καθ' ἑκάστην ἐπαρχίαν γίνεσθαι, μέχρι τοῦ νῦν οὐ παρεφυλάχθη, ἀναγκαιότατόν ἐστιν ἐπανορθώσασθαι αὐτό. οἱ μὲν γὰρ ἅγιοι ἀπόστολοι καὶ οἱ ἅγιοι πατέρες ὥρισαν, δεύτερον ἑκάστου ἔτους γίνεσθαι σύνοδον τῶν ὁσιωτάτων ἐπισκόπων ἐν ἑκάστῃ ἐπαρχίᾳ καὶ τὰ ἀναφυόμενα ἐξετάζεσθαι καὶ τῆς προσηκούσης ἀξιοῦσθαι διορθώσεως· τουτέστι, μίαν μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς, τὴν δ' ἄλλην κατὰ τὸν ὀκτώβριον μῆνα. ἡμεῖς δὲ εὑρόντες, ἐκ τῆς τοιαύτης ἀμελείας ὡς πολλοὶ διαφόροις ἁμαρτήμασι περιεβλήθησαν, κελεύομεν πᾶσι τρόποις, μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ ἢ τῷ ἰουνίῳ ἢ τῷ σεπτεμβρίῳ μηνὶ, καὶ φοιτᾶν παρὰ μὲν τοὺς μακαριωτάτους πατριάρχας ἐκείνους τοὺς παρ' αὐτῶν μὲν χειροτονουμένους, μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν, παρὰ δὲ τοὺς ὁσιωτάτους μητροπολίτας ἑκάστης ἐπαρχίας τοὺς ὑπ' αὐτῶν χειροτονουμένους, ἐφ' ᾧ τὰς κινουμένας αἰτίας ἢ τὰ παρά τινων προσαγγελλόμενα, ἢ προφάσει πίστεως, ἢ κανονικῶν ζητημάτων, ἢ διοικήσεως ἐκκλησιαστικῶν πραγμάτων, ἢ ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἢ ἄλλων κληρικῶν, ἢ περὶ ἡγουμένων ἢ μοναχῶν, ἢ περὶ κατεγνωσμένου βίου, ἢ ἄλλων τινῶν δεομένων ἐπανορθώσεως, κινεῖσθαί τε καὶ προσηκόντως ἐξετάζεσθαι, καὶ τὴν ἐπ' αὐτοῖς διόρθωσιν προϊέναι τοῖς ἱεροῖς κανόσι καὶ τοῖς ἡμετέροις νόμοις συμβαίνουσαν. μὴ μόνον δὲ ἐν ταῖς καθ' ἕκαστον [ἔτος] γενησομέναις συνόδοις ταῦτα ζητεῖσθαι, ἀλλὰ καὶ ὁσάκις ἂν τινες κατηγορηθεῖεν τῶν ἱερωμένων προσώπων ἢ ἡγουμένων ἢ μοναχῶν, ἢ περὶ πίστεως, ἢ αἰσχροῦ βίου ἢ ὡς παρὰ τοὺς θείους κανόνας τὶ διαπραττόμενοι, καὶ εἰ μὲν ἐπίσκοπος εἴη ὁ κατηγορούμενος, τὸν τούτου μητροπολίτην ἐξετάζειν τὰ λεγόμενα· εἰ δὲ μητροπολίτης εἴη, τὸν μακαριώτατον ὑφ' ὃν τελεῖ ἐπίσκοπον· εἰ δὲ πρεσβύτερος ἢ διάκονος καὶ οἱ λοιποὶ, κληρικὸς, ἡγούμενός τε καὶ μοναχὸς, τὸν ὁσιώτατον ἐπίσκοπον, ὑφ' ὃν οὗτοι τελοῦσιν, ἐξετάζειν τὰ προσαγγελλόμενα, καὶ τῆς ἀληθείας ἀποδεικνυμένης ἕκαστον πρὸς

---

[1] Nomoc. cit. p. 617, ex Coll. 87 capitt. c. 3.

τὸ πταῖσμα κανονικοῖς ἐπιτιμίοις καθυποβάλλεσθαι τῷ κρίματι τοῦ ἐξετάζοντος. ταῦτα δὲ πάντα κρατεῖν μὴ μόνον ἐπὶ τῶν μετὰ ταῦτα χειροτονουμένων ἐπισκόπων τε καὶ κληρικῶν καὶ ἡγουμένων, ἀλλὰ καὶ ἐπὶ τῶν νυνὶ ὄντων καί τινων, ὡς εἰκὸς, ἐπί τισιν αἰτίαις ἀπηγορευμέναις τοῖς θείοις κανόσι καὶ τοῖς ἡμετέροις νόμοις κατηγορουμένων. τούτων γὰρ οὕτω φυλαττομένων καὶ οἱ λαϊκοὶ πολλῆς ἐντεῦθεν περί τε τὴν ὀρθὴν πίστιν καὶ τὸν σεμνὸν βίον προκοπῆς τε καὶ ἐπανορθώσεως ἀξιωθήσονται[1].

7. Πρὸς τούτοις κελεύομεν, πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους μὴ κατὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστωτάτῳ λαῷ ἐξακουομένης τὴν θείαν προσκομιδὴν καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι πρὸς τὸ καὶ ἐντεῦθεν τὰς τῶν ἀκουόντων ψυχὰς εἰς πλείονα κατάνυξιν καὶ τὴν πρὸς τὸν δεσπότην θεὸν διανίστασθαι δοξολογίαν· περὶ τούτου γὰρ καὶ ὁ θεῖος ἀπόστολος διδάσκει λέγων ἐν τῇ πρὸς κορινθίους πρώτῃ ἐπιστολῇ οὕτως· ἐπεὶ, ἐὰν εὐλογῇς ἐν πνεύματι ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν τῷ θεῷ ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ, τί λέγεις, οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. καὶ πάλιν ἐν τῇ πρὸς ῥωμαίους οὕτως λέγει· καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. διὰ ταῦτα τοίνυν προσήκει τὴν ἐπὶ τῇ ἁγίᾳ προσκομιδῇ καὶ τὰς ἄλλας προσευχὰς μετὰ φωνῆς συμμέτρου τοῖς ἀκροωμένοις παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων τε καὶ πρεσβυτέρων προσφέρεσθαι τῷ κυρίῳ ἰησοῦ χριστῷ τῷ θεῷ ἡμῶν σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, γινωσκόντων τῶν ὁσιωτάτων ἐπισκόπων καὶ πρεσβυτέρων, ὡς, εἴπερ τὶ τούτων παρίδοιεν, καὶ τῇ φοβερᾷ κρίσει τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ἀπολογήσονται, καὶ οὐδ' ἡμεῖς ταῦτα γινώσκοντες ἐφησυχάσομεν ἢ ἀνεκδίκητα καταλιπεῖν ἀνασχοίμεθ' ἄν[2].

8. Κελεύομεν δὲ καὶ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας, εἴπερ ἀμελούμενόν τι τῶν παρ' ἡμῶν νομοθετηθέντων ἴδοιεν, πρῶτον μὲν κατεπείγειν τοὺς μητροπολίτας καὶ τοὺς ἄλλους ἐπισκόπους, τὰς εἰρημένας συνόδους ποιεῖσθαι καὶ πάντα πληροῦν, ὅσα [περὶ] τῶν συνόδων διὰ τοῦ παρόντος ἐκελεύσαμεν νόμου· εἰ δ' ἀναβαλλομένους ἴδοιεν, αὐτίκα τοῦτο μηνύειν ἡμῖν

---

[1] Nov. Iustiniani 137 c. 4. 5. [2] Nov. cit. c. 6 pr.

πρὸς τὸ ἐξ ἡμῶν τὴν προσήκουσαν διόρθωσιν προϊέναι κατὰ τῶν ὑπερτιθεμένων τὰς συνόδους ποιεῖν, ἐπισταμένων αὐτῶν τε τῶν ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς τάξεων, ὡς, εἴπερ ταῦτα μὴ παραφυλάξαιεν, ἐσχάταις ὑποβληθήσονται τιμωρίαις[1].

9. Βεβαιοῦμεν δὲ καὶ διὰ τοῦ παρόντος νόμου ἅπαντα τὰ παρ᾽ ἡμῶν ἐν διαφόροις τάξεσι νενομοθετημένα περί τε ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λοιπῶν κληρικῶν, καὶ πρός γε ξενοτρόφων καὶ ξενοδόχων, καὶ ὀρφανοτρόφων, καὶ τῶν λοιπῶν, ὅσοι εὐαγῶν οἴκων προΐστανται. σπουδασάτω τοίνυν ἡ ἐνδοξότης σου καταφανῆ ποιῆσαι τοῖς τῶν ἐπαρχιῶν ἡγουμένοις[2].

10. Κληρικὸς καὶ μοναχὸς καὶ δι᾽ ἑαυτῶν καὶ δι᾽ ἐντολέων ἀνυβρίστως ἐναγέσθωσαν[3].

11. Μονάστρια δὲ μὴ ἀφελκέσθω τοῦ μοναστηρίου, ἀλλὰ δι᾽ ἐντολέως ἐναγέσθω, τοῦ παραβαίνοντος δικαστοῦ τῆς ζώνης γυμνουμένου καὶ ιε΄ λιτρῶν χρυσοῦ προστιμωμένου[4].

12. Τοῦ δὲ ἐκβιβαστοῦ πρὸς τοῖς εἰρημένοις βασανιζομένου καὶ ἐξοριζομένου, ἄδειαν ἔχοντος τοῦ ἐπισκόπου μηνύειν βασιλεῖ περὶ τούτου[5].

13. Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον χρυσίου λίτρας λ΄ προστιμάσθω τῷ δημοσίῳ[6].

14. Τὰς ἰδιωτικὰς φυλακὰς ἤγουν τὰς τῶν ἰδιωτῶν ἡ διάταξις ἀναιρεῖ, τοὺς ἐπισκόπους ἐπιτρέπουσα τοὺς οὕτως ἐμβληθέντας ἐκβάλλειν[7].

15. Ὁ χειροτονούμενος ἐπίσκοπος λίβελλον πρῶτον διδότω τῆς ἰδίας πίστεως, καὶ ἀπαγγελλέτω τὰς εὐχάς, καὶ ὀμνύτω μηδὲν δοῦναι μήτε μὴν ἐπαγγείλασθαι παρασχεῖν τινι ὑπὲρ τῆς χειροτονίας. ἐὰν δέ τι παρὰ τὰ εἰρημένα γένηται, τότε καὶ ὁ γινόμενος ἐπίσκοπος καὶ ὁ χειροτονήσας αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται[8].

16. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία. καὶ εἰ εὑρεθείη ὁ χειροτονούμενος ὑπαίτιος κατὰ νόμους ἢ κανόνας, κωλυέσθω, εἰ δ᾽ ἀνεύθυνος εὑρεθείη, χειροτονείσθω. ἐὰν δὲ χειροτονηθῇ παρὰ τὰ εἰρημένα, καὶ αὐτὸς καὶ ὁ χειροτονήσας τῆς ἐκκλησίας ἐκβάλλονται[9].

[1] Nov. cit. [2] Nov. cit. c. 6 rel. et Epil. [3]—[5] Coll. const. eccles. ex Ath. I, 2. [6] Bas. III, 1, 2. [7] Bas. III, 1, 4. [8] Proch. h. t. 2. [9] Proch. h. t. 3.

17. Ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξῃ ἃ διεβεβαιώσατο ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστι, τῆς ἐκκλησίας ἐκβάλλεται, εἰ δὲ λαϊκὸς εἴη, δεόντως σωφρονίζεται[1].

18. Ὁ βουλόμενος κατηγορείτω τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου, ἵνα ζητήσεως γενομένης ἂν δειχθῇ ἀληθεύων, ἐπισχεθῇ ἡ χειροτονία· εἰ δ᾽ ἀνεύθυνος φανείη ὁ μέλλων χειροτονεῖσθαι, ἡ μὲν χειροτονία γένηται, ὁ δὲ κατηγορῶν, εἰ ἐκκλίνῃ τὴν κατηγορίαν, ἐπιτιμίῳ διηνεκοῦς ἀκοινωνησίας ὑποβληθῇ. παρορωμένης δὲ τῆς ἐπὶ τῇ κατηγορίᾳ ἐξετάσεως, ὁ χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐκπίπτουσιν[2].

19. Κατηγορηθέντος τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου ἢ ἡγουμένου ἢ ἄλλου κληρικοῦ, τὴν χειροτονίαν ἢ τὴν προβολὴν ποιεῖσθαι χρὴ παρόντος τοῦ κατηγόρου καὶ ἐπεξιόντος τὴν κατηγορίαν. εἰ δ᾽ ἀπολιμπάνεται, ποιείτω καὶ οὕτω ζήτησιν ἀκριβεστάτην τῆς κατηγορίας εἴσω μηνῶν γ΄, καὶ εὑρίσκων αἴτιον τὸν μέλλοντα χειροτονεῖσθαι εἴτε κατὰ τοὺς κανόνας εἴτε κατὰ τοὺς πολιτικοὺς νόμους, ὑπερτιθέσθω τὴν χειροτονίαν. εἰ δ᾽ ἀνεύθυνον εὕροι εἴτε παρόντος ἢ ἀπόντος τοῦ κατηγόρου, πληρούτω τὴν χειροτονίαν. ὁ δὲ κατήγορος μὴ συνιστὰς ἀλλ᾽ ἀποφεύγων, εἰ μὲν κληρικός ἐστιν, ἐξωθείσθω τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκὸς, τὸν προσήκοντα σωφρονισμὸν ὑπομενέτω. τούτων δὲ μὴ παραφυλαττομένων ὡσαύτως καὶ ὁ χειροτονῶν καὶ ὁ χειροτονούμενος ἐκβαλλέσθω. τὰ δὲ εἰρημένα καὶ ἐπὶ προβολῇ ἡγουμένου κρατείτω[3].

20. Ὅπου ἡ προκάταρξις γέγονεν, ἐκεῖ καὶ τὸ πέρας τῆς δίκης γυμνάζεται[4].

21. Οὐ παρίσταται ἐπίσκοπος κριτηρίῳ, κἂν χρηματικὴ κἂν ἐγκληματικὴ ᾖ αἰτία. καὶ ἐὰν ἄρχων τοῦτο ποιήσῃ, ἐκπίπτει τῆς ζώνης αὐτοῦ καὶ κ΄ λίτρας χρυσίου παρέχει[5].

22. Ὁ καθαιρεθεὶς μὴ ἐπιβαινέτω τῆς πόλεως ἧς ἐξέπεσεν[6].

23. Μηδεὶς ἀκοινώνητος ἔστω ἐπίσκοπος· ὁ γὰρ γενόμενος ὑποβάλλεται ποινῇ, καὶ ὁ χειροτονῶν αὐτὸν ὡσαύτως[7].

24. Κοσμικοῖς δὲ δικασταῖς ἱερατικὸν πρόσωπον προσιέναι καὶ ζητεῖν ὑπ᾽ ἐκείνων δικάζεσθαι δίκην ἥντιν᾽ ἂν τύχοι,

---

[1] Proch. h. t. 4. [2] Coll. constit. eccles. ex Ath. I, 1. [3] Coll. cit. ex Ath. I, 17. [4] Theod. Nov. 123 §. 55. [5] Theod. ib. §. 19 (Epit. VIII, 26). [6] Theod. ib. §. 27. (Epit. VIII, 31). [7] Theod. ib. §. 25. (Epit. VIII, 32).

ὅλως οὐκ ἐφίεμεν, ἀλλὰ τῶν μὲν ἐπισκόπων τῆς ἐπισκοπῆς, τῶν δὲ κληρικῶν τοῦ κλήρου καὶ τῶν μοναχῶν τοῦ μοναστηρίου δικαίαν αὐτόθεν καταψηφιζόμεθα ἔκπτωσιν, καὶ κατὰ τῶν παραδεχομένων τούτους δικαστῶν ἢ βιαίως ἑλκόντων μετὰ τῆς θεοῦ δικαίας ὀργῆς ἔτι καὶ τὴν τῆς βασιλικῆς μεγαλειότητος ἀγανάκτησιν ἐπικαλεσόμεθα καὶ τὰς ἐκ τῶν νόμων εὐθύνας. ὁ δὲ ἀφ᾽ ἡμῶν δεσμὸς ἄλυτος αὐτοῖς μέχρις ἐξόδου παρεκταθήσεται, εἴπερ δῆλον μὴ μεταβουλεύσαιντο καὶ τῆς ἀνοσίου ταύτης ἀπόσχοιντο προαιρέσεως. ὅτι καὶ οἱ εὐσεβεῖς νόμοι καὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ὁ πορφυρογέννητος μετὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει αὐταδέλφου αὐτοῦ ἐν τοῖς ἐγγράφοις αὐτῶν τυπικοῖς ἀναστέλλουσι τοὺς δικαστὰς τοιαῦτα εἰς τὰ ἐκκλησιαστικὰ νεανιεύεσθαι πρόσωπα· ὑφαρπάζεσθαι γὰρ τὰ ἐκκλησιαστικὰ καὶ ἱερὰ καὶ θεῖα προνόμια παρὰ τῶν θεματικῶν ἢ πολιτικῶν δικαστῶν ὅλως οὐκ ἀνεχόμεθα, ἀλλὰ καὶ πρὸ ἡμῶν ὁ ὑπὸ τούτων καταφρονούμενος καὶ μυκτηριζόμενος θεὸς ἔκδικον αὐτοῖς ἐποίσει τὴν ἀγανάκτησιν καὶ τὴν ῥομφαίαν δικαίαν στιλβώσει τῆς ἐκδικήσεως[1].

25. *Κληρικοὺς* δὲ κληρικοῖς διαμφισβητοῦντας ἢ καὶ μοναχοὺς μοναχοῖς παρὰ τῷ οἰκείῳ κρίνεσθαι ἐπισκόπῳ ἀκολούθως τοῖς θείοις κανόσιν ἀποφαινόμεθα, κληρικοὺς δὲ ἐπισκόποις ἢ καὶ ἐπισκόπους ἐπισκόποις παρὰ τῷ τῆς ἐπαρχίας μητροπολίτῃ συνοδικῶς. εἰ δὲ σκάνδαλον ὑποτρέχον ὑποψίαν θατέρῳ ἐμποιεῖ τῶν μερῶν, παρὰ τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ καὶ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τηρεῖσθαι καὶ τέμνεσθαι τὸ ἀμφισβήτημα. πλὴν μὴ ἄνευ γνώμης καὶ συστατικῆς μητροπολίτου γραφῆς ἐπιβαίνειν τῇ βασιλευούσῃ ἐπίσκοπον ἢ ἀλλαχοῦ που μακρὰν στέλλεσθαι ἀποδημίαν, ὅ τι δ᾽ ἂν καὶ εἴη τὸ καλοῦν ἀναγκαῖον, ἐπεὶ ἔνοχον ἑαυτὸν ἀπεργάσεται τοῖς κανόσιν. ἐπίσκοπον δὲ προπετῶς ἐπιτιμίου ὀλιγωροῦντα μητροπολίτου καθαιρεῖσθαι ἀναπολογήτως προστάσσομεν[2].

26. *Εἴ* τις κατά τινος ἢ κληρικοῦ ἢ μοναχοῦ ἢ διακονίσσης ἢ μοναστρίας ἢ ἀσκητρίας ἔχει τινὰ ἐναγωγήν, διδασκέτω πρότερον τὸν ἐπίσκοπον, ᾧτινι τούτων ἕκαστος ὑπόκειται, ὁ δὲ τὸ πρᾶγμα μεταξὺ αὐτῶν διακρινέτω. καὶ εἰ μὲν ἑκάτερον μέρος τοῖς κεκριμένοις ἐφησυχάσει, κελεύομεν διὰ τοῦ κατὰ τὸν τόπον ἄρχοντος ταῦτα ἐκβιβασμῷ τελείῳ παραδίδοσθαι.

[1] *Ὑπόμνημα* Patriarchiae Alexii in *Σύντ. τῶν κανόν.* ed. Rhallis V p. 28.
[2] *Ὑπόμν.* Alexii Patr. cit.

εἰ δέ τις τῶν δικαζομένων ἐντὸς δέκα ἡμερῶν ἀντείποι τοῖς κεκριμένοις, τηνικαῦτα ὁ τῶν τόπων ἄρχων τὸ πρᾶγμα ἐξεταζέτω, καὶ εἰ εὕροι τὴν κρίσιν ὀρθῶς γινομένην, καὶ διὰ ψήφου ἰδίας ταύτην βεβαιούτω καὶ ἐκβιβασμῷ παραδιδότω τὰ κριθέντα, καὶ μὴ ἐξέστω τῷ δεύτερον ἐν τῷ τοιούτῳ πράγματι ἡττηθέντι [ἐκκαλεῖσθαι·] εἰ δὲ ἡ τοῦ ἄρχοντος ψῆφος ἐναντία εἴη τοῖς παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου κεκριμένοις, τηνικαῦτα χώραν ἔχειν τὴν ἔκκλητον κατὰ τῆς ψήφου τοῦ ἄρχοντος καὶ ταύτην κατὰ τὴν τῶν νόμων τάξιν ἀναφέρεσθαι καὶ γυμνάζεσθαι[1].

27. *Τοῖς ἐπισκόποις ἀπαγορεύομεν μὴ χωρίζειν τινὰ τῆς ἁγίας κοινωνίας ἄνευ αἰτίας εὐλόγου. ὁ δ᾽ ἀναποδείκτως ἀφορίζων κωλύεται τῆς ἁγίας κοινωνίας ἐπὶ χρόνῳ ἑνί*[2].

28. *Οὕτω καὶ γὰρ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ ἱεράρχαι δυνάμεις, ὥς φησιν ὁ μέγας διονύσιος, ὡς ἐκφαντορικοὶ τῶν θείων δικαιωμάτων, οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου θεαρχίας εὐφήμως εἰπεῖν ὑπηρετικῶς ἑπομένης, ἀλλ᾽ ὡς αὐτῶν ὑποφητικῶς ὑποκινοῦντι τῷ τελεταρχικῷ πνεύματι τοὺς κεκριμένους θεῷ κατ᾽ ἀξίαν ἀφοριζόντων*[3].

29. *Ἀλλ᾽ οὐδὲ οἰκείαις χερσὶν ἔξεστιν ἐπισκόποις τινὰ πλήττειν· τοῦτο γὰρ ἀλλότριον ἱερέως*[4].

30. *Οὐ χρὴ ἐπισκόπους ἢ μοναχοὺς ἢ κληρικοὺς ἄνευ γραμμάτων συστατικῶν τοῦ ἔχοντος τὴν κατ᾽ αὐτῶν δικαιοδοσίαν ἀνιέναι εἰς τὴν κωνσταντινούπολιν. τοῦτο γὰρ πράξαντες περὶ τὴν ἱερωσύνην κινδυνεύουσιν*[5].

31. *Κληρικοὺς δὲ οὐκ ἄλλως συγχωροῦμεν χειροτονεῖσθαι, εἰ μὴ γράμματα ἴσασι καὶ ὀρθὴν πίστιν καὶ βίον σεμνὸν ἔχουσι καὶ μηδὲ ἀπηγορευμένον τοῖς νόμῳ καὶ τοῖς κανόσι γάμον*[6].

32. *Ὁ κληρικὸς μὴ γινέσθω ἐκλήπτωρ μήτε ἀπαιτητὴς δημοσίων μήτε μισθωτὴς τελῶν μήτε κουράτωρ μήτε ἐντολεὺς δίκης μήτε ἐγγυητής, ἀλλὰ μόνον τὰ διαφέροντα πράγματα ταῖς ἐκκλησίαις ἢ ἄλλῳ σεπτῷ οἴκῳ ἐκλαμβανέτω ἢ κατὰ μίσθωσιν ἢ κατὰ ἐμφύτευσιν διακονούμενος ἐπὶ πράσει ὑπομνημάτων*[7].

33. *Οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ μὴ γινέσθωσαν ἐπίτρο-*

---

[1] Bas. III, 1, 37. [2] Att. III, 6. [3] Fontem non invenio. [4] Bas. III, 1, 22. [5] Coll. const. eccles. ex Ath. I, 3. [6] Nomoc. Pseudo-Ioannis p. 632. [7] Theod. Nov. 123 §. 14. — In fine legendum: *δηλουμένης τῆς αἰτίας ἐπὶ πράξει ὑπ.*

ποι ἢ κουράτωρες, κἂν θέλωσιν. οἱ δὲ κληρικοὶ δύνανται εἶναι, ἐὰν βούλωνται, μόνον μέντοι τῶν ἰδίων συγγενῶν, μὴ προκριματιζόμενοι[1].

34. Πᾶσι τοῖς λαϊκοῖς ἀπαγορεύομεν λιτὰς ποιεῖν δίχα τῶν ὁσιωτάτων ἐπισκόπων καὶ τῶν ὑπ᾽ αὐτοὺς κληρικῶν. ποία γὰρ λιτὴ, ἐν ᾗ ἱερεῖς οὐχ εὑρίσκονται καὶ τὰς συνήθεις ποιοῦσιν εὐχάς;[2]

35. Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπὴν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει, καὶ οὐδὲ διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ εἰς αὐτὸν περιῆλθον[3].

36. Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ᾽ ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσάγειν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ᾽ οὐδένα τρόπον κύριος αὐτῶν[4].

37. Ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ ἢ μοναχὸν ἐκλήπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων κουράτορα καὶ οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητὴν γίνεσθαι οὐ συγχωροῦμεν[5].

38. Ὁ ἀναβαπτίσας ἐπίσκοπος τῆς ἱερωσύνης ἐκβαλλέσθω[6].

39. Ἐπὶ ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι μόνος ὁ ἐπίσκοπος κρινέτω[7].

40. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν ἐξ ἴσου τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ μέρος ἓν ὅ καὶ τῷ μοναστηρίῳ ἁρμόζει[8].

41. Ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ[9].

42. Ὁ ἀπὸ μοναστηρίου μετιὼν εἰς ἕτερον, ἐκ μὲν οἰκείας αἰτίας πταίσας, ἐκπίπτει τῶν ἰδίων πραγμάτων τῶν εἰς τὸ πρῶτον μοναστήριον ὧν προσήνεγκε, μηδὲ προσδεχθείς. εἰ δ᾽ ἐξ ἀλλοτρίας αἰτίας ἐξωσθῇ, λαμβάνει ἀκωλύτως ἃ προσέφερεν ἴδια[10].

---

[1] Theod. cit. §. 13. Att. III, 8. [2] Epan. IX, 13. Bas. III, 1, 48. [3] Proch. XXIV, 1. [4] Proch. ib. 2. [5] Epan. IX, 3. Bas. III, 1, 7. [6] Theod. Nov. 123 §. 50. [7] Proch. XXIV, 3. [8] Proch. l. c. [9] Cf. Theod. Nov. 5 §. 8. [10] Coll. 87 capp. c. 82. 83. Att. III, 14.

43. *Οὐδεμίαν ἄδειαν διδόαμεν ἢ τοῖς γονεῦσι τοὺς παῖδας ἢ τοῖς παισὶ τοὺς γονέας τὴν κοσμικὴν διαγωγὴν καταλιμπάνοντας ὡς ἀχαρίστους ἀποκλείειν τῆς ἰδίας κληρονομίας ὑπὲρ αἰτίας πρὸ τοῦ μοναχικοῦ βίου παρακολουθησάσης. ἀπαγορεύομεν δὲ τοῖς γονεῦσι τοὺς ἰδίους παῖδας μοναχικὸν βίον ἐπιλεγομένους τῶν εὐαγῶν μοναστηρίων ἀφέλκειν*[1].

44. *Ὁ εἰς καπηλεῖον εἰσιὼν μοναχὸς τῷ ἐκδίκῳ παραδοθεὶς ἢ τοῖς ἐπάρχοις σωφρονιζέσθω, καὶ ἐκβαλλέσθω τοῦ μοναστηρίου*[2].

45. *Οἱ φοιτῶντες μονήρει βίῳ εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς γραφὰς μανθάνοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι μήποτε πονηρία ἐστὶ, καὶ νουθετείσθωσαν*[2].

46. *Εἴ τις δὲ εἰς μοναχικὸν βίον μετελθεῖν βουληθείη, κελεύομεν, ἵνα, εἰ μὲν δῆλός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου, ὅτε συνίδοι, τὸ σχῆμα αὐτῷ παράσχοι· εἰ δὲ μὴ ἀγνοεῖται εἰ οἱᾳδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐτῶν μὴ λαμβάνειν αὐτὸν τὸ μοναχικόν σχῆμα· καὶ ἐντὸς τῆς τριετίας εἰ μηδεὶς αὐτὸν ἐναγάγοι καὶ ἄξιος κριθείη, τηνικαῦτα τοῦ σχήματος ἀξιούσθω*[3].

47. *Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι οὔτε ἐπιτροπεύουσιν οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ᾽ ἂν συγγενεῖς εἶεν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας μόνον μονῆς καὶ τότε συναινέσει τοῦ ἡγουμένου*[4].

48. *Θεσπίζομεν τοίνυν, τοῖς θείοις ἀκολουθοῦντες κανόσι, τοὺς εἰς μοναστήριον παραγγέλλοντας μὴ προχείρως εὐθὺς παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων σχῆμα λαμβάνειν μοναχικὸν, ἀλλ᾽ ἐπὶ τριετίαν ὅλην, εἴτε ἐλεύθεροι τυχὸν εἴτε δοῦλοι καθεστήκοιεν, προσκαρτερεῖν, οὔπω τοῦ μοναχικοῦ σχήματος ἀξιουμένους*[5].

49. *Εἰ δ᾽ εἴσω τῆς τριετίας ἔλθοι τὶς καί τινα τῶν εἰς ἄσκησιν παραγγελλόντων ἕλκειν ὡς οἰκέτην βουληθείη, λέγοι τε, ὡς ὑφέλοιτό τινα πράγματα, καὶ διὰ τοῦτο εἰσέδραμεν εἰς τὸ μοναστήριον, θεσπίζομεν, αὐτὸν μὴ προχείρως πράττειν τοῦτο, ἀλλὰ πρότερον ἀποδεικνύναι ταῖς ἀληθείαις ὡς καὶ δοῦλός ἐστι, καὶ ἐπὶ κλοπῇ τυχὸν ἢ ἐπὶ βίῳ χαλεπῷ καὶ διε-*

---

[1] Theod. Nov. 133 §. 15. [2] Phot. XI, 3. [3] Coll. 87 capp. c. 77.
[4] Epanag. IX, 15. [5] Coll. 87 capp. c. 7.

φθαρμένῳ καὶ μοχθηρῷ καὶ πταίσμασιν ἀποδράσειε, καὶ διὰ τὸ ἴδιον πταῖσμα εἰς τὸ μοναστήριον καὶ οὐ ταῖς ἀληθείαις ἀσκήσεως ἐρῶν εἰσελήλυθε, καὶ τοῦτον οὕτως ἀποδίδοσθαι τῷ κεκτημένῳ μεθ᾽ ὧν ὡς εἰκὸς ὑφείλετο, εἰ καὶ ταῦτα κατὰ τὸ μοναστήριον εἶεν, τὸν δὲ δεσπότην διδόναι πίστιν ὡς οὐδὲν αὐτὸν δράσει κακόν. εἰ δ᾽ ὁ ἐγκαλούμενος οὐδὲν τοιοῦτον ἐλέγχοιτο, φαίνεται δὲ σεμνὸς καὶ ἐπιεικής, καὶ μαρτυροῖτο ὡς καὶ παρὰ τῷ κεκτημένῳ κόσμιος ἦν, κἂν μήπω τύχῃ πεπερασμένος ὁ τῆς τριετίας χρόνος, ἀλλ᾽ οὖν καὶ οὕτω μενέτω κατὰ τὸ μοναστήριον τῆς τῶν ἑλκόντων ἀπηλλαγμένος θρασύτητος· τοῦ τριετοῦς δὲ πληρωθέντος χρόνου καὶ ἐγκριθέντος ὡς ἄξιος μοναχικῆς καθεστήκοι σεμνότητος, ἄδειαν οὐδενὶ διδόαμεν παντελῶς πολυπραγμονεῖν τι τῶν κατ᾽ αὐτόν· ἀρκεῖ γὰρ πρὸς μετρίαν κάθαρσιν τῶν ἡμαρτημένων ἡ τοῦ τριετοῦς χρόνου μαρτυρία. εἰ μέντοι τὴν δουλείαν φυγὼν φωραθείη καὶ τὸ μοναστήριον καταλιπεῖν διανοεῖται, ἕτερον δὲ σχῆμα βίου μεταδιώκειν, ἄδειαν διδόαμεν τῷ κεκτημένῳ ἕλκειν αὐτὸν ἀποδεικνύντι τὴν τύχην καὶ εἰς οἰκέτας αὐτὸν ἔχειν[1].

50. *Καὶ* τοῦτο ἴσθι· οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ ἐπίτροποι μὴ γινέσθωσαν ἢ κουράτωρες[2].

51. Ἔτι κἂν ὁ διαθέμενος τοῦτο ἀπηγόρευσεν, ἀλλ᾽ οὖν ἐκ παντὸς τρόπου ὁ ἐπίσκοπος τὰ εἰς εὐσεβεῖς αἰτίας ὑπ᾽ ἐκείνου καταλειφθέντα ἐποπτευέτω πῶς διοικοῦνται, καὶ εἰ κατά τι μὴ καλῶς προβαίνουσιν, αὐτὸς προνοητικῶς ἐνεργείτω[3].

52. Ὁ ἔχων τὶ κατὰ κληρικοῦ ἢ μοναχοῦ διδασκέτω τὸν ἐπίσκοπον αὐτῶν, καὶ τὸ πρᾶγμα ἐξεταζέτω. καὶ εἰ κρινεῖ τὰ ἀρέσκοντα τοῖς μέρεσιν ὁ ἐπίσκοπος, ὀφείλει ὁ ἄρχων ἐκβιβάσαι τὰ ἀπὸ τῆς δίκης. ἐὰν δὲ καὶ ἓν τῶν μερῶν ἀντείποι τῇ κρίσει τοῦ ἐπισκόπου, ἐντὸς ι´ ἡμερῶν ἀναψηλαφάτω αὐτὴν ὁ τῆς ἐπαρχίας ἡγούμενος. καὶ εἰ μὲν κυρώσει αὐτήν, ἰσχυέτω καὶ μὴ ὑποκείσθω ἐκκλήτῳ· εἰ δὲ μέμψεται αὐτήν, ψηφίσεται αὐτὸς ὁ ἄρχων ὡς ἂν νομίσῃ, εἰδὼς ὅμως, ὅτι ἡ ψῆφος αὐτοῦ ἐκκλήτῳ ὑπόκειται[4].

53. Ἀνάγν. καὶ κεφ. ξδ´ τῆς ρκγ´ ἰουστινιανείου νεαρᾶς, ὅπερ δὴ κεφάλαιον διορίζεται τοὺς τολμήσοντας μιμήσασθαι σχῆμα μοναχοῦ ἢ ἀσκητρίας καὶ κατὰ σκηνικὴν ἐμπαῖξαι

[1] Coll. cit. c. 8. [2] Cf. Nov. 123 c. 5. [3] Cf. Nov. 131 c. 11.
[4] Theod. Nov. 123 §. 46.

τοῦτο οἱῳδήτινι τρόπῳ σωματικῶς τιμωρεῖσθαι καὶ ἐξορίζεσθαι[1].

54. *Πολλῷ πλέον κολασθήσεται ὁ ἐπαγγειλάμενος μοναδικὴν πολιτείαν καὶ διαγωγὴν καὶ εἰς μοναστήριον ἀπελθὼν καὶ μοναχικὴν ἐσθῆτα περιβαλλόμενος, ἐὰν ὕστερον ἀνερυθριάστως εἰς λαϊκοὺς μετασχηματισθῇ*[2].

55. *Ἄλλοι δὲ εἶπον, ὡς οἱ ῥασοφορήσαντες μετὰ τρισαγίου οὐ παραχωρηθήσονται μετασχηματισθῆναι εἰς λαϊκούς· οἱ δὲ χωρὶς τούτου μετασχηματισθέντες ἀδιστάκτως ἐντὸς τῆς τριετίας τῶν μὲν μοναχικῶν ἀμφίων σχολὴν καταψηφίζονται, ἐνδυθήσονται δὲ λαϊκά· ὅτι καὶ γυναῖκες πενθοῦσαι τοὺς ἀποβεβιωκότας ἄνδρας αὐτῶν μελανειμονοῦσιν ἐπὶ καιρὸν, καὶ ἀκινδύνως αὖθις τὰ κοσμικὰ περιτίθενται*[3].

56. *Τοῖς πλείοσι δὲ καὶ εὐλαβεστέροις οὐ δοκεῖ τὸ ἔχειν ἐπ' ἀδείας τοὺς εἰσελθόντας εἰς μοναστήριον, κἂν ὁπωσδήποτε ἔχῃ τὸ πρᾶγμα, μελανειμονήσαντας καὶ κατὰ μοναχοὺς διατρίβοντας μετασχματισθῆναι εἰς λαϊκούς· ἐξῆν γάρ φησιν αὐτῷ μετὰ λαϊκῶν ἐσθήτων δοκιμασθῆναι κατὰ τὸν τῆς τριετίας καιρόν· ἐπεὶ δὲ μοναχικὰ ἐνεδύσατο, ἀναγκασθήσεται περατῶσαι τὴν οἰκείαν πρόθεσιν· εἰ δὲ πρὸς τοῦτο ἀποδυσπετήσει, τιμωρηθήσεται, καθὼς ὁ νόμος φησὶν ἐν τῷ α' τί. τοῦ δ' βι.*[4].

57. *Γίνεσθαι δὲ ἐν καιρῷ χρείας ἡγούμενον οὐ πάντως τὸν κατὰ τάξιν, ἀλλὰ τὸν ἄξιον δοκιμασίᾳ καὶ ἐπιλογῇ τοῦ ἐπισκόπου καὶ τῶν λοιπῶν μοναχῶν πρότερον. καὶ ταῦτα μὴ μόνον ἐν τοῖς μοναστηρίοις κρατεῖν βουλόμεθα, ἀλλὰ καὶ ἐν τοῖς ἀσκητηρίοις*[5].

58. *Μηδεὶς αἱρετικὸς ἐπίκτησίν τινα ποιείτω πράγματος ἀκινήτου ἐκκλησιαστικοῦ, μηδὲ κατὰ μίσθωσιν ἢ ἐμφύτευσιν. εἰ δὲ τοιοῦτον ἁμαρτηθείη, ἐξωθεῖται ὁ αἱρετικὸς, καὶ τὸ ἀκίνητον ἀποκαθίσταται τῇ ἐκκλησίᾳ*[6].

59. *Μηδαμῶς τοῖς αἱρετικοῖς τῶν μυστηρίων τόπος ἀνεῴχθω. μὴ λαμβανέτω ἰουδαῖος χριστιανὴν, καὶ ἁπλῶς εἰπεῖν αἱρετικοὶ καὶ ἄπιστοι μὴ κατά τινα τρόπον πρὸς γάμον χριστιανοῖς συναπτέσθωσαν*[7].

60. *Μηδεὶς ἐν ἐκκλησίᾳ ἁγίᾳ θαπτέτω νεκρόν*[8].

61. *Ἐξέστω ἑκάστῳ τελευτῶντι τὰ οἰκεῖα πράγματα κατα-*

---

[1] Bals. ad c. 5 syn. Primosec. [2] Bals. ib. [3] Bals. ib. [4] Bals. ib.
[5] Cf. Nov. 123 c. 34. [6] Att. III, 4. [7] Att. III, 2, 3. [8] Bas. V, 1. 2.

λιμπάνειν ταῖς ἁγίαις ἐκκλησίαις, προστάττειν δὲ διὰ τούτων καὶ εὐκτήριον οἶκον καὶ ξενῶνα καὶ νοσοκομεῖον καὶ μοναστήριον κτίζεσθαι, καὶ διοικεῖσθαι κατὰ τὸ διατεταγμένον παρ᾽ αὐτοῦ. δικαιοῦμεν γὰρ φυλάττεσθαι ἀκινήτους τὰς ἐπὶ τούτῳ γνώμας αὐτῶν[1].

62. Ὁ θέλων εὐκτήριον οἶκον ἢ ἐκκλησίαν κτίσαι ὀφείλει διαλέγεσθαι περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς λυχνοκαΐαν καὶ τὴν ἱερὰν λειτουργίαν καὶ τὴν ἀδιάφθορον τοῦ τόπου τήρησιν καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων. καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανεροῦντα δημοσίᾳ ἐκεῖσε προσιέναι, καὶ σὺν εὐχῇ πηγνῦναι σταυρὸν, καὶ τότε τοῦ ἔργου ἄρχεσθαι[2].

63. Ὁ ἀρξάμενος πάνσεπτον καὶ θειότατον οἶκον καὶ εὐκτήριον οἰκοδομῆσαι θεῷ ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκαζέσθω μετὰ τῶν κληρονόμων αὐτοῦ παρὰ τῶν οἰκονόμων καὶ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος τὸ ἀρχθὲν πληρῶσαι[3].

64. Μηδεὶς λείψανα ἁγίων πιπρασκέτω ἢ ἀγοραζέτω[4].

65. Τὰ ἱερὰ οὐ πεφύκασιν ἐκποιεῖσθαι, τὸ δὲ ἐπὶ τούτοις δίκαιον καὶ πωλεῖται καὶ δωρεῖται καὶ λεγατεύεται. τί ἐστι τὸ ἐπὶ τούτοις δίκαιον; οὐ δύναταί τις ἀγοράσας ἱερὸν χρῆσθαι τούτῳ ὡς βούλεται, ἀλλ᾽ ὡς ἱερῷ καὶ πάλιν χρῆται καὶ τῷ τείχει ὡς τείχει, καὶ παραπέμπων τοῦτο πρὸς ἄλλον κἀκεῖνος οὕτως αὐτῷ χρῆται καὶ ἔχει μόνον τὸ ἐπ᾽ αὐτῷ δίκαιον, οὐ μὴν δύναται αὐτῷ χρῆσθαι ὅπου βούλεται ὡς καὶ τοῖς λοιποῖς αὐτοῦ πράγμασιν[5].

66. Πᾶσα ἀγωγὴ ἁρμόζουσα σεπτῷ οἴκῳ εἰς τεσσαρακονταετίαν ἐπεκτείνεται. μήπω γὰρ τέλος λαβόντος τοῦ τοσούτου τῶν ἐτῶν ἀριθμοῦ δύναται τὸ μέρος τῆς ἐκκλησίας κινεῖν καὶ ζητεῖν τὸ ἴδιον παρὰ ἀλλοτρίου κατεχόμενον, εἴτε κινητόν ἐστιν εἴτ᾽ ἀκίνητον, εἴτε χρεωστούμενον ἐξ οἱασδηποτοῦν αἰτίας[6].

67. Ὁ δι᾽ ἄσκησιν λύων τὸν ἴδιον γάμον τῷ ἀπὸ τελευτῆς ὑπόκειται κάσσῳ[7].

68. Ἀρχιμανδρίτου τελευτῶντος μὴ πάντως ὁ ἐν τῷ χρόνῳ προλαμβάνων τοὺς ἄλλους εἰς τὸν τούτου τόπον προβαλλέσθω, ἀλλ᾽ ἐκεῖνος ὁ ὢν ἀγαθοῦ βίου καὶ σεμνοῦ τρόπου καὶ ἀσκήσεως[8].

---

[1] Att. III, 17. [2] Phot. III, 14. [3] Phot. ibid. [4] Bas. V, 1, 3. [5] Non invenio. [6] Att. III, 24. [7] Epit. VIII, 37. [8] Epit. VIII, 44.

69. Ἐὰν μοναχὸς κοσμικὸς γένηται, ἐν μοναστηρίῳ ἐμβάλλεται καὶ προσκυροῦται ἐκείνῳ τῷ μοναστηρίῳ ἃ ἐπεκτήσατο. εἰ δὲ καὶ τοῦ δευτέρου μοναστηρίου ἐξέλθῃ καὶ γένηται κοσμικὸς, ταξεώτης γίνεται[1].

70. Ἐὰν ἀνὴρ εἴτε γυνὴ καταλίποι τὸν σύζυγον καὶ ἀσκῆσαι βουληθείη, μὴ ζημιούσθω ἐντεῦθεν· ἀλλ' ἕκαστος τὸ οἰκεῖον λαμβανέτω, τοσοῦτον μόνον κερδαίνων τῷ ἰδίῳ προσώπῳ ὅσον ἀπὸ τελευτῆς συμπεφώνηται, ἐπειδὴ ὁ μονάζων δοκεῖ τεθνᾶναι· τοῦτο γὰρ καὶ τῇ νεαρᾷ εἴρηται. μὴ γαμεῖν δὲ τὴν γυναῖκα πρὸ ἐνιαυσιαίου χρόνου διὰ τὸ τοῦ τοκετοῦ ἄδηλον. τὸ δὲ κερδαινόμενον, κἂν μὴ δευτερογαμήσει, τοῖς παισὶ φυλάττεται[2].

71. Διακόνισσα πορνεύσασα ἢ νομίμως γαμουμένη ἢ ἄλλον βίον ἐπερχομένη καὶ αὐτὴ ἅμα τῷ φθείραντι ἢ τῷ γήμαντι τῷ δημοσίῳ ἔσται, τὰ αὐτῶν δὲ τῇ ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ προσκυρούσθω[3].

Τίτλος κθ'. Περὶ κωδικέλλου.

1. Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαθήκῃ γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις. μετὰ γὰρ τὸ ποιῆσαί τινα διαθήκην, ἐὰν ἐνθυμηθῇ καὶ ἕτερα, γράφει τὸν λεγόμενον κωδίκελλον, καὶ συγγράφει ἐν αὐτῷ τὰ ἐλλείποντα. διαφορὰ δὲ διαθήκης καὶ κωδικέλλου, ὅτι ἐν μὲν τῇ διαθήκῃ καὶ κληρονόμον καὶ ἀποκληρονόμον ἔξεστι γράφειν καὶ ληγάτα καὶ ἐλευθερίας καὶ ἔνστατον καὶ ὑποκατάστατον, ἐν δὲ τῷ κωδικέλλῳ οὔτε κληρονόμον οὔτε ἀποκληρονόμον, οὔτε ἔνστατον οὔτε ὑποκατάστατον[4].

2. Ἔνστασίς ἐστιν ἡ πρώτη θέσις τῆς κληρονομίας, τουτέστιν ὁ φύσει πρῶτος βαθμὸς τῶν κληρονόμων[5].

3. Ὑποκατάστασις ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον τῆς κληρονομίας μετάθεσις ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος. οἷον ὡς εἴ τις λέγει· ἔστω μου ὁ δεῖνα κληρονόμος· εἰ δὲ μή, ἔστω ὁ δεῖνα[6].

4. Καὶ πάλιν· κωδίκελλός ἐστιν ἔγγραφος βούλησις τελευταία ἐπί τισι προσώποις καὶ πράγμασι τοῖς ἐν διαθήκῃ ἢ

---

[1] Epit. VIII, 43. [2] Epit. VIII, 40. [3] Epit. VIII, 44. [4] Proch. XXIX, 1. 2. Attal. XXIV, 1. [5] Proch. h. t. 3. [6] Proch. h. t. 4.

μνημονευθεῖσιν ἢ μνημονευθῆναι δυναμένοις, πλὴν κληρονόμου ἐνστάτου καὶ ἀποκλήρου καὶ κληρονομίας, οἷς καὶ διαφέρει τῆς διαθήκης ὁ κωδίκελλος. δύναται γάρ τις ἐν κωδικέλλῳ φιδικομισσάριον γράφειν κληρονόμον καὶ λεγάτον [καὶ] λεγατάριον, ἀλλὰ καὶ ὑποκατάστατον δύναται ποιεῖσθαι ἐν κωδικέλλῳ, οὐ μὴν ἔνστατον κληρονόμον, οὐδὲ ἀπόκληρον, οὐδὲ κληρονομίαν[1].

5. Ὁ εὔπορος ἐλευθεροῖ δούλους ἐν κωδικέλλῳ, εἰ [καὶ] ἐν τῷ διατίθεσθαι ἄπορος ἦν[2].

6. Οὐκ ἔχει δύναμιν κωδικέλλου ἡ ἐπιστολή, ἣν ἂν γράψαιτό τις ἐπαγγειλάμενος ποιεῖν με κληρονόμον ἢ φανερῶν τὴν διάθεσιν αὐτοῦ[3].

7. Δύναται γίνεσθαι κωδίκελλος καὶ χωρὶς τοῦ προηγήσασθαι διαθήκην. ἐστὶ δὲ τὸ γνώρισμα τοῦ κωδικέλλου καὶ ἡ διαφορὰ πρὸς τὴν διαθήκην τοιαύτη· ἐν μὲν γὰρ τῷ κωδικέλλῳ οὐ δύναταί τις γράφειν ἐξωτικὸν κληρονόμον οὔτε ὑποκατάστασιν ποιεῖν· ἐν δὲ τῇ διαθήκῃ δύναται[4].

8. Καὶ ἕνα καὶ πολλοὺς συγχωρούμεθα ποιεῖν κωδικέλλους[5].

9. Τὸ μὲν ς′ βι. τοῦ κώδ. οὔτε κληρονόμον οὔτ᾽ ἀπόκληρον οὔτε ἔνστατον οὐθ᾽ ὑποκατάστατον [ἐν] κωδικέλλῳ[6] φησὶ δύνασθαι ποιεῖν. τὸ γ′ κεφ. τοῦ αὐτοῦ βι. λέγει καὶ ἐν ἀτελεῖ διαθήκῃ καὶ ἐν κωδικέλλῳ καλῶς γράφεσθαι τοὺς παῖδας κληρονόμους. καί φασιν οἱ ἐξηγηταί, ὅτι τὸ ς′ βι. περὶ ἐξωτικῶν κληρονόμων διαλέγεται. ἡ μέντοι ρνθ′ νεαρὰ κωδίκελλον ὑποκατάστασιν ἔχοντα ὡς ἰσχυρὸν ἀποδέχεται, ἀλλ᾽ ἐπὶ κατιόντων[7].

10. Ἐάν τις τὸν δοῦλον αὐτοῦ λεγατεύσῃ ἐν διαθήκῃ, καὶ ἐν κωδικέλλῳ αὐτὸν ἐλευθερώσῃ, ἑκάτερον ἰσχύει[8].

11. Ὁ ἔχων δύναμιν ποιεῖν διαθήκην δύναται ποιεῖν καὶ κωδίκελλον[9].

12. Ἀποτυχία διαθήκης, ὅταν ἀτελὴς καταλειφθῇ, ἀσφράγιστος τυχὸν ἢ ἀνυπόγραφος, κωδίκελλον οὐ ποιεῖ· εἰ μὴ τοῦτο εἴπῃ ὁ διατιθέμενος, ὅτι ἐὰν μὴ ἰσχύῃ ὡς διαθήκη, ἵνα ἰσχύῃ ὡς κωδίκελλος[10].

13. Ἐὰν διαφόρους κωδικέλλους τὶς ποιήσῃ ἐν διαφόροις χρόνοις ἐναντίους ἀλλήλοις, ὁ τελευταῖος ἰσχυρότερός ἐστιν[11].

[1] Epanag. XXIX, 20. [2] Epan. ib. 24. [3] Epan. ib. 27. [4] Att. XXIV, 3. [5] Epan. cit. 23. [6] Lips. κωδίκελλον. [7] Epan. cit. sch. c. [8] Epan. ib. 26. [9] Epan. ib. 25. [10] Att. XXIV, 2. [11] Epan. cit. 28.

14. *Συνίσταται κωδίκελλος διὰ ε΄ μαρτύρων, ὑπογραφόντων δηλονότι, κἂν μὴ σφραγῖδας αὐτῷ ἐπιθήσουσιν*[1].

15. *Ἀρκοῦσι δὲ τῷ κωδικέλλῳ πέντε μάρτυρες ἐν τῷ αὐτῷ καιρῷ τοῦ κωδικέλλου εὑρεθέντες, εἰ καὶ κατὰ τύχην ἦλθον, πλὴν ἐν ἑνὶ καιρῷ καὶ τῷ αὐτῷ ὀφείλουσι προσληφθῆναι εἰς τὴν ἀκρόασιν*[2].

Τίτλος λ΄. Περὶ κληρονόμων καὶ περὶ συστάσεως κληρονομίας καὶ ὑποκαταστάσεως καὶ περὶ συνεισφορᾶς προικὸς καὶ διασκέψεως αὐτῶν.

1. *Κληρονομία ἐστὶν ἡ εἰς ὁλόκληρον διαδοχὴ τοῦ δικαίου ὅπερ ὁ διαθέμενος εἶχεν*[3].

2. *Οὐ δύναταί τις πλέον οὗ ἔχει δικαίου μετάγειν εἰς ἕτερον*[4].

3. *Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται. καὶ ἐστὶν ὁ ἔνστατος ὁ φύσει κληρονόμος· ἡ δὲ ὑποκατάστασις ἢ ἁπλῆ ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος· ἢ διπλῆ, οἷον· εἴτε κληρονομήσας εἴτε μὴ κληρονομήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ, ἔστω κληρονόμος ὁ δεῖνα*[5].

4. *Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου*[6].

5. *Υἱὸν ἴδιον ποιήσας τὶς κληρονόμον καὶ ἄλλῳ τὴν κληρονομίαν εἰπὼν ἀποκαταστῆσαι μετὰ θάνατον, εὔδηλον ἐποίησεν, ὅτι οὕτως εἶπε τοῦτο, ἤγουν ἵνα παραγένηται πρὸς ἄλλον ἡ τῆς κληρονομίας ἀποκατάστασις, εἴπερ αὐτὸς οὐκ ἔχει υἱὸν ἢ θυγατέρα ἢ παῖδας ἄλλους. ἀδύνατον γὰρ παίδων ὑπόντων αὐτῷ πρὸς ἄλλον ἀποκαταστῆσαι τὴν κληρονομίαν, ἵνα μηδὲ ὁ πατὴρ αὐτοῦ δόξῃ τῶν ἰδίων γονῶν τὰς ἀλλοτρίας εἰς τὴν κληρονομίαν αὐτοῦ προκρίνειν. τὰ αὐτὸ κρατεῖ καὶ ἐπὶ θυγατέρων καὶ ἐγγόνων καὶ προεγγόνων.*

6. *Ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν τῶν προσπορισθέντων*[7].

7. *Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου*

---

[1] Epan. ib. 29. [2] Att. XXIV, 3 in fine. [3] Bas. II, 2, 22. [4] Bas. II, 3, 54. [5] Proch. XXX, 1. [6] Proch. h. t. 2. [7] Proch. h. t. 3.

παιδὸς προτελευτήσαντος, οἱ ἔγγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες ὅ τι ἔμελλε λαμβάνειν ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι[1].

8. Κατιόντων μὴ ὑπόντων προτιμῶνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν[2].

9. Ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν[3].

10. Εἰ πολλοὶ τῶν ἀνιόντων εἰσὶ, προτιμῶνται οἱ ἐγγύτεροι τῷ βαθμῷ· τὸν αὐτὸν δὲ πάντες ἔχοντες βαθμὸν ἐξίσου κληρονομοῦσιν, ὅτε[4] ἀδελφοὶ καὶ ἀδελφόπαιδες εἰς τὴν κληρονομίαν αὐτοῖς συνεισέρχονται. μόνοι γὰρ ἀνιόντες εὑρισκόμενοι τὸ μὲν ἥμισυ πάντες οἱ πρὸς πατρὸς, τὸ δὲ ἄλλο ἥμισυ πάντες οἱ πρὸς μητρὸς κληρονομοῦσιν, ἴσον ἔχοντες τὸν βαθμὸν δηλονότι[5].

11. Εἰ τοίνυν ὁ τελευτήσας κατιόντας μὲν μὴ καταλίποι κληρονόμους, πατὴρ δὲ ἢ μήτηρ ἢ ἄλλοι γονεῖς αὐτῷ ἐπιζήσωσι, πάντων τῶν ἐκ πλαγίου συγγενῶν τούτους προτιμᾶσθαι θεσπίζομεν, ἐξῃρημένων ἀδελφῶν καὶ ἀδελφοπαίδων μόνον ἐξ ἑκατέρου γονέως συναπτομένων τῷ τελευτήσαντι[6].

12. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαί καὶ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξίσης. καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ οἱ ἀδελφοὶ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν[7].

13. Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες εἰς τὴν αὐτοῦ διαδοχὴν καλοῦνται, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον καὶ λαμβάνουσιν ὅ τι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν[8].

14. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν ἄλλων

---

[1] Proch. h. t. 4. [2] Proch. h. t. 5. [3] Proch. ibid. [4] Cod. οἵ τε.
[5] Epan. XXXIII, 17. [6] Att. XXVIII, 6. [7] Proch. h. t. 6. [8] Proch. h. t. 7.

ἀδελφῶν προκειμένων μὴ ὄντων ἀμφιθαλῶν. πλὴν εἴπερ εἰσὶ παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμομητρίου καὶ ὁμοπατρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτῶντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων δηλονότι, τότε οἱ ἐκ διαφόρων φύντες γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἑτεροθαλῆ ἀδελφόν[1].

15. Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν κληρονομίαν αὐτοῦ. καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προτιμῶνται τῶν ἐκ διαφόρων γονέων ἀδελφοπαίδων[2].

16. Ἰστέον δὲ ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων τοιούτων ἀδελφῶν μὴ ὑπόντων, τότε οἱ ἀδελφοὶ οἱ ἐκ διαφόρων γονέων κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν[3].

17. Ἐὰν δὲ μετὰ τῶν ἀνιόντων εὑρεθῶσιν ἀδελφοὶ ἢ ἀδελφοὶ ἢ ἀδελφαὶ, ἢ ἀδελφόπαιδες, ἐξ ἑκατέρων γονέων συναπτόμενοι τῷ τελευτήσαντι, μετὰ τῶν ἐγγυτέρων τῷ βαθμῷ ἀνιόνσων κληθήσονται, εἰ καὶ πατὴρ ἢ μήτηρ εἴησαν, διαιρουμένης εἰς αὐτοὺς δηλονότι τῆς κληρονομίας κατὰ τὸν τῶν προσώπων ἀριθμόν· ἵνα καὶ τῶν ἀνιόντων καὶ τῶν ἀδελφῶν ἕκαστος ἴσην ἔχοιεν μοῖραν[4].

18. Οὔτε γυνὴ οὔτε εὐνοῦχος δύνανται υἱοθετεῖν, οὐδὲ κληρονομοῦσι τοὺς υἱοποιησαμένους τοιούτους ὄντας οἱ υἱοποιηθέντες[5].

19. Ἀλλ' οὐδὲ νεώτερος τὸν πρεσβύτερον δύναται υἱοθετεῖν, ἀλλ' οὐδὲ ὁ παῖδας ἔχων τὸν ἴδιον ἀπελεύθερον. γυνὴ μέντοι παίδων αὐτῇ πλειόνων τελευτησάντων ἀτεκνωθεῖσα καὶ περὶ τούτου τοῦ βασιλέως δεηθεῖσα διὰ τῆς αὐτοῦ κατανεύσεως καὶ ἐγγράφου ὁρισμοῦ δύναται υἱοθετεῖν[6].

20. Ἀδελφοῦ μὴ ὑπόντος μηδὲ ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοιγε ὄντες ἐγγύτεροι. καὶ εἰ εὑρεθῶσι πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ ὑπάρχοντες, ἐξ ἴσου κληρονομοῦσιν[7].

21. Τὴν προγαμιαίαν δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνει-

---

[1] Proch. h. t. 8. [2] Proch. h. t. 9. [3] Proch. ibid. [4] Att. XXVIII, 6. [5] Epan. XXXIII, 24. [6] Epan. ibid. [7] Proch. h. t. 10.

σφέρεσθαι ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε πατήρ ἐστιν εἴτε μήτηρ, ἤ τις τῶν ανιόντων ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός[1].

22. Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ καὶ μηκέτι ἔχειν μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔῤῥωται τοῦτο τὸ σύμφωνον, οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον αὐτὸν τελευτῶντα[2].

23. Ἡ θυγάτηρ τὴν προῖκα τοῖς ὑπεξουσίοις μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρει[3].

24. Ὁμοίως καὶ τὴν προγάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνεισφέρεσθαι ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ ἐστὶν ἢ πατὴρ ἤ τις τῶν ἀνιόντων ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός[4].

25. Ἐὰν οἱ κληροδοτηθέντες παῖδες αὐτεξούσιοι τελευτήσαντος τοῦ πατρὸς ἀδιαθέτου, ἢ διαθεμένου μὲν, μὴ μνημονεύσαντος δὲ τούτων, βουληθεῖεν, δύνανται συνεισφέρειν ἃ προέλαβον, καὶ ἀνακοινοῦνται ταῦτα μετὰ τῆς ἐν τῷ θανάτῳ εὑρισκομένης οὐσίας τοῦ πατρὸς, καὶ ἐπιμερίζειν κατ᾽ ἰσότητα πάντα μετὰ τῶν λοιπῶν ἀδελφῶν τῶν ὑπεξουσίων μεινάντων τῷ πατρὶ καὶ μὴ κληροδοτηθέντων[5].

26. Οἱ ὑπεξούσιοι παῖδες ἐκεῖνα συνεισφέρουσι τοῖς ἀδελφοῖς ἢ τοῖς θείοις, ὅσα εἶχον ἐν καιρῷ τῆς τελευτῆς τοῦ ἰδίου πατρός. εἴ τι δὲ μετὰ ταῦτα ἐπεκτήσαντο, οὐ συνεισφέρουσιν, ὑπεξαιρουμένων καὶ ἐκ τούτων τῶν πραγμάτων τῶν ὄντων ἐν τῷ καιρῷ τῆς τελευτῆς τοῦ πατρὸς, ὅσα ἐχρεώστουν. τὴν γὰρ καθαρὰν οὐσίαν ἑαυτῶν συνεισφέρουσι[6].

27. Τὸ ὑπεξουσίοις μάτην ὡς οἶμαι. κατὰ γὰρ τὴν νεαρὰν ὁμοίως τοῖς ὑπεξουσίοις οἱ αὐτεξούσιοι πᾶν ὅ τι προέλαβον συνεισφέροντες ἤτοι ἐν ταῖς μοίραις αὐτῶν λογιζόμενοι τὰς τῶν ἀδιαθέτων γονέων ὑποστάσεις κατὰ πᾶσαν ἰσότητα συμμερίζονται[7].

28. Ἠπόρησέ τις πῶς ὁ νόμος βουλόμενος τοὺς γονεῖς ἐξανάγκης ἐκ τῶν ἀτέκνων τελευτώντων παίδων λαμβάνειν τὸν φαλκίδιον ἤτοι τὸ τρίτον τῆς καθαρᾶς ὑποστάσεως, ὥσπερ ἐπιλαθόμενος ἑαυτοῦ συνεισήγαγεν αὐτοῖς ἀδιορίστως εἰς τὴν ἐξ ἀδιαθέτου κληρονομίαν ἀδελφοὺς καὶ ἀδελφόπαιδας, ὡς ἂν

---

[1] Proch. h. t. 12. [2] Proch. h. t. 11. [3] Proch. ibid. [4] Epan. XXXIII, 13. [5] Att. XXVI. [6] Basil. XLI, 7, 23. [7] Epan. XXXIII, sch. c.

συμβῇ τρεῖς ἢ καὶ πλείονας εἶναι τοὺς ἀδελφοὺς, οὐ τὸ τρίτον ὁ πατὴρ ἀλλὰ τὸ τέταρτον ἢ καὶ τυχὸν τὸ πέμπτον ἢ καὶ δέκατον λήψεται. ἢ οὖν λέληθε τὸν νομοθέτην εἰ καὶ τολμηρὸν εἰπεῖν καὶ ἐστὶν ἐναντία τὰ νόμιμα καὶ δέονταί τινος διορθώσεως, ἢ δεῖ νοεῖν, εἰ καὶ μὴ τοῦτο τὰ ῥητὰ ὑπεμφαίνουσιν, ὅτι μετὰ τὴν ὑπεξαίρεσιν τοῦ φαλκιδίου ὃς ἁρμόζει τοῖς γονεῦσι συνεισέρχονται αὐτοῖς εἰς τὴν τῆς λοιπῆς ὑποστάσεως τοῦ παιδὸς κληρονομίαν οἵ τε ἀδελφοὶ καὶ ἀδελφόπαιδες[1].

29. Σήμερον τοίνυν οὐδὲν ἕτερον συνεισφέρουσι τοῖς ἰδίοις ἀδελφοῖς οἱ παῖδες οἱ αὐτεξούσιοι, εἰ μὴ μόνον τὰ ἀπὸ πραγμάτων γονικῶν καὶ τὴν χρῆσιν. ταῦτα γὰρ ἔμελλον εἰ ἦσαν ὑπεξούσιοι προσπορίζειν[2].

30. Ἡ προσοῦσα τοῖς παισὶν ὑπόστασις, ἂν ἄδηλος ᾖ πόθεν ἐστὶ, πατρικὴ λογίζεται, οὐχὶ καὶ μητρική[3].

31. Εἰ καὶ παῖδες τοῦ τελευτῶντος ὑπεξουσίου προτιμῶνται τοῦ ἑαυτῶν πάππου καὶ τὸν ἴδιον πατέρα κληρονομοῦσιν, ἀλλ᾽ οὖν προσπορίζουσι τῷ πάππῳ διὰ πάσης αὐτοῦ τῆς ζωῆς τῶν πραγμάτων ἐκείνων τὴν χρῆσιν, ἃ καὶ ὁ πατὴρ αὐτῶν εἰ ἔζη νομίμως τῷ ἑαυτοῦ πατρὶ προσεπόριζεν[4].

32. Τῶν οἰκείων πραγμάτων τε καὶ δικαίων ἅπαντας ἀφθόνως ἀπολαύειν θεσπίζομεν καὶ ταῦτα παραπέμπειν ἐπὶ τοὺς σφῶν αὐτῶν κληρονόμους. ἐπιέναι δὲ τῶν πάντων μηδένα καθάπαξ ταῖς ἐκείνων περιουσίαις, ἢ τοὺς τούτων διαδόχους ζημίαις περιβάλλειν, ἢ τίτλους ἢ σφραγῖδας ἐπιτιθέναι τοῖς πράγμασι παρὰ τὸ δοκοῦν τοῖς ἡμετέροις νόμοις. καὶ τὰς ἐξ ἀδιαθέτου γὰρ κλήσεις ἐπὶ ταῖς τούτων διαδοχαῖς βεβαιοῦμεν, καὶ τὰς τελευταίας τούτων βουλήσεις νομίμως προϊούσας οὐκ ἀναιροῦμεν. εἰ γὰρ ἀγρυπνοῦμεν ἀεὶ καὶ μεριμνῶμεν διὰ μὲν τῶν ὑποτελῶν εὐνομίαν, καὶ τῆς αὐτῶν θεραπείας πολλή τις τῷ ἡμετέρῳ κράτει καθέστηκε φροντὶς, πῶς οὐκ ἂν καὶ περὶ τοῦτο τὸ μέρος προνοήσαιμεν αὐτῶν, καὶ τῆς ἡμετέρας προθύμως μεταδοίημεν εὐεργεσίας; ταῦτα γὰρ θεῷ ἀρέσκειν πεπείσμεθα, καὶ ταύτην δικαιοσύνην εἶναί φαμεν, καὶ τὴν βασιλείαν ἡμῶν ἐκ τούτων ἀσφαλῆ τε καὶ ἀτάραχον ἔσεσθαι πεπιστεύκαμεν[5].

33. Ἀλληλοκληρονομία οὐκ ἔγνωσται νόμῳ, διὸ οὐκ ἰσχύει, κἂν ἀπεσιωπήθη μέχρι θανάτου, εἰ μὴ ἄρα διὰ διαθήκης

---

[1] [illegible] n. cit. sch. e. [2] Cod. VI, 20, 1. [3] Epan. XXXIII, 12. [4] Epan. ib. 18. [5] Att. XXVIII, 9.

ἐπεκυρώθη ἐν τῷ θανάτῳ. ἐπὶ μέντοι στρατιωτῶν καὶ ἁπλῶς αἱ ἀλληλοκληρονομίαι ἰσχύουσιν[1].

34. Τὰ μητρῷα πράγματα εἰς τοὺς γνησίους παῖδας περιελθόντα, τοὺς ὄντας ὑπεξουσίους τοῦ ἰδίου πατρὸς, διαφερέτωσαν τῷ πατρὶ, μετὰ τὴν τελευτὴν δηλονότι τῆς μητρὸς, ὥστε αὐτὸν μὲν ἔχειν τὴν χρῆσιν μόνην, τὴν δὲ δεσποτείαν αὐτῶν τοῖς παισὶ διαφέρειν. πᾶσαν δὲ σπουδὴν καὶ ἐπιμέλειαν ποιεῖσθαι περὶ τὸ πρᾶγμα τοὺς πατέρας, καὶ τὰς ἀγωγὰς τῶν παίδων ἐκβιβάζειν ἐν δικαστηρίῳ, καὶ δι᾽ ἑαυτῶν καὶ δι᾽ ἐντολέων, ἐπὶ τὸ δαπανᾷν ἐκ τῶν καρπῶν. ἐὰν δὲ ἐκποιήσηταί τι ὁ πατὴρ, δύνανται οἱ παῖδες μετὰ τὴν αὐτεξουσιότητα ἀναζητεῖν, καὶ ἀναλαμβάνειν αὐτό[2].

35. Ἐὰν ἐπὶ περιούσης τῆς μητρὸς συμβῇ τοὺς παῖδας αὐτεξουσίους γενέσθαι παρὰ τοῦ πατρὸς, λαμβάνει ὁ πατὴρ μετὰ τελευτὴν τῆς μητρὸς ἐκ τῶν μητρῴων πραγμάτων ἑνὸς παιδὸς μοῖραν εἰς χρῆσιν. τῶν γὰρ ὑπεξουσίων μόνων τὰ μέρη ἔχει ἐξ ὁλοκλήρου εἰς χρῆσιν· ὥστε κἂν δευτερογαμήσῃ, τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων μὴ ἀφαιρεῖσθαι, μηδὲ τοῖς παισὶν ἐξεῖναι ἤ τισιν ἑτέροις ἐκ προσώπου αὐτῶν κατὰ τῶν πατέρων ἀναίσχυντον φωνὴν ἢ αἰτίασίν τινα προϊέναι[3].

36. Ἐὰν ὁ πατὴρ ποιήσῃ τὸν υἱὸν αὐτεξούσιον, παρακρατεῖ τὸ ἥμισυ τῶν μητρικῶν πραγμάτων εἰς χρῆσιν, τὸ δὲ ἥμισυ δίδωσι τῷ υἱῷ[4].

37. Τὰ ἐν τῷ μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ βλάπτει. οἷον ἐὰν περιορισθῇ ἢ ἐξορισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν ἀποκατασταθῇ[5].

38. Ἔῤῥωται ἡ ἔνστασις, εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου μὴ λεχθῇ, ἀλλ᾽ ὁμολογούμενον γνώρισμα[6].

39. Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διατιθέμενος, ἐξίσου καλοῦνται[7].

40. Ὁ κωφὸς καὶ ὁ ἄλαλος καλῶς ἐνίστανται κληρονόμοι[8].

41. Καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ἐπιστροφῆς καλῶς γράφεται κληρονόμος καὶ ὁ δοῦλος αὐτοῦ. καὶ ἐὰν ὑποστρέψῃ, λαμβάνει τὴν κληρονομίαν[9].

42. Ἄδειαν ἔχει τὶς ἢ γράψαι τοὺς κληρονόμους ἢ ἐκφω-

---

[1] Epan. cit. 23. [2] Att. cit. 10. [3] Att. cit. 11. [4] Att. ibid. [5] Proch. h. t. 14. [6] Proch. h. t. 15 [7] Proch. h. t. 16. [8] Proch. h. t. 13. [9] Proch. h. t. 17.

νῆσαι αὐτοὺς, ὥστε ζ′ ἢ ε′ μάρτυρας ἀκοῦσαι. κἂν ὦσι πλείους, ἀρκεῖ τοὺς ζ′ ἢ ε′ ἀκοῦσαι[1].

43. Ἔγραψά σε κληρονόμον· εἶτα φήμης γενομένης ὡς ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην οὕτως εἰπών· ἐπειδὴ ὃν ἤθελον οὐκ ἠδυνήθην σχεῖν κληρονόμον, ἔστω ὁ δεῖνα κληρονόμος. διά γουν τὴν γνώμην μου σὺ ὁ πρότερος γίνῃ κληρονόμος καὶ δίδως τὰ ἐν τῇ διαθήκῃ λεγάτα, ὡσανεὶ ἐν αὐτῇ ἐγράφης[2].

44. Ἡνίκα τελευτήσῃ ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων ἢ κατιόντων ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν σχοῖεν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω κληρονομίαν ἐξ ὁλοκλήρου καὶ ἡ γυνὴ τὸν ἄνδρα διαδεχέσθω[3].

45. Εἰ δὲ μήτε ἀδελφοὺς μήτε παῖδας ἀδελφῶν, ὡς εἰρήκαμεν, ὁ τελευτήσας καταλείψει, πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς ἐπὶ τὴν κληρονομίαν καλοῦμεν κατὰ τὴν τοῦ ἑνὸς ἑκάστου βαθμοῦ προτίμησιν· ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ αὐτοὶ τῶν λοιπῶν προτιμῶνται. εἰ δὲ πολλοὶ τῷ βαθμῷ εὑρεθῶσι, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται, ὅπερ κατὰ κεφαλὴν ἤτοι προσωπικῶς οἱ ἡμέτεροι λέγουσι νόμοι· κἂν τε ἐξ ἀῤῥενογονίας κἂν τε ἐκ θηλυγονίας τῷ τελευτήσαντι κατὰ συγγένειαν προσήκοι[4].

46. Ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑπεισερχέσθωσαν, καὶ κληρονομείτω τὸν προτελευτήσαντα ὁ περιλιμπανόμενος, ὁσάκις ἀργεῖ πᾶσα ἀνιόντων καὶ κατιόντων ἢ συγγενῶν νόμιμος ἢ φυσικὴ διαδοχὴ, τοῦ δημοσίου ἀποκλειομένου[5].

47. Τοὺς δούλους τῶν δυναμένων γράφεσθαι κληρονόμων δυνάμεθα γράφειν κληρονόμους. ὁ γὰρ δοῦλος ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ ἔχει διαθήκης προνόμιον[6].

48. Ὁ γραφεὶς κληρονόμος δύναται εἴσω γ′ μηνῶν παραιτεῖσθαι. καὶ οὐκ ἐνέχεται δανεισταῖς, κἂν προέγνω ὅτι κληρονόμος ἐστίν[7].

49. Ἐάν τις υἱοθετήσῃ ὀρφανὸν καὶ ὑποκαταστήσῃ αὐτῷ, μόνα τὰ ἐξ αὐτοῦ καὶ τὰ κατὰ πρόφασιν αὐτοῦ τυχὸν ἀπὸ φίλων καὶ συγγενῶν τοῦ υἱοθετήσαντος αὐτὸν περιελθόντα εἰς

---

[1] Epan. XXIX, 8. [2] Proch. h. t. 18. [3] Proch. h. t. 19. [4] Att. XXVIII, 8. [5] Att. cit. 12. [6] Proch. h. t. 21. [7] Cod. VI, 30, 22. Hoc caput, ut et pleraque, quae sequuntur, ex Epitome hausta sunt.

τὸν ἄνηβον λαμβάνει ὁ ὑποκατάστατος, διὰ τὸν κανόνα τὸν λέγοντα· ὅτι ἡ προσαύξησις τῆς κληρονομίας καὶ εἰς ὑποκαταστάτους ἐκφέρεται[1].

50. Ἐὰν κατὰ διαθήκας ἐνστήσωμαι κληρονόμους τὸν δεῖνα εἰς οὐγκίας ϛʹ καὶ τὸν δεῖνα εἰς οὐγκίας δʹ καὶ τὸν δεῖνα εἰς οὐγκίας βʹ, καὶ ἀμοιβαδὸν αὐτοῖς ἀποκαταστήσω, καὶ οἱ μὲν καταδέξωνται τὴν κληρονομίαν οἱ δὲ οὐ καταδέξωνται, ἀνάγκην ἔχουσιν οἱ καταδεξάμενοι καὶ τῶν συγκληρονόμων μέρος καταδέξασθαι, διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἡ προσαύξησις τῆς κληρονομίας καὶ εἰς ὑποκαταστάτους ἐκφέρεται[2].

51. Ὁ ἔγγονος ἢ ἡ ἐγγόνη εὑρίσκοντες ἑαυτοὺς ἀμνημονεύτους ῥηγνύουσι τὴν διαθήκην τοῦ πάππου, ἐὰν ὅλως ὁ πατὴρ αὐτῶν οὐδὲν ἐκληρονόμησεν.

52. Ὁ γὰρ νόμος τότε βούλεται τοὺς ἐπαναβαίνοντας ἡσυχάζειν, ὅταν κληρονόμοι γραφῶσιν οἱ ἀπόκληροι.

53. Γράφειν δυνάμεθα κληρονόμους τοῦτο μὲν ἐλευθέρους τοῦτο δὲ οἰκέτας, καὶ οἰκέτας ἡμετέρους, ἔτι δὲ καὶ ἀλλοτρίους. ἀλλὰ τοὺς ἡμετέρους οἰκέτας πάλαι κατὰ τὴν τῶν πλειόνων νομικῶν γνώμην οὐχ ἑτέρως εἰ μὴ μετὰ ἐλευθερίας γράφειν ἐξῆν· σήμερον δὲ καὶ δίχα ἐλευθερίας γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ[3].

54. Οὐκ ἀεί τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει κληρονόμον ἰσχυρῶς, ἀλλ᾽ οὐδὲ μετ᾽ ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου θέματος· ἀπέθετό τις ἀνὴρ κατηγορίαν κατὰ τῆς ἰδίας γυναικὸς, λέγων αὐτὴν ὑπὸ τοῦ ἰδίου δούλου μοιχεύεσθαι. μήπω τοῦ δικαστηρίου περαιωθέντος ἡ εἰρημένη γυνὴ τελευτῶσα τὸν ῥηθέντα δοῦλον μετ᾽ ἐλευθερίας ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν ζήτησις γέγονεν, εἰ ἔῤῥωται τὰ τῆς ἐνστάσεως. καὶ οἱ νομικοὶ ἀντέγραψαν, τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου ὑπ᾽ ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ ἐγκλήματι κατηγορεῖτο. ὥστε οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γενομένη δούλῳ πάσης ἰσχύος ἐστὶν ἐκτός[4].

55. Μήτηρ ψευδῶς ἀκούσασα τὸν στρατιώτην αὐτῆς υἱὸν τελευτῆσαι κληρονόμον ἄλλον ἔγραψε. λαμβάνει τοίνυν τὴν κληρονομίαν ὁ υἱὸς καὶ δίδωσι τὰ ληγάτα καὶ τὰς ἐλευθερίας[5].

---

[1] Dig. XXVIII, 6, 10 §. 6. [2] Cf. Cod. VI, 26, 6. [3] Proch. h. t. 20.
[4] Proch. h. t. 22. [5] Proch. h. t. 23.

56. Ἐὰν τελευτήσῃ ἀδελφὸς ἔχων ἀμφιθαλῆ ἀδελφὸν, τουτέστιν ὁμομήτριον καὶ ὁμοπάτριον, καὶ ἑτεροθαλῆ, ὁ ἀμφιθαλὴς αὐτὸν κληρονομεῖ, ἀλλὰ μόνον τὸ δίμοιρον τῆς οὐσίας. τοῦτο δὲ ἀπὸ νεαρᾶς[1], ἵνα κληρονομῇ ὁ ἐκ πλαγίου ἐξ ἀδιαθέτου εἰς τὸ δίμοιρον, τὸ δὲ τρίτον διδῶται εἰς ψυχικὸν τοῦ τελευτήσαντος. ὡσαύτως δὲ καὶ ἐὰν ἀνεψιὸν ἐκ τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ ἔχῃ, ἔχῃ δὲ καὶ ἀδελφὸν ἑτεροθαλῆ, ὁ ἀνεψιὸς προτιμᾶται.

57. Ἐὰν συμβῇ με τελευτῆσαι ἀδιάθετον, τοῦ αὐτεξουσίου μου υἱοῦ προτελευτήσαντος, ὃν ἔλαβεν εἰς θέσιν οὐ δέχεται τὰ ἐμὰ δίκαια, οὐδὲν εἶδος πρός με συγγενείας ἔχων[2].

58. Ἐὰν ὁ φυσικὸς πατὴρ τὸν ἴδιον υἱὸν εἰς θέσιν ἑτέρῳ παράσχῃ, ἀκέραια μένειν τὰ δίκαια παρὰ τῷ φυσικῷ πατρὶ, καὶ μὴ ἐξεῖναι[3] αὐτὸν τῆς αὐτοῦ φαμιλίας[4].

59. Ἐὰν θετὸν υἱὸν ἐμαγκίπατον τουτέστιν αὐτεξούσιον ποιήσω, οὐ μόνον ἀδιάθετόν με τελευτῶντα οὐ διαδέχεται, ἀλλ᾽ οὐδὲ μνημονευθεὶς ἐν τῇ ἐμῇ διαθήκῃ λήψεται κατ᾽ αὐτῆς τὴν κοντρα ταβούλας. ἐπαύσατο γὰρ τοῖς ἐμοῖς συναριθμεῖσθαι παισίν[5].

60. Τοῖς μένουσιν ἐν τῇ φαμιλίᾳ, καθόσον ὁ φυσικὸς, οὕτως καὶ ὁ θετὸς εἰς τετραούγγιον[6].

61. Ἐάν τις μείζων ὢν τῶν κε΄ ἐνιαυτῶν καὶ ἀπόρῳ προσέλθῃ κληρονομίᾳ, εἰς τοσοῦτον κατασχεθήσεται, εἰς ὅσον ἡ τῶν πραγμάτων τῆς κληρονομίας συνάγεται ποσότης, ἵνα μή τις ἐξ απροόπτου ἐπὶ βλάβην καταδέξηται κληρονομίαν, ποιῶν ἴμβεντον πρὸ ἀδιτίωνος φανερὰν ἔχουσαν ποσότητα τῆς κληρονομίας. εἰ δέ τις καταφρονήσας τῇ διατάξει αἰτήσῃ διάσκεψιν καὶ μετὰ ταῦτα προσέλθῃ τῇ κληρονομίᾳ, οὐ τεύξεται τῶν ἀπὸ τῆς διατάξεως βοηθειῶν, ἀλλὰ τὸ πᾶν ἀπαιτηθήσεται χρέος[7].

62. Ἐὰν ἔχω ἀδελφὸν καὶ θεῖον, ὁ ἀδελφός προτιμᾶται. ὁμοίως ἐὰν ἔχω ἀνεψιὸν ἀδελφοῦ μου παῖδα καὶ θεῖον πρὸς πατρὸς ἢ τῆς μητρὸς ἀδελφὸν, ὁ ἀνεψιὸς προτιμᾶται. ταῦτα δὲ πάντα ἐπὶ τῶν ἐξ ἀδιαθέτου. τὸ δὲ δίμοιρον ἐστὶν οὕτως· ὑπόθου ἔχειν τινὰ οὐσίαν λιτρῶν ϛ΄. δὶς ϛ΄, ιβ΄. τῶν ιβ΄ τὸ γ΄, δ΄. τὸ δίμοιρον εἰσὶ τὰ η΄, καὶ τὸ ἕτερόν ἐστιν ἡ γ΄ μερίς[8].

---

1 Coll. III Nov. 12. 2 Theoph. III, 1, 8. 3 Lege ἐξιέναι. 4 Cod. VIII, 47, 10. 5 Theoph. III, 1, 12. 6 Cf. Theoph. ibid. 7 Cod. VI, 30, 32. 8 Videntur haec cum §. 55 arctissime cohaerere.

63. *Τὸν ἀπελεύθερον ἀδιάθετον τελευτῶντα καὶ ἄπαιδα κληρονομοῦσιν οἱ τοῦ πάτρωνος συγγενεῖς μέχρι ε' βαθμοῦ. ὁ δὲ ε' βαθμὸς ψηφίζεται οὕτως· μία ἑκάστη γέννησις βαθμὸν ἀποτελεῖ. α' γὰρ βαθμὸς ὁ πατήρ μου, β' ὁ ἐμὸς ἀδελφὸς, γ' ὁ τοῦ ἀδελφοῦ μου παῖς, δ' ὁ ἔγγονος τοῦ ἀδελφοῦ μου, ε' ὁ ἀπέγγονος*[1].

64. *Πάλιν δὲ εἰ θέλεις εὑρεῖν τὸν ἐξάδελφον, α' βαθμὸς ὁ πατήρ μου, β' ὁ πάππος, γ' ὁ τοῦ πατρός μου ἀδελφὸς, δ' ὁ τοῦ ἐξαδέλφου μου παῖς.*

65. *Τρεῖς ἐνεστησάμην κληρονόμους ἀπὸ γ' οὐγγιῶν, ὡς ὑπολιμπάνεσθαι ἄλλας γ' οὐγγίας. τὸ ὑπολειφθὲν εἰς τίνα περιγενήσεται; καὶ λέγομεν, ὅτι τὸ τριούγγιον σιωπηρῶς ἑκάστῳ τῶν κληρονόμων προσαυξηθήσεται*[2].

66. *Ὁ κατὰ δόλον ἑτέρου παραιτούμενος κληρονομίαν ἀπόλλυσιν αὐτήν.*

67. *Τὰ δωρηθέντα τοῖς παισὶ μετὰ τὴν τελευτὴν τοῦ ἰδίου πατρὸς οὐ συνεισφέρονται. εἰ γὰρ ζῶν ὁ πατὴρ ἐδωρήσατο αὐτοῖς, συνεισφέρονται, εἰ μὴ ἄρα ῥητῶς ἐκέλευσεν αὐτὰ μὴ συνεισφέρεσθαι*[3].

68. *Ἡ ἐκ διαθήκης κληρονομοῦσα τοῦ πατρὸς οὐκ ἀναγκάζεται συνεισφέρειν τὴν προῖκα αὐτῆς*[4].

69. *Οὐκ ἀναγκάζεταί τις καθ' οἱονδήποτε τρόπον λαβεῖν ἐπιζήμιον κληρονομίαν*[5].

70. *Ἄτοπον ἦν ἀγνοοῦντας ἡμᾶς ἐπιζήμιον ὑπεισιέναι κληρονομίαν. ἐνδέχεται μείζονα εἶναι τῶν ἐν ὄψει φερομένων κερδῶν τὰ λανθάνοντα βάρη*[6].

71. *Ἡ δέσποινα τὸν ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορούμενον δοῦλον ἀχρήστως πρὸ ψήφου γράφει ἐλεύθερον καὶ κληρονόμον*[7].

72. *Οὐ δεῖ τὸν βασιλέα δίκης χάριν γράφεσθαι κληρονόμον*[8].

73. *Ὁ πάππος φύσει καὶ νόμῳ υἱοθετεῖ τὸν ἔγγονον, τοῦτο μὲν τῷ φυσικῷ διὰ τὴν συγγένειαν, τοῦτο δὲ τῷ ἐννόμῳ διὰ τὴν θέσιν. τὰ γὰρ φυσικὰ δίκαια ἀνατρέπειν ὁ πολιτικὸς νόμος οὐ βούλεται. οὐ δύναται νόμῳ μὲν τῇ φύσει, φύσει δὲ τῷ νόμῳ*[9].

---

[1] Cod. VI, 4, 4. [2] Theoph. II, 14, 7. [3] Theod. Cod. VI, 20. 13. [4] Theod. Cod. VI, 20, 2. [5] Cod. VI, 30, 16. [6] Theoph. II, 19, 3. [7] Dig. XXVIII, 5. 48 §. 2. [8] Dig. XXVIII, 5, 91. [9] Haec etiam in Epit. corruptissima sunt. Videsis Cod. VIII, 47, 10.

74. Ἐὰν πολλοὺς γράψω κληρονόμους, λέγων ὁ δεῖνα καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔστωσάν μοι κληρονόμοι, οὐγγίας μὴ ὀνομάσαντος[1], τὸ ἴσον αὐτοῖς προσγενήσεται. εἰ δὲ θέλω ἐξ ἀνίσων αὐτοὺς κληρονομῆσαι, τότε δεῖ αὐτοὺς γράφειν καὶ λέγειν, ὁ δεῖνα εἰς δ′ καὶ ὁ δεῖνα εἰς ϛ′ καὶ ὁ δεῖνα χωρὶς μέρους. καὶ λέγομεν, ὅσον ὑπολιμπάνεται τῇ λίτρᾳ τουτέστι β′ οὐγγίας. εἰ δε ἔφθασα δαπανήσασθαι τὴν λίτραν εἰς τοὺς τρεῖς, τὸν μὲν εἰς ϛ′ τὸν δὲ εἰς β′, καὶ ἐπήγαγον ἕνα ἢ καὶ πλείους χωρὶς μέρους, τότε ἐπειδὴ οὐκ ἔστιν ἐπιλιμπανόμενον τῆς λίτρας εἰς ὅσον δύναται ἐλθεῖν, τὸ ἥμισυ δοθῆναι τῷ χωρὶς μέρους γραφέντι, ὡς δοκεῖν τὸν τεστάτορα[2] εἰς κδ′ οὐγγίας διατίθεσθαι[3].

75. Ἐὰν τελευτήσῃ αὐτεξούσιος παῖς ἔχων ἀδελφοὺς καὶ πατέρα καὶ μητέρα, πάντες αὐτὸν ἐξίσου μερίζουσι καὶ κληρονομοῦσιν. εἰ δὲ ὑπεξούσιος, εἰς οὐδὲν ἕτερον διατίθεται, εἰ μὴ εἰς μόνον τὸ ἰδιόκτητον πεκούλιον.

76. Ἐὰν ὑπεξούσιος ἔχῃ παγανικὸν πεκούλιον, καὶ τελευτήσῃ ὁ πατὴρ ἀδιάθετος μηδὲν ὁρίσας περὶ αὐτοῦ, πάντες οἱ παῖδες ἐπιμερίζονται τοῦτο. εἰ δὲ ἀπροσπόριστόν ἐστιν ἤγουν περιελθὸν αὐτῷ ἀπὸ λεγάτου ἢ χαριστικῆς ἢ δωρεᾶς ἢ μακρᾶς ὁδοιπορίας, τοῦτο ὡσανεὶ ἰδιόκτητον αὐτοῦ ἀναφαίρετον ἔχει.

77. Ἐάν τις τελευτήσῃ, εἰ μὲν ὑπεξούσιός ἐστιν, οὐ διατίθεται εἰ μὴ εἰς τὰ στρατιωτικὰ, ἅπερ ἀπὸ πολέμου κτήσεται καὶ ἀπὸ συνηγορίας καὶ ἀπὸ δωρεῶν βασιλικῶν ἢ ἀπὸ σουπεριῶν[4]. εἰ δὲ αὐτεξούσιος, εἰ μὲν ἔχει παῖδας, καὶ διάθηται καὶ καταλείψει λεγάτον τῷ πατρὶ, λαμβάνει αὐτό. εἰ δὲ οὐ καταλίποι, οὐκ εὐθύνεται. εἰ δὲ οὐκ ἔχει παῖδας καὶ τελευτήσει ἀδιάθετος, κληρονομεῖ αὐτὸν ὁ πατήρ. καὶ εἰ εἰσὶν ἀνεψιοὶ πολλοὶ λαμβάνουσι πάντες μίαν μοῖραν, εἴ τι ὤφειλε λαβεῖν ὁ πατὴρ αὐτῶν· καὶ εἰ ἔχει καὶ ἀδελφοὺς, ἐπίσης. ὁ δὲ πάππος, εἰ ζῇ τοῦ τελευτήσαντος ὁ πατὴρ, οὐδὲν λαμβάνει. ὅταν δὲ ἐν διαθήκῃ τελευτήσῃ ὁ αὐτεξούσιος καὶ παῖδας οὐκ ἔχῃ, λαμβάνει ὁ πατὴρ τὸ τρίτον. εἰ δὲ παῖδας ἔχει καὶ καταλείψει τῷ πατρί τι, λαμβάνει αὐτὸ ὁ πατήρ. εἰ δὲ οὐδὲν αὐτῷ καταλίποι, οὐκ ἔχει χώραν ὁ πατὴρ μέμφεσθαι τὴν διαθήκην αὐτοῦ. τότε γὰρ δύναται μέμφεσθαι ὁ πατὴρ καὶ πᾶς

---

[1] Lege *οὐγκιασμοῦ μὴ ὀνομασθέντος*. [2] Cod. supra lineam *διατιθέμενον*. [3] Theoph. II, 14, 6. [4] Videtur legendum *ὀπερῶν*.

ἀνιὼν τὴν διαθήκην, ὅταν παῖδας οὐκ ἔχῃ ὁ αὐτεξούσιος καὶ τὸ καταλειφθὲν τῷ πατρὶ οὐκ ἐξαρκῇ πρὸς τὸ τρίτον. εἰ δὲ ὡς εἴρηται ἢ παῖδας ἔχει ἢ ἐγγόνους, ὁ πατὴρ τοῦ αὐτεξουσίου οὐ δύναται πρὸς τὸ κληρονομῆσαι τοῦ υἱοῦ ἀντιλέγειν, ἀλλὰ ταύτην ἢ οἱ παῖδες αὐτοῦ τοῦ υἱοῦ ἢ οἱ ἔγγονοι λαμβάνουσιν, εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου· καὶ ἐκ διαθήκης μὲν τοὺς καταλελειμμένους λόγους εἴτε ἀρκοῦσι πρὸς φαλκίδιον, ἐξ ἀδιαθέτου δὲ πᾶσαν τὴν περιουσίαν.

78. Ἄλλου καταδικασθέντος ἢ περιγραφέντος ἄλλος ἀγωγὴν οὐκ ἔχει.

79. Δύο τινῶν ἐχόντων κληρονομικὸν δίκαιον ἐπὶ τρισὶ[1] πράγμασι, καὶ τοῦ ἑνὸς καταδικασθέντος ἢ περιγραφέντος ἴσως, ὁ ἕτερος οὔτ᾽ ἐγκλητεύειν οὔτε ἀγωγὰς ἔχειν δύναται.

80. Ἐὰν ἔχω ἔγγονον ἀπὸ υἱοῦ ἢ θυγατρὸς τελευτησάντων, ἔχῃ δὲ ὁ ἔγγονός μου καὶ ἕτερον ἀδελφὸν, καὶ τελευτήσῃ ὁ εἷς τῶν ἐγγόνων ἄτεκνος καὶ ἀδιάθετος, ἐγὼ αὐτὸν κληρονομῶ ὁ πάππος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ.

81. Ἐὰν τελευτήσῃ ἐξ ἀδιαθέτου ἄτεκνος καὶ ἀδιάθετος ἔχων ἑκατέρωθεν πρῶτα ἐξαδέλφια, πάντες ἐπίσης καλοῦνται εἰς τὴν κληρονομίαν οἱ ἐξάδελφοι, καὶ τυχὸν ἐὰν ὦσιν ἐκ τοῦ ἑνὸς μέρους ἀδελφοὶ γ′ καὶ ἐκ τοῦ ἑτέρου ε′, εἰς η′ μερίδας γίνεται ἡ περιουσία, καὶ τὸ δὴ λεγόμενον ἰν κάπιτα κληρονομοῦσι, τουτέστι κατὰ κεφαλὴν ἤγουν καθ᾽ ἕκαστον πρόσωπον. ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἀδελφῶν· εἰ γὰρ τελευτήσει τὶς τῶν ἀδελφῶν ἄτεκνος καὶ ἀδιάθετος ἔχων ἀδελφὸν, ἔχων δὲ καὶ ἑκατέρωθεν ἀδελφόπαιδας, τὸ μὲν ἥμισυ τῆς περιουσίας αὐτοῦ, ἤτοι πατρὸς μὴ ὄντος μηδὲ μητρὸς μηδὲ πάππου, λαμβάνει τὸ ἥμισυ ὁ ἀδελφὸς αὐτοῦ, τὸ δὲ ἕτερον ἥμισυ οἱ ἀνεψιοὶ αὐτοῦ οἱ ἐξ ἑτέρου ἀδελφοῦ ὄντες ἢ ἀδελφῆς· ὅπερ λέγεται κατὰ σειρὰν ἤτοι συμπλοκήν.

82. Ὁ ἔγγονος οὐ δύναταί μὲν τοῦ πατρὸς πράγματα παραιτεῖσθαι, τὰ τοῦ πάππου δὲ καταδέξασθαι, ἐὰν ὁ πατὴρ αὐτοῦ ζῶν ἐκληρονόμησε τὸν πάππον, ἐπειδὴ μία οὐσία νοεῖται[2].

83. Ἐὰν τελευτήσῃ ἀδελφὸς ἄτεκνος καὶ ἀδιάθετος ἔχων ἀμφιθαλῆ ἀδελφὸν καὶ ἑτεροθαλῆ, ὁ ἀμφιθαλὴς ἀδελφὸς αὐτοῦ κληρονομεῖ. ὁ γὰρ ἑτεροθαλὴς οὐκ ἔχει τινὰ μετοχὴν εἰς τὰ πράγματα αὐτοῦ, εἰ μήγε ὁ τελευτήσας διάθηται καὶ καταλίπῃ αὐτῷ τι.

---

[1] Lege τισι. [2] Cod. VI, 14, 3.

84. Ἐὰν τελευτήσῃ τὶς ἄτεκνος καὶ ἀδιάθετος ἔχων ἀνεψιὸν ἀμφιθαλοῦς ἀδελφοῦ, ἔχων δὲ καὶ ἀδελφὸν ἑτεροθαλῆ, ὁ ἀνεψιὸς αὐτὸν κληρονομεῖ προτιμώμενος τοῦ ἑτεροθαλοῦς θείου.

85. Ἐάν τις τελευτήσῃ ἔχων ἀνεψιὸν, ἔχων δὲ καὶ θεῖον πρὸς πατρὸς ἢ πρὸς μητρὸς, εἰ καὶ τοῦ ἴσου εἰσὶ βαθμοῦ ὅ τε ἀνεψιὸς καὶ ὁ θεῖος τοῦ τελευτήσαντος, ὅμως ὁ ἀνεψιὸς κληρονομεῖ.

86. Ὁ υἱὸς καὶ ἡ θυγάτηρ ὁπωσδήποτε κληρονομοῦντες τὸν ἴδιον πατέρα ἐξ ἀδιαθέτου συνεισφέρουσι τὴν προγάμου δωρεὰν καὶ τὴν προῖκα, κἂν ἀπὸ πάππου ἢ μάμμης ἐπεδόθησαν[1].

87. Ὁ ἐμαγκίπατος ἐπιδιδοὺς προῖκα ὑπὲρ θυγατρὸς, καὶ μετὰ ταῦτα θέλων ἅμα τοῖς γνησίοις ἀδελφοῖς αὐτοῦ συγκληρονομῆσαι τοῦ πατρὸς, οὐκ ἀναγκάζεται συνεισφέρειν αὐτοῖς ἣν ἐπιδέδωκε προῖκα, ἕως ὅτε συνίσταται τῆς θυγατρὸς ὁ γάμος[2].

88. Τῶν ἀξιωμάτων. καὶ ὅσα ὁ πατὴρ χρεωστεῖ ὑπὲρ ἀξιώματος τοῦ παιδὸς, οἱ συγκληρονόμοι ἀποδιδοῦσιν[3].

89. Τὸ ἀξίωμα βάρος νομίζεται ἔχειν, καὶ διὰ τὴν [ἐπαχθείαν] ταύτην οὐ συνεισφέρουσι τοῖς ἀδελφοῖς οἱ ἀξιωματικοί[4].

90. Ὁ ὑπεξούσιος υἱὸς οὐ συνεισφέρει τοῖς ἰδίοις ἀδελφοῖς, ὅσα δωρεῖται αὐτῷ ὁ οἰκεῖος πατὴρ μέλλοντι στρατεύεσθαι. ἴσθι γὰρ καστρέσιόν ἐστι πεκούλιον τὸ τοιοῦτον, κἂν μὴ ὁ πατὴρ ἀλλ᾽ οἱοσδήποτε ἄλλος αὐτῷ ἐχαρίσατο[5].

91. Τὰ τῶν παραιτησαμένων κληρονόμων μέρη εἰς τοὺς συγκληρονόμους μετὰ τῶν ἰδίων βαρῶν ἔρχονται, οὐ μὴν μετὰ τῶν προνομίων τοῦ παραιτησαμένου. τὸ αὐτὸ καὶ [ἐπὶ] τοῦ λαμβάνοντος τίμημα ἐπὶ παραιτήσει κληρονομίας.

92. Πρώτη κληρονομία ἐστὶν ἡ τῶν κατιόντων, ἤγουν παίδων, ἐγγόνων, προεγγόνων καὶ ἀπεγγόνων· καὶ πάλιν ἐπὶ τῶν ἀνιόντων πατέρων, πάππων, προπάππων καὶ ἐπιπάππων. δευτέρα δὲ ἡ τῶν ἐκ πλαγίου, ἤτοι ἀδελφοπαίδων τουτέστιν ἀνεψιῶν, καὶ τῶν ἐξαδέλφων καὶ τῶν δισεξαδέλφων. τούτων δὲ μὴ ὄντων ἐξ ἀδιαθέτου κληρονομεῖ ἡ γυνὴ τὸν ἄνδρα καὶ ὁ ἀνὴρ τὴν γυναῖκα. εἰ δὲ ὁ ἀνὴρ οὐκ ἔχει γυναῖκα ἢ ἡ γυνὴ

[1] Theod. Cod. VI, 20, 2. [2] Dig. XXXVII, 6, 4. [3] Dig. ib. 1 §. 16. [4] Dig. l. l. [5] Cod. III, 36, 4.

ἄνδρα, οὐδὲ μέχρι τοῦ ϛ' βαθμοῦ ἀναφαίνεται ὁ συγγενὴς, καὶ τελευτήσει ἀδιάθετος, κληρονομεῖται παρὰ τοῦ δημοσίου. καὶ γὰρ τὰ τῶν συγγενῶν μέχρι τοῦ ϛ' βαθμοῦ ἵστανται, οἷον τῶν δισεξαδέλφων, ὧν ὡς εἴρηται μὴ ὄντων, ἐξ ἀδιαθέτου κληρονομεῖ· ἡ γυνὴ τὸν ἄνδρα καὶ ὁ ἀνὴρ τὴν γυναῖκα· εἰ δὲ ὁ ἀνὴρ οὐκ ἔχει γυναῖκα ἢ ἡ γυνὴ ἄνδρα, οὐδὲ μέχρι τοῦ ϛ' βαθμοῦ ἀναφαίνεται συγγενὴς καὶ τελευτήσει ἀδιάθετος, ὡς εἴρηται, κληρονομεῖται παρὰ τοῦ δημοσίου.

93. Ἐὰν τελευτήσῃ τὶς μήτε παῖδας ἔχων μήτε γονεῖς, ἔχῃ δὲ ἐξάδελφον καὶ δισεξάδελφον, ὁ ἐξάδελφος αὐτὸν κληρονομεῖ. καὶ ἐὰν ἔχῃ ἐξάδελφον καὶ θεῖον πρὸς μητρὸς ἢ καὶ πατρὸς, ὁ θεῖος κληρονομεῖ παρὰ τὸν ἐξάδελφον προτιμώμενος.

94. Ἐὰν ἀπελεύθερος τελευτήσῃ μὴ ἔχων παῖδας καὶ ποιήσῃ διαθήκην, ὀφείλει ὁ πάτρων λαμβάνειν τὸ γ'· εἰ δὲ ἀδιάθετος, τὸ ὅλον. εἰ δὲ ἔχει παῖδας, κἄντε ἐν διαθήκῃ κἄντε ἀδιάθετος τελευτήσῃ, οὐ κληρονομήσει αὐτὸν ὁ πάτρων, εἰ μήγε οἱ παῖδες ἀχάριστοι ὤφθησαν τῷ ἰδίῳ πατρὶ καὶ ἀπόκληροι ἐγένοντο παρ' αὐτοῦ· τότε γὰρ ὡσανεὶ παίδων μὴ ὄντων τῷ ἀπελευθέρῳ λαμβάνει ὁ πάτρων τὸ γ', τὸ δὲ ἕτερον κατὰ τὴν διαθήκην μερίζεται ὅπου ὁ τελευτήσας ὁρίσει.

95. Ἐὰν τελευτήσῃ ἀπελεύθερος ἀδιάθετος πάτρωνα μὴ ἔχων, κληρονομεῖ αὐτὸν ὁ υἱὸς τοῦ πάτρωνος καὶ οἱ λοιποὶ συγγενεῖς τοῦ πάτρωνος μέχρι ε' βαθμοῦ. οἷον ἐὰν οὐκ ἐστὶν υἱὸς τῷ πάτρωνι, λαμβάνει αὐτὰ ὁ ἔγγονος τοῦ πάτρωνος ἢ ὁ προέγγονος ἢ ὁ πατὴρ τοῦ πάτρωνος ἢ ὁ πάππος ἢ ὁ πρόπαππος ἢ ὁ ἀδελφὸς τοῦ πάτρωνος ἢ ὁ ἀνεψιὸς αὐτοῦ ἢ ὁ θεῖος τοῦ πάτρωνος ἢ ὁ ἐξάδελφος αὐτοῦ ἢ τοῦ ἐξαδέλφου ὁ υἱός. μέχρι γὰρ τούτων ἐπὶ τῶν ἐκ πλαγίου ἵσταται ὁ ε' βαθμός.

96. Τοῦ ἀποστόλου ἐκ τῆς πρὸς γαλάτας. — Ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου κύριος πάντων ὢν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός.

97. Ἐὰν συμφωνήσωσί τινες ὥστε τὸν προτελευτήσαντα τῷ ἑτέρῳ διδόναι τὴν ἰδίαν οὐσίαν, ἄχρηστον [τὸ] γεγονός[1].

98. Δημεύεται ἡ κληρονομία, ὅταν ἀμνημόνευτος παῖς αἰτήσας τὴν ἐναντίωσιν τῆς διαθήκης ὑπεισέλθῃ τὴν τοῦ ἀδελ-

[1] Cod. II, 3, 19.

φοῦ κληρονομίαν ἀπὸ τῆς ὀρφανικῆς ἀνήβου ὑποκαταστάσεως, ἢ ὅτε χειρίζων τὶς ὀφφίκιον ἐν ἐπαρχίᾳ παρανόμως ἀγάγηται, ἢ ἐπίτροπος τὴν ἐπιτροπευθεῖσαν, δημεύεται τὸ ἐκ διαθήκης αὐτῇ προσπορισθέν. ἐκ δὲ τοῦ ἐναντίου αὗται τῶν παρ᾽ αὐτῶν καταλειφθέντων αὐταῖς οὐκ ἐκπίπτουσιν. ἐὰν δὲ ἔχθρα κεφαλικὴ μεταξὺ τοῦ λεγαταρίου καὶ τοῦ διαθεμένου γένηται ἢ φανερῶς αὐτὸν ὑβρίσῃ, ὡς δῆλον εἶναι τὸν διαθέμενον μὴ θέλειν λαβεῖν αὐτὸν τὸ λεγάτον, οὐκ ἀπαιτεῖται. καὶ ὁ περὶ καταστάσεως κινῶν ἐκπίπτει τῶν ἐν τῇ διαθήκῃ, ἐφ᾽ οὗ χώρα τῷ δημοσίῳ[1].

99. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔῤῥωται, ἀλλ᾽ εἰ καὶ κληρονόμον αὐτὴν γράψω ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία[2].

100. Ἡ μήτηρ μὴ αἰτήσασα ἐπίτροπον τῷ παιδὶ οὐ κληρονομεῖ αὐτὸν, ἐὰν ἄνηβος τελευτήσῃ· εἰ δὲ ἔφηβος γενόμενος τότε τελευτήσει, καλῶς αὐτὸν κληρονομεῖ[3].

Τίτλος λα΄. Περὶ ἀποκαταστάσεως ἔλαττον τῶν κε΄ ἐνιαυτῶν, καὶ περὶ πληθυντικῆς ὑποκαταστάσεως, καὶ περὶ πεκουλίων αὐτῶν, καὶ περὶ τῆς ἀφηλίκων ἀποκαταστάσεως.

1. Ἡ ἁρμόζουσά τινι ἀποκατάστασις παραπέμπεται καὶ ἐπὶ τοὺς αὐτοῦ κληρονόμους[4].

2. Πάντες γενικῶς οἱ ἐξ ἀνάγκης ἀπολιμπανόμενοι ἀποκαθίστανται, οὐ μόνον ἐφ᾽ οἷς ζημιοῦνται, ἀλλὰ καὶ ἐφ᾽ οἷς οὐ κερδαίνουσιν[5].

3. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ᾽ ἐν οἷς ὑφ᾽ ἑαυτῶν ἢ ὑφ᾽ ἑτέρων ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες[6].

4. Εἰσὶ ζητήσεις ἐν τῷ περὶ ἀποκαταστάσεως ἀγῶνι καὶ πρώτη ἐστὶν, εἰ ἀφῆλιξ ὢν ὁ νέος συνήλλαξε· δευτέρα, εἰ ὁ καιρὸς τῆς ἀποκαταστάσεως παρῆλθε καὶ οὐκ ὀφείλει λοιπὸν βοηθείας τυχεῖν.

5. Ὁ ἀφῆλιξ συναλλάξας καὶ τὸν σωματικὸν ὑπερτελέσας

---

[1] Bas. LX, 42, 2. 9. [2] Bas. ib. 13. [3] Bas. XLV, 1, 36. [4] Proch. XXXI, 5. [5] Basil. X, 36, 28. [6] Proch. h. t. 2.

ὅρκον τοῦ μὴ ἀνατρέπειν τὸ συνάλλαγμα, τουτέστι κατὰ τῆς πράσεως, οὔτε ἀπὸ θείας ἀντιγραφῆς βοηθεῖται[1].

6. Ὁ ἀφῆλιξ ἐπιβὰς τῇ τελευταίᾳ ἡλικίᾳ ἤγουν τῇ τῶν κε´ ἐτῶν καὶ μὴ παραχρῆμα τὴν ἄνευ δεκρέτου[2] πρᾶσιν μεμψάμενος, προλήψει βεβαιοῖ ταύτην.

7. Ὁ ἐξομνύμενος ἐν συμβολαίῳ μείζων εἶναι οὐ βοηθεῖται[3].

8. Τὴν κατὰ συναίνεσιν γινομένην τῶν κοινῶν πραγμάτων διανέμησιν μόνοι οἱ ἐλλάττονες τῶν κε´ ἐνιαυτῶν ἀνατρέπουσιν[4].

9. Ὁ ἀφῆλιξ ἐν τοῖς ἁμαρτήμασιν οὐ συγγινώσκεται[5].

10. Ἐν οἷς οἱ ἐλάττονες βοηθοῦνται, καὶ οἱ κληρονόμοι αὐτῶν βοηθοῦνται, καὶ ἐφ᾽ οἷς ἐζημιώθησαν οἱ ἐλάττονες, ἀλλὰ καὶ ἐφ᾽ οἷς οὐκ ἐκέρδησαν[6].

11. Ὁ ἔλαττον τῶν κε´ ἐνιαυτῶν ὑπὸ τῶν ἐπάρχων τῶν πραιτωρίων καταδικασθεὶς οὐ δύναται παρ᾽ ἄλλου ἄρχοντος αἰτεῖν ἀποκατάστασιν κατὰ τῆς ἀποφάνσεως[7].

12. Κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις, ἐπειδη λαμβάνει παρὰ τοῦ ἐλευθερωθέντος ἢ ἐλευθεροῦντος ὁ πούπιλλος τὸ τίμημα[8].

13. Ἐκεῖνα ἐνοχῇ συνίστανται τὰ δυνάμενα χρήμασι διαλύεσθαι· ἐλευθερία δὲ χρήμασιν οὐδὲ λυτροῦσθαι οὐδὲ ἀγοράζειν[9] δύναται[10].

14. Ἐὰν ὁ ἔλαττον τῶν κε´ ἐνιαυτῶν δανείσῃ ἄλλῳ ἐλάττονι καὶ δαπανήσῃ, καὶ ποιήσῃ αὐτῷ μετὰ τοῦτο ὁμολογίαν, τῷ ζημιωθέντι δίδοται ἀποκατάστασις. εἰ δὲ ἀμφότεροι περιεγράφησαν, βέλτιον ἐστιν ἡ αἵρεσις τοῦ ἐναγομένου[11].

15. Οὐκ ἀποκαθίσταταί τις δεύτερον ταῖς αὐταῖς δικαιολογίαις χρώμενος, ἀλλὰ καὶ ἄλλαις ὀφείλει χρήσασθαι[12].

16. Ὁ ἔλαττον τῶν κε´ ἐνιαυτῶν τιμηθεὶς λεγάτον ἐπὶ τῷ μὴ ἀπαιτηθῆναι τῷ χρεώστῃ[13] αὐτοῦ ἔξεστιν αὐτῷ καὶ λαβόντι τὸ λεγάτον ἀπαιτῆσαι τὸ ἴδιον χρέος· ἀναδιδοὺς τὸ λεγάτον, ὅπερ ἔλαβε. τοῦτο δὲ τῷ μείζονι[14] ποιεῖν οὐ δύναται.

17. Διατίμησιν προικὸς περιγραφεῖσαν ἀφῆλιξ[15] βοηθεῖται.

---

[1] Cod. II. 27, 1. — Haec ut et sequentia pleraque ex Epitome sumta sunt. [2] Cod. supra lineam: ψήφου, βουλῆς. [3] Cod. II, 42, 3. [4] Cod. III, 37, 4. [5] Dig. IV, 4, 9 §. 2 et 9. Cod. II, 34, 1. [6] Dig. IV, 4, 18 §. 5. [7] Dig. I, 11, 1 §. 2. [8] Dig. IV, 4, 9 §. 16. Cod. II, 30, 2. [9] Lege ἀγοράζεσθαι. [10] Dig. XL, 7, 9 §. 2. [11] Cf. Dig. IV, 4, 11 §. 6. [12] Cod. II, 43, 3. [13] Lege λεγάτῳ — τὸν χρεώστην. [14] Lege ὁ μείζων. [15] Epitome: Διατιμήσει πρ. περιγραφεῖσα ἡ ἀφ.

18. *Κατὰ ψήφου δίδοται ἀποκατάστασις. κινεῖται δὲ ἐντὸς τῆς ἀποκαταστάσεως ἡ ἁρμόζουσα τῷ νέῳ ἀγωγή.*

19. *Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε΄ ἐτῶν κατὰ τῶν πραθέντων αὐτῶν ἐνεχύρων παρὰ τῶν ἰδίων δανειστῶν, εἰ [μὴ] ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε, καὶ οὐκ αὐτοί*[1].

20. *Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται δι᾽ ἰδικὸν αὐτοῦ χρέος ἢ διὰ πατρῷον ἢ διὰ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως*[2].

21. *Τῷ τῆς ἀποκαταστάσεως ῥήματι καὶ καρποὶ περιέχονται, κἂν μὴ τοῦτο ῥητῶς ἐκφωνηθῇ*[3]. *ὥστε μετὰ τὸ τιμηθῆναι*[4] *τὴν ἀγωγὴν τοῦ ἀποκατασταθέντος πράγματος ἢ κτήματος. ἀφ᾽ οὗ γὰρ καιροῦ ἐνήγαγέ τις περί τινος, μετὰ τὴν ἀποκατάστασιν ζητεῖ καὶ τοὺς καρπούς.*

22. *Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες, ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες*[5].

23. *Ἡ μὲν τοῦ ἀνηλίκου πρὸς ἄνθρωπον χαριστικὴ ὥρισται τῷ νόμῳ, μεθ᾽ ὅσον χρόνον τὴν βεβαίωσιν ἔχει. ἡ δὲ τούτου πρὸς θεὸν τῶν κτημάτων ἀφιέρωσις, μεθ᾽ ὅσον χρόνον αὐτὸς μονάζειν δύναται καὶ ὅλον ἑαυτὸν μετὰ τῆς περιουσίας ἀνατιθέναι τῷ θεῷ, κατὰ τοῦτον τὸν χρόνον, καὶ εἰ μὴ ἑαυτὸν ὅλον ἀναθήσει τῷ θεῷ, ἀλλά τι τῶν αὐτοῦ κτημάτων, ἀμεταμέλητον ὥσπερ ἑαυτὸν, οὕτω καὶ ὃ προσήνεγκε τῶν αὐτοῦ, μετὰ τὴν ἀφιέρωσιν καὶ μεταμελούμενος ἀπεργάζεται*[6].

24. *Εἰ εἴποι ἑαυτὸν μείζονα ὁ ἥττων κατὰ πλάνην, οὐδὲν ἧττον ἀποκαθίσταται*[7].

25. *Μόνος ὁ βασιλεὺς σπανίως, οὐ μὴν ὕπατοι ἢ ἄρχοντες, ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικῆσαι*[8].

26. *Ὁ ἥττων συγγνώμην ἡλικίας αἰτήσας δύναται ἀνατρέψαι ὃ κακῶς ἐπώλησεν εἴσω ἐνιαυτοῦ μετὰ κε΄ ἔτη. ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται αὐτὸ ἀνατρέψαι τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα εἴσω τοῦ εἰρημένου χρόνου*[9].

27. *Τοῦτο δὲ τὸ προνόμιον καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται*[10].

---

1 Proch. h. t. 1. 2 Proch. h. t. 3. 3 Dig. L, 17, 173 §. 1. 4 Forte *τμηθῆναι*. Sed ne sic quidem corruptela hujus loci sanatur. 5 Proch. h. t. 4. 6 Epan. XXXVIII, 20. 7 Proch. h. t. 6. 8 Bas. X, 4, 3 th. 1. 9 Proch. h. t. 7. 10 Proch. ibid.

28. Ἐὰν δὲ χαρίσηταί τι ἀφήλιξ τινὶ πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν τὰ κε΄ ἔτη ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα[1].

29. Ὁ ἀφήλιξ οὐ δωρεῖταί τινι πώποτε.

30. Οἱ ἀφήλικες ὅσα πράξουσιν ἐν ἀφηλικιότητι εἰς περιγραφὴν ἑαυτῶν, δύνανται ἀνακαλεῖσθαι μετὰ τὸν κε΄ χρόνον τῆς ἡλικίας αὐτῶν δι᾽ ἑτέρων δ΄ ἐνιαυτῶν, εἰ εἰς βλάβην αὐτῶν τὰ πράγματα γεγόνασιν. ἐφ᾽ οἷς δὲ περιγραφῶσιν οἱ ἀφήλικες ἐν ἀτελεῖ τῇ ἡλικίᾳ πράξαντες δι᾽ ἑαυτῶν, ἔχουσι τὴν τετραετίαν μετὰ τὸ γενέσθαι ἐνήλικες, ὥστε δι᾽ αὐτῆς ζητεῖν τὴν ἀποκατάστασιν, ἤγουν ἄχρις οὗ γένωνται χρόνων κθ΄. περαιτέρω δὲ οὐδαμῶς.

31. Ὁ στρατιώτης ἐντὸς ἐνιαυτοῦ ὑποστρέφων ἔχει ἀποκατάστασιν μὴ ἀντικειμένης αὐτῷ παραγραφῆς. ἀλλ᾽ ἴσθι ὅτι οὐκ ἀποκαθίσταται στρατιώτης, εἰ μὴ εἰς ἃ ἐζημιώθη[2].

32. Ὁ ἥττων στρατιώτης τετραετίαν ἔχει [πρὸς] ἀποκατάστασιν, καὶ ἐὰν τελευτήσῃ ἐπὶ τῇ στρατείᾳ, παραπέμπει τὸ δίκαιον τῆς ἀποκαταστάσεως ἐπὶ τοὺς ἰδίους κληρονόμους[3].

33. Ἐὰν οἱῳδήποτε πράγματι[4] εἰς υἱὸν ἢ θυγατέρα ἢ ἐγγόνους ἢ προεγγόνους ἑκατέρας φύσεως ὑπεξουσίους ὄντας ἀπὸ α΄ ἢ β΄ ἢ γ΄ γάμου ἢ πολυαριθμήτου τουτέστι πολλοστοῦ γάμου περιήλθοσαν πράγματα[5] ἀπὸ οἱασδήποτε δωρεᾶς ἢ κληρονομίας ἢ ληγάτου ἢ φιδικομίσου[6], τῶν τοιούτων πραγμάτων ὁ πατὴρ ἢ ὁ πάππος τὴν χρῆσιν ἐχέτωσαν[7]. ἐν τούτοις δὲ καὶ οἱ ὑπεξούσιοι νομίμως διατιθέσθωσαν.

34. Ἐὰν ὑπεξούσιόν με ὄντα βούληταί τις γράψαι κληρονόμον, ἐγὼ δὲ παρασκευάσω ἄλλον γραφῆναι κληρονόμον, ἵνα ὅταν γένωμαι αὐτεξούσιος ἀποδοθῇ μοι ὁ κλῆρος, οὐ προσπορίζεται τῷ πατρί μου ἡ ἁρμόζουσα κατὰ τοῦ μέσου ἀγωγή. ἐν ᾧ ἀγωγῇ ἀγαθὴ πίστις διαμάχεται[8], οὐδὲν προσπορίζει τῷ πα τρί μου[9].

35. Μέχρι τῶν ἐννάτων τὸ ἀνενόχλητον ἔχουσιν οἱ τοῦ τελευτήσαντος κληρονόμοι καὶ οἱ παῖδες καὶ οἱ συγγενεῖς καὶ ἡ γαμετὴ αὐτοῦ· καὶ εἴτε ἐγγυητὰς ἀσφαλείας τινὸς ἐν τῷ

---

[1] Proch. h. t. 8. [2] Cod. II, 90, 3. 8. [3] Cod. cit. 1. [4] Lege οἱῳδή ποτε πρᾶγμα. [5] Epit. περιῆλθεν ἀπὸ πράγματος. Lege περιῆλθεν ἀπὸ προικὸς ἤ. [6] Lips. supra lineam: πίστει καταλειφθέντος. [7] Cod. VI, 61, 4. [8] Cod. ἀγωγὴν ἀγαθὴν π. διαδέχεται. [9] Dig. XXVIII, 5, 46.

μεταξὺ ἀπήτησαν, ἀντ᾽ οὐδενὸς λογισθήσονται, κἄντε ἐπερωτηθῇ κἄντε μή[1].

36. *Μὴ ὑπερβαινέτο τὸν ἐνιαυτὸν ἡ κινουμένη δίκη προφάσει τοῦ μὴ πληρωθῆναι τὰ βεβουλευμένα τῷ τεστάτορι*[2].

37. *Οἱ ἐλάττονες καὶ ἐν ταῖς σεσοφισμέναις πράσεσι καὶ ἐν ταῖς τῶν ἐπιτρόπων ἤγουν τῶν κουρατόρων ἐπιβουλαῖς καλῶς αἰτοῦσιν ἀποκατάστασιν*[3].

38. *Εἰ ἐλάττων τῶν κε᾽ ἐνιαυτῶν ὑπάρχων τῷ ἀγοραστῇ τοῦ κτήματος ἀσφάλειαν ἐξέθου, μηδεμίαν τοῦ λοιποῦ κατ᾽ αὐτοῦ ποιοῦ φιλονεικίαν*[4].

39. *Οἱ ἀφήλικες ἕως πεπληρωμένου τοῦ κέ ἔτους εἰσὶ, καὶ μέχρι τότε τελοῦσιν ὑπὸ κουράτορα, καὶ ὅσα παρ᾽ αὐτῶν πραχθῶσιν, εἴτε ἐπὶ πράσει, εἴτε ἐπὶ μισθώσει, εἴτε ἐπ᾽ ἄλλοις συναλλάγμασιν, οἷς προέφημεν, ἢ ἐν δικαστηρίῳ δικασάμενοι ἀπολογίζονται κακῶς, καὶ περιγραφῶσιν ἤτοι βλαβῶσι περὶ τὰ ἴδια δίκαια, δύνανται αἰτεῖν ἀποκατάστασιν, ὥστε πάλιν ἀναλαβεῖν τὰ ἴδια καὶ ἔχειν αὐτὰ, ἀναλαβεῖν δὲ καὶ τὴν καταδίκην, ἵνα ὡς ἐξ ἀρχῆς δικάζωνται. δίδοται δὲ αὐτοῖς ἡ ἀποκατάστασις παρὰ τοῦ δικαστοῦ τῆς αἰτίας διαγινωσκομένης*[5].

40. *Τὸ αὐτὸ προνόμιον ἔχει καὶ ὁ κατὰ φόβον τινὸς ἢ βίαν πράξας τὶ, οἷον πωλήσας ἢ ἀγοράσας ἢ ὁμολογήσας χρεωστεῖν, ἢ ἑτέρως χείρονα τὴν ἰδίαν ποιήσας αἵρεσιν. ὁμοίως δὲ καὶ ὁ ἐν ἀποδημίᾳ τοιοῦτόν τι πεπονθὼς καὶ ὁ κατὰ πλάνην δικαίαν. καὶ οὗτοι ἀποκαθίστανται εἰς τὸ λαβεῖν τὰ ἴδια*[6].

41. *Οὐ πάντα τὰ παρὰ τῶν νέων γινόμενα ἀνατρέπεται, ἀλλ᾽ ὅτε δόλος ἐστὶ προφανὴς ἢ ῥαθυμία αὐτῶν μεγάλη*[7].

42. *Δίδοται τοῖς ἀφήλιξιν ἡ συγγνώμη τῆς ἡλικίας, σεμνοῦ βίου καὶ ὑπολήψεως μαρτυρουμένης χρηστῆς, τοῖς μὲν ἄῤῥεσι μετὰ τὸ πληρῶσαι τὸν εἰκοστὸν χρόνον τῆς ἡλικίας, ταῖς δὲ θηλείαις μετὰ τὸν ὀκτωκαιδέκατον, ἐφ᾽ ᾧ δι᾽ ἑαυτῶν πράττειν τῶν ἰδίων τὴν διοίκησιν· ἀκίνητον δὲ μέχρι τελείας ἡλικίας μὴ ἐκποιεῖσθαι*[8].

43. *Ἐὰν ἀνηλίκου πρᾶγμα πωλήσῃ μοι ἕτερος, ἀγνοοῦντός μου αὐτὸ εἶναι καὶ ὀρφανοῦ, καὶ μετὰ τὸ γενέσθαι αὐτὸν κε᾽*

---

[1] Athan. ex Nov. 115. [2] Nov. 1. c. 4. — Lips. supra lineam *τῷ διαθεμένῳ*. [3] Cod. II, 27, 2. [4] Cod. II, 27, 1. [5] Att. IV, 3. 4. [6] Att. cit. 5. [7] Bas. X, 4, 24 th. 2 [8] Att. cit. 6.

ἐνιαυτῶν ἔσωθεν δέκα ἐτῶν οὐ κινήσῃ, ἀλλ᾽ ὁρῶν τὸ ἴδιον παρ᾽ ἑτέρου κατεχόμενον σιωπήσῃ, ἀποκλείεται.

44. *Ἐὰν ἀνήλικος πωλήσῃ μοι πρᾶγμα αὐτοῦ καὶ μετὰ τὸ γενέσθαι αὐτὸν ἐνήλικον ἐντὸς τετραετίας οὐ κινήσῃ τὸ ἀποκαταστατικὸν δίκαιον ἤγουν ἵνα ἀποκαταστήσῃ*[1] *ἑαυτῷ τὸ πρᾶγμα, μετὰ τὸν κθ΄ ἐνιαυτὸν οὐ δύναται κινεῖν.*

45. *Ἐὰν ὑπεξούσιος υἱὸς καθίσταται τῷ πατρὶ, ὁ δὲ πατὴρ πωλήσῃ τὰ μητρῷα αὐτοῦ κτήματα, οὐ δύναται ζῶντος μὲν τοῦ πατρὸς κινεῖν, μετὰ δὲ θάνατον τοῦ πατρὸς ἔχει εἰς βοήθειαν τὸν τριακονταετῆ χρόνον.*

46. *Ὅτι μόνος ὁ βασιλεὺς σπανίως, οὐ μὴν οἱ ὕπατοι ἢ οἱ ἄρχοντες, ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικεῖν*[2].

47. *Ἐδωρήθη πρᾶγμα τοῦ ἀφήλικος δίχα ἀποφάνσεως τοῦ ἄρχοντος, καὶ ὁ λαβὼν κατὰ δωρεὰν αὐτὸ πέπρακεν ἑτέρῳ τινί. λέγει οὖν ἡ διάταξις, ὅτι ἐπειδὴ εὔλογον τί[τλον] νομῆς ἔσχεν ὁ ἀγοραστὴς, ἐὰν μετὰ τὸ γενέσθαι μείζονα τὸν νέον ἢ παρόντος αὐτοῦ δεκαετίαν ἐνεμήθη ὁ ἀγοραστὴς ἢ ἀπόντος αὐτοῦ εἰκοσαετίαν, ἀντιτιθεμένης τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς τὸν ἐνάγοντα χρὴ ἀποκλείεσθαι*[3].

48. *Ἐὰν ἡ πρᾶσις χωρὶς ἀποφάνσεως γέγονε, καὶ μὴ μείζων γενόμενος ἐβεβαίωσε τὴν πρᾶξιν ὁ ἀφήλιξ, μηδὲ διὰ χρονίας κτήσεως κυρίως ἐκτήσατο τὸ πρᾶγμα ὁ ἀγοραστὴς ὁ κακῇ πίστει ἀγοράσας, ἀποδίδωσιν αὐτὸ μετὰ τῶν καρπῶν*[4].

49. *Ἐάν τις κατηγόρησέ μου ἤδη ἢ ἠπείλει κατηγορεῖν μου, καὶ ἵνα μὴ κατηγορηθῶ παρ᾽ αὐτοῦ ἢ ἵνα παύσηται τῆς ἀρχθείσης κατηγορίας ἢ ἐξεποίησα αὐτῷ τίποτε ἢ ἐπερωτήθην αὐτῷ ἤ τι τῶν ἐμῶν εἴασα αὐτῷ, οὐ δύναμαι ταῦτα ἀνατρέπειν ὡς φόβῳ γινόμενα, ἀλλὰ δοκῶ καὶ ἀναίσχυντόν τι ποιεῖν ἐπιχειρῶν ταῦτα ἀνατρέψαι*[5].

Τίτλος λβ΄. Περὶ φαλκιδίου καὶ ἀμέτρων δωρεῶν.

1. *Φαλκίδιός ἐστιν ἄχρι μὲν τεσσάρων παίδων τὸ τρίτον μέρος τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ ὄντων τῶν παιδίων τὸ ἥμισυ. ἐν τούτῳ γοῦν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει*

---

[1] An *ἀποκαταστήσω;* [2] Bas. X, 4, 3 th. 1. [3] Bas. X, 4, 63.
[4] Bas. ib. 65. [5] Basil. X, 2, 33.

μέρει ὑπεισέρχονται ὅσοι ἂν ὁρισθῶσι πρὸς φαλκίδιον, μετὰ τὴν λοιπὴν ὑπόστασιν κατὰ τὴν τελευταίαν διάταξιν κληρονομοῦντα. καὶ οἱ γονεῖς μεθὸ καταλίπωσι τὸ ἁρμόζον ἐκ τοῦ τρίτου μέρους ἢ τοῦ ἡμίσεως τῷ παιδὶ ἢ τοῖς παισὶ, τὸ πλέον, ἤ τὸ δίμοιρον τῆς οὐσίας ἢ τὸ ἥμισυ, οἷς ἂν βούλωνται, καταλιμπάνουσι καὶ φιλοτιμοῦνται. τοῦτο δὲ ἐπενοήθη τῷ φαλκιδίῳ νόμῳ προνοίᾳ τῶν παίδων, ἵνα οἱ φυσικοὶ κληρονόμοι πρότερον θεραπευθῶσι τὰ εἰκότα, καὶ μὴ ἀπόκληροι γίνωνται, εἰ μὴ ἀχάριστοι ἀπελεγχθεῖεν[1].

2. *Ὁ κυοφορούμενος ἀντὶ τεχθέντος ἐστὶν, ἐν οἷς ἑαυτὸν καὶ οὐχ ἕτερον ὠφελεῖ. ἀμέλει τοῦ πατρὸς αὐτοῦ δημευομένου λαμβάνει μέρος τῆς οὐσίας ἤγουν τὸ τρίτον. εἰς δὲ τὸ ἕτερον συμβάλλεσθαι*[2] *καὶ ἀντὶ τεχθέντος οὐ παραλαμβάνεται. οὐδὲ γὰρ συμβάλλεται εἰς ἐξκουσατίωνα τῷ φύσαντι ὁ κυοφορούμενος*[3].

3. *Ὅτι πᾶς ἄνθρωπος πρὸς τὸν νόμον ἰδιώτης ἐστὶν χωρὶς βασιλέως.*

4. *Τὰ ὑπὲρ τὸν φαλκίδιον καταλειφθέντα οὐ ῥεπετιτεύεται τουτέστιν οὐκ ἀναστρέφεται, διὰ τὸν κανόνα τὸν λέγοντα· ὅτι ὁ ἀγνοίᾳ τοῦ φαλκιδίου πλείονα καταβαλὼν οὐ ῥεπετιτεύει*[4].

5. *Καὶ πάλιν εἰ ὁ κληρονόμος φάκτον ἀγνοήσας οὐκ ἐχρήσατο τῷ φαλκιδίῳ, καὶ διὰ τοῦτο πλέον κατέβαλε, δύναται ῥεπετιτεύειν τουτέστιν ἀναστρέφειν*[5].

6. *Κανών ἐστιν ὁ λέγων· ὅσα ἀπὸ ὑπερθέσεως κερδαίνει ὁ κληρονόμος, ψηφίζονται εἰς τὸν φαλκίδιον.*

7. *Καρποὶ οὓς εὗρε πεπείρους ὁ κληρονόμος, αὔξουσι τὸν κλῆρον ἐν τῷ φαλκιδίῳ, οὐ μὴν τὸ ἐν τῇ γαστρὶ τῆς δούλης. τὸ γὰρ μήπω τεχθὲν οὔπω ἄνθρωπος νοεῖται*[6].

8. *Οἱ μέντοι ἐν μέσῳ καρποὶ μειοῦσι τὸ χρέος· τῆς γὰρ ἐν καιρῷ τελευτῆς οὐσίας χρεωστοῦμεν τὸ γ'*[7]. *κἂν ἀπὸ παντὸς προσώπου καὶ πράγματος κρατῇ ὁ φαλκίδιος χωρὶς δανειστοῦ*[8].

9. *Ὁ κληρονόμος τότε ποιεῖν ὑπέρθεσιν δοκεῖ, ὅτε καταδικάζεται τόκον ἀπαιτεῖσθαι τοῦ ληγάτου, ὅτε μετὰ τὴν ψῆφον*

---

[1] Proch. XXXII, 1. Cf. Att. XXVI. [2] Epit.: *τινα ἕτερον οὐ συμβάλλεται.* [3] Dig. I, 5, 7 ex Epitome. [4] Dig. XXII, 6, 9 §. 5. [5] Cod. VI, 50, 9. [6] Dig. XXXV, 2, 9. [7] Dig. XXXV, 2, 15 §. 3. [8] Cod. VI, 50, 2. Lege *καὶ — παρακρατεῖται.*

καὶ τὸν τετραμηνιαῖον χρόνον ὑπέρθεσιν ἐποίησεν. εἰ δὲ ἐτρακτάϊσε μήποτε ὁ φαλκίδιος χώραν σχῇ, οὐκ ἔδοξεν ὑπέρθεσιν ποιεῖν[1].

10. Ἐὰν ὁ κληρονόμος μὴ προκαταβάλῃ τὸ προστεταγμένον αὐτῷ ὑπὸ τοῦ τεστάτορος ἐντὸς ἐνιαυτοῦ, ψηφιζομένου μετὰ τὴν ὑπόμνησιν ὑπὸ δικαστοῦ, ἐκπίπτει τῆς κληρονομίας[2].

11. Ὁ γραφεὶς κληρονόμος, καὶ κελευσθεὶς ἀρκεσθῆναι ῥητοῖς πράγμασιν, ἀναπληροῦται τὸ λεῖπον τοῦ φαλκιδίου, ἐὰν οὐκ ἐπαρκῶσιν αὐτῷ τὸ ἐαθέντα εἰς τετραούγγιον[3].

12. Ὁ ἀποκαθιστῶν κληρονομίαν ὀφείλει ἔχειν τὸν φαλκίδιον. κἂν ἐαθῇ αὐτῷ ῥητὸν πρᾶγμα παρὰ τοῦ ἑστῶτος[4] καὶ οὐκ ἀναλογῇ πρὸς τὸν φαλκίδιον, λαμβάνει τὸ λεῖπον[5].

13. Ὁ πατὴρ ἀναγκάζεται εἰς τὴν νόμιμον μοῖραν ἐνιστᾷν τοὺς αὐτοῦ κληρονόμους, εἰ μὴ ἄρα ἀχάριστοι ὀφθῶσι. τοὺς γὰρ ἀχαρίστους καλῶς καταλιμπάνει ἀκληρονομήτους· προστιθέμενος μέντοιγε ἐν τῇ ἰδίᾳ διαθήκῃ τὰς τούτων ἀχαριστίας, ἃς ὀφείλει δεῖξαι ὁ κληρονόμος αὐτοῦ, ὅτι ἀχάριστοί εἰσιν οἱ παραλειφθέντες[6].

14. Ἐὰν ὁ ἀνὴρ τῇ γυναικὶ [ἐν] συνεστῶτι τῷ γάμῳ δωρήσηται καὶ ἐν τῇ ἰδίᾳ διαθήκῃ βεβαιώσῃ τὴν δωρεάν, χώρα γίνεται τῷ φαλκιδίῳ[7].

15. Ὅτε τῇ γυναικὶ ληγατεύεται ἡ προὶξ αὐτῆς, οὐ μειοῦται τῷ φαλκιδίῳ τὸ λεγάτον[8]. εἰ δὲ ἕτερόν τι πρὸς τῇ προικὶ λεγατευθῇ ἐπάνω, εἰς τοῦτο ὑπομένει φαλκίδιον ἡ γυνή.

16. Ἐὰν ὁ πενθερὸς ὑποδεξάμενος προῖκα τῆς νύμφης αὐτοῦ τῷ ἰδίῳ υἱῷ ληγατεύσῃ τὴν προῖκα τουτέστι τῷ ἀνδρὶ αὐτῆς, οὗτος ὑπομένει φαλκίδιον ἐν τῇ προικὶ, καὶ εἰ μὲν κληρονόμος ἐστὶ τοῦ πατρὸς, ἀπαιτεῖ ἐκ τῶν συγκληρονόμων εἴ τι ἐκ τοῦ φαλκιδίου ἐμείωσε τὴν προῖκα, κἂν ἐξερεδάτος γέγονε τουτέστιν ἄκληρος[9].

17. Τὰς ἀμέτρους δωρεὰς ἡ προὶξ οὐκ[10] ἀνατρέπει ἡ δινοφφικιόσο τουτέστιν ἡ μέμψις τοῦ τεστάτορος.

18. Θεσπίζομεν μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας ἀμνημονεύτους καταλιμπάνειν ἢ ἀκλήρους ἐν τῇ ἰδίᾳ

---

[1] Dig. XXII, 1, 3 pr. [2] Theod. Nov. 1 §. 8. [3] Theod. Nov. 115 §. 11. [4] Lege τεστάτορος. [5] Cod. VI, 50, 11. [6] Theod. Nov. 115 §. 3. [7] Cod. VI, 50, 12. [8] Dig. XXXV, 2, 81 §. 1. 2. [9] Dig. XXXIV, 4, 1 §. 10 sqq. [10] Lege ἢ προῖκας.

ποιεῖν διαθήκῃ, κἂν οἱασδήποτε δωρεὰς ἢ ληγάτα ἢ φιδικόμισσα ἢ ἄλλου οἱουδήποτε τρόπου τὴν ἐκ τῶν νόμων αὐτοῖς ὀφειλομένην παρέχῃ, ἐὰν μὴ τυχὸν ἀχάριστοι ἀποδειχθῶσιν[1].

19. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος, καὶ τὴν περὶ τὴν κηδείαν δαπάνην, καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν, καὶ λοιπὸν τὸ ὑπόλοιπον δεῖ σκοπεῖν, πόσον ἐστί. τοῦτο γὰρ νομίζεται ἡ καθαρὰ οὐσία, καὶ ταύτης τὸ τρίτον παρακατέχεται[2].

20. Ὁ φαλκίδιος ἐν τοῖς ὑπεξουσίοις καὶ εὐχαρίστοις παισὶ προνοίᾳ τῶν εὐχαρίστων παίδων ἐπενοήθη, οὐ μὴν δὲ καὶ εἰς τοὺς αὐτεξουσίους γεγονότας καὶ κληροδοτηθέντας παρὰ τῶν γονέων. ἐν τούτοις γὰρ ὁ φαλκίδιος νόμος οὐχ ἁρμόζει. ἁρμόζει δὲ μᾶλλον, ὡς εἴπερ ἀμνημόνευτοι ἐαθῶσιν ἐν διαθήκαις, συνεισφέρειν ἃ προέλαβον καὶ ἀνακοινοῦν ταῦτα μετὰ ἑτέρας πατρικῆς ἢ μητρικῆς ὑποστάσεως, καὶ ἐπιμερίζειν κατ' ἰσότητα πάντα μετὰ τῶν λοιπῶν ἀδελφῶν τῶν ὑπεξουσίων μεινάντων παρὰ τῷ πατρὶ ἢ τῇ μητρὶ καὶ μὴ κληροδοτηθέντων. οἱ γὰρ κληροδοτηθέντες καὶ αὖθις ἐνδιαθήκως μνημονευθέντες οὐ δύνανται ἀνατρέπειν τὰς ἐπιτελευτίους διατάξεις τῶν πατέρων αὐτῶν. μητέρας δὲ νόει ἐνταῦθα τὰς μὴ δευτερογαμούσας, τὰς ἐχούσας τὸ ἀπὸ νόμου δίκαιον ἐπιτροπεύειν καὶ διοικεῖν τὰ τῶν παίδων πράγματα.

21. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἢ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν ἂν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ ἂν οὐδὲν ἔτι ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξανομένου τοῦ μέτρου, καθόσον καὶ τὰ πράγματα εἶχον τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη. οὐ δυναμένων τῶν ἐπὶ ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου· ἀλλ' οὐκ ἀναγκαζομένων μὲν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθόσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ νόμων αὐτοῖς ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμε-

---

[1] Nov. 115 c. 3. [2] Proch. h. t. 3.

τρίαν· ὅπουγε ἔξεστι τῷ πατρὶ, μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν γονὴν, καὶ τοῖς παρ᾽ αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον, καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους ἀμετρίας βλάψαι, καὶ τὸν ἡμέτερον παραβῆναι σκοπόν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἐπάγει ἀχαριστίαν. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη, καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια, οὐδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα[1].

22. Ἔστω ἡ περιουσία λ′ λιτρῶν. ὁ τελευτῶν ἐχέτω ἕνα παῖδα. ὁ βουληθεὶς τοῦτον καταγαγεῖν εἰς φαλκίδιον τὸ γ′ διδότω αὐτῷ τουτέστι τὰς ι′ λίτρας. εἰ δὲ β′ παῖδες καθίστανται αὐτῷ καὶ αἱρεῖται φαλκιδίῳ καθυποβαλεῖν τὸν ἕνα, τὸ ϛ′ καταλιμπανέτω αὐτῷ τουτέστι τοῦ γ′ τὸ ἥμισυ, τὰς ε′ λίτρας. εἰ δὲ τοὺς β′ φαλκιδιοῖ, τὸ γ′ ἐξίσου διδότω αὐτοῖς. εἰ δὲ γ′ παῖδας ἔχει καὶ μέλλει φαλκιδιῶσαι τὸν ἕνα, τὸ ἔνατον παρεχέτω αὐτῷ, τουτέστι τοῦ γ′ τὸ γ′ διδότω αὐτῷ, ὅπερ ἐστὶ λίτρας γ′ νομίσματα κδ′. εἰ δὲ τοὺς β′ πρὸς φαλκίδιον κατάγει, τὸ δίμοιρον τοῦ γ′ παρεχέτω αὐτοῖς, ὅπερ ἐστὶ λίτρας ϛ′ νομίσματα μη′. εἰ δὲ τοὺς τρεῖς φαλκιδιοῖ, τὸ ὅλον τρίτον δίδωσι τουτέστι τὰς ι′ λίτρας. εἰ δὲ τέσσαρας παῖδας ἔχει, καὶ βούλεται τὸν α′ φαλκιδιῶσαι, τὸ δ′ παρεχέτω αὐτῷ, ὅπερ ἐστὶ λίτρας β′ ἥμισυ. εἰ δὲ τοὺς β′ βούλεται φαλκιδιῶσαι, τὸ ἥμισυ τοῦ τρίτου παρεχέτω, ἤτοι λίτρας ε′. εἰ δὲ τοὺς γ′ βούλεται φαλκιδιῶσαι, τὰς γ′ μερίδας τούτοις παρεχέτω, ὅπερ ἐστὶ λίτρας ζ′ ἥμισυ. εἰ δὲ τοὺς δ′, τὸ ὅλον τρίτον δίδωσιν αὐτοῖς. εἰ δὲ ε′ παῖδας ἔχει, οὐκέτι πρὸς τὸ γ′ γίνεται ὁ φαλκίδιος, ἀλλὰ πρὸς τὸ ἥμισυ τῆς ὅλης οὐσίας· ἤγουν αἱ ἡμίσεις τῶν λ′ εἰσὶν ιε′, καὶ εἴγε λ′ λίτρας ἔχει καὶ ἕνα τῶν παίδων φαλκιδιοῖ, τοῦ ἡμίσεος οὗτος λήψεται τὸ ε′, ὅπερ ἐστὶ λίτρας γ′. εἰ δὲ β′ παῖδας θέλει φαλκιδιῶσαι, λίτρας ϛ′· εἰ δὲ γ′, θ′· εἰ δὲ δ′, ιβ′· εἰ δὲ ε′, ιε′. εἰ δὲ ἓξ παῖδες καθίστανται καὶ θέλει φαλκιδιοῦσθαι τὸν ἕνα, λαμβάνει τοῦ ἡμίσεος τὸ ϛ′ ἤγουν λίτρας β′ ἥμισυ. εἰ δὲ β′, λίτρας ε′. εἰ δὲ γ′, λίτρας ζ′ ἥμισυ. εἰ δὲ δ′, λίτρας ι′. εἰ δὲ ε′, λίτρας ιβ′ ἥμισυ. εἰ δὲ ϛ′, τὰς ιε′. εἰ δὲ ζ′ παῖδες καθίστανται καὶ μέλλει φαλκιδιοῦσθαι ὁ εἷς, λαμβάνει τοῦ ἡμίσεος τὸ ζ′ ἤγουν λίτρας β′ καὶ ἕβδομον. καὶ

[1] Proch. h. t. 4.

λοιπὸν ὁμοίως καθεξῆς ὅσοι μέλλουσι φαλκιδιοῦσθαι, τὴν αὐτὴν ποσότητα λαμβάνουσιν. εἰ δὲ η' παῖδες καθίστανται καὶ μέλλει φαλκιδιοῦσθαι ὁ εἷς, λαμβάνει τοῦ ἡμίσεος τὸ η'. ὁμοίως καὶ ὁ ἄλλος καὶ ὅσοι μέλλουσι φαλκιδιοῦσθαι, τὴν αὐτὴν ποσότητα λαμβάνουσιν.

23. Τοῦτο λέγει ὅτι ὁ διατιθέμενος ἐξουσίαν ἔχει, τὰς μὲν κ' λίτρας ὅπου ἂν θέλῃ καταλιμπάνειν αὐτὰς, οὐ μόνον ἵνα ἀφῇ τισιν, ἀλλὰ καὶ κατὰ βυθὸν ἵνα πέμπῃ αὐτά· τὸ δὲ γ' τῆς οὐσίας αὐτοῦ ἤγουν τῶν λ' λιτρῶν ἵνα λαμβάνῃ ὁ υἱὸς αὐτοῦ εἴτε καὶ ἄλλος τὶς ὃς ἂν ᾖ κληρονόμος. καὶ ἐὰν ἔχῃ β' παῖδας καὶ φαλκιδιοῖ τὸν α', λαμβάνει τὰς ε' λίτρας ἐκ τῶν ι' λιτρῶν, καὶ ὁ ἄλλος ὁμοίως τὰς ε', διότι ὅσοι ἐὰν ὦσι παῖδες, ὡς εἴρηται, ἐκ τῶν κ' λιτρῶν οὐδεὶς λαμβάνει τὶ, ἀλλὰ πάντες ἐκ τοῦ τρίτου ὀφείλουσι μερίζειν ἤγουν τῶν ι' λιτρῶν. ὡσαύτως δὲ καὶ ὁ μὴ φαλκιδιούμενος ἀδελφὸς λαμβάνει τὰς ε' λίτρας, καὶ οὐ δύναται λέγειν ὁ φαλκιδιούμενος ἀδελφὸς τῷ μὴ φαλκιδιουμένῳ, ὅτι σοὶ τὰς κ' λίτρας ὁ πατὴρ κατέλιπε καὶ ἀρκοῦσιν ἐκεῖναι, ἐμοὶ δὲ ἔασον ἐξ ὁλοκλήρου τὸ τρίτον ἤγουν τὰς ι'· ἀλλὰ μερίζει ἐξίσου ὡς εἴρηται τὰς ι' λίτρας, διότι τὰς κ' λίτρας ὁ πατὴρ ἐξουσίαν ἔχει ἵνα χαρίσῃ αὐτὰς ἐμοὶ μόνῳ. καὶ λαμβάνουσι καὶ οἱ ἄλλοι ἕξ[1] ἀδελφοὶ ὁμοίως ἀνὰ β' λιτρῶν καὶ νομισμάτων λϛ'. ὡς γὰρ εἴρηται τὰς κ' λίτρας ἐξουσίαν εἶχεν ὁ πατὴρ τοῖς γ' ἀποχαρίσαι παισὶν, εἰς δὲ τοῦ ἑνὸς παιδὸς τὸ φαλκίδιον εἰσελθεῖν καὶ αὐτοὺς κληρονόμους.

24. Ἐὰν ἐπὶ περιγραφῇ τῶν παίδων οἱ γονεῖς ἀμέτρως δωρήσωνται, καὶ τὸ ὅλον ἐξαντλήσωσιν εἴτε εἰς παῖδας εἴτε εἰς ἐξωτικοὺς, οἱ μηδὲν λαβόντες τὸ ὅλον ἀνατρέπουσιν, οἱ δέ τι λαβόντες ἀναπληροῦνται τὸ φαλκίδιον. εἰ δὲ μὴ ἐπὶ περιγραφῇ, καὶ οὕτως οἱ μὴ λαβόντες ἀλλὰ καὶ οἱ λαβόντες λαμβάνουσι τὸ φαλκίδιον.

25. Δύο τὶς ἔχων παῖδας καὶ γράψας αὐτοὺς κληρονόμους ἠξίωσε τὸν ἕνα αὐτῶν, ἐὰν ἄπαις τελευτήσῃ, τὴν πατρῴαν κληρονομίαν ἀποκαταστῆσαι τῷ ἑτέρῳ. ὁ δὲ ἄπαις τελευτῶν ἔγραψε τὸν ἀδελφὸν τὸν ἴδιον κληρονόμον, κατέλειψε καὶ ἑτέροις τισὶ ληγάτα. ἔλεγεν οὖν οὗτος, ὅτι ἄχρηστός ἐστιν ἡ διαθήκη, ἐπειδὴ πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἐχρεώστει. ἡ δὲ διάταξις λέγει, ὅτι ἄχρηστος μὲν οὐκ ἐστιν ἡ διαθήκη· τὴν γὰρ

---

[1] Sic Lips. Nonnulla excidisse videntur

πατρῴαν κληρονομίαν ἐχρεώστει σοὶ ὡς [ἀπὸ] ἀποκαταστάσεως τουτέστι παρὰ τὸ τρίτον· πλὴν λόγου γινομένου τοῦ φαλκιδίου ὡς χρέος ἴδιον ὑπεξεῖλε τὸ ἀπὸ τῆς ἀποκαταστάσεως σοι ἐποφειλόμενον καὶ τὰ λοιπὰ πρὸς τὸν φαλκίδιον κατέβαλε τοῖς ληγαταρίοις[1].

Τίτλος λγ'. Περὶ ἀποκλήρων.

1. Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι, ἢ βαρεῖαν καὶ ἀπρεπῆ αὐτοῖς ὕβριν ἐπαγάγοι, ἢ καὶ ἐπὶ ἐγκληματικαῖς αἰτίας αὐτῶν κατηγορήσοι ταῖς μὴ οὔσαις κατὰ βασιλέως ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ἀνθρώπων ὡς φαρμακὸς συναναστρέφεται, ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη, τὸν τοιοῦτον ἀπόκληρον εἶναι θεσπίζομεν[2].

2. Ἐὰν τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ὁ υἱὸς ἑαυτὸν ἐπιμίξοιτο, ἔστω ἀπόκληρος[3].

3. Εἰ συκοφάντης κατὰ τῶν γονέων οὗτος γένηται καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσει[4].

4. Εἰ ἐν ἀσθενείᾳ χρονίῳ κατακειμένων αὐτῶν ἢ γήρει καὶ ἀδυναμίᾳ καταντησάντων αὐτῶν ἀμελήσειαν τῆς τούτων φροντίδος οἱ παῖδες καὶ μετακαλούμενοι παρὰ τῶν γονέων μὴ βουληθεῖεν ἐπιμελείας αὐτοὺς ἀξιῶσαι[5].

5. Εἰ συμβῇ τινα τῶν εἰρημένων γονέων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτων διαδοχὴν ἐλθεῖν αἰτηθέντες ἤγουν ὁ εἷς ἐξ αὐτῶν μὴ βουληθεῖεν εἰς τὴν ἑαυτῶν ἐγγύην τοῦτον ὑποδέξασθαι ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται. τοῦτο μέντοιγε ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν εἰς τοὺς ἄῤῥενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα[6].

6. Εἰ ἐλεγχθείη τὶς τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην· ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀπόκληρον ποιεῖν. εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τὶς τελευτήσει, καὶ ἄλλοι,

---

[1] Basil. XLI, 1, 102. [2] Proch. XXXIII, 1. [3] Proch. h. t. 2. [4] Proch. h. t. 3. [5] Proch. h. t. 4. [6] Proch. h. t. 5.

εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην κωλύσαντος γενέσθαι ἢ οἱ μετ' αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἔχειν ἐβούλοντο, εἴτε οἱ βλάβην τινὰ ὑπομείναντες ἐκ τῆς κωλύσεως τῆς διαθήκης, τοῦτο αὐτὸ ἀποδείξαιεν, καὶ οὕτως αὐτὸν ἀπόκληρον γενέσθαι[1].

7. Οὐ μόνον δὲ ἀλλὰ καὶ εἰ παρὰ γνώμην τῶν γονέων μίμοις ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξειεν, καὶ ἐν τῷ τοιούτῳ ἐπιτηδεύματι διαμένοι· εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν[2].

8. Εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἢ καὶ ἐγγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν μὴ συναρέσῃ, ἀλλ' αἰσχρὸν βίον διάγειν ἐπιλέξεται[3].

9. Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, ὑπηρεσίαν αὐτῷ καὶ προσήκουσαν φροντίδα μὴ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγῇ νόσου, ἔσται αὐτῷ ἄδεια, πότερον βούλεται τὸν παῖδα ἢ τοὺς παῖδας ἢ τοὺς συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον ἐξωτικός τις ἴδοι ὑπὸ τῶν ἰδίων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθείη αὐτοῦ φροντίσαι, διδόαμεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἔγγραφον στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν. εἰ δέ γε καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσαιεν, καὶ ὁ ἐξωτικὸς ἐν τῷ ἑαυτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενον δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως ἅτε δὴ ἀναξίων ὄντων, τῷ μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων· οὕτω μέντοι ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ[4].

---

[1] Proch. h. t. 6. [2] Proch. h. t. 7. [3] Proch. h. t. 8. [4] Proch. h. t. 9.

10. Ἐὰν δὲ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, εἰ μὲν δυνηθείη οὗτος τὴν ἐκ τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταῦτα ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ εἴτε καὶ μή[1].

11. Εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας καὶ καταφρονήσεως μὴ ἐλευθερωθείη ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσοι, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι, ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὁρμᾶται, προσκυροῦσθαι, καταγραφῆς δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γινομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι εἰς αἰχμαλώτων ἀνάῤῥυσιν προχωρεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται ἅπερ ἀποκληρονόμους ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰ τῆς ἀχαριστίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη[2].

12. Εἰ δὲ ἐκεῖνος ὁ ἐν αἰχμαλωσίᾳ ληφθεὶς μὴ ἔχοι παῖδας, καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας τυχὸν διαθήκη παρ' αὐτοῦ ἐγεγόνει, ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηνται καὶ προσκυρούσθωσαν καὶ ἀποδοθήτωσαν, καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανᾶσθαι, ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν, τὰς ἄλλων ἀναῤῥύσεις φροντίζεσθαι, καὶ τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι[3].

13. Τούτου αὐτοῦ παραφυλαττομένου κἂν ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψῃ κληρονόμον, κἀκεῖνος

---

[1] Proch. h. t. 10. [2] Proch. ibid. [3] Proch. h. t. 11.

εἰδὼς ὑπ' ἐκείνου γεγράφθαι κληρονόμος ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσοι[1].

14. *Ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων θεσπίζομεν κρατεῖν, οἵτινες τὸν ιη' τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖόν ἐστι χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχῃ χρήματα, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας, δανείζεσθαι χρήματα, καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχει, εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου· ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα βέβαια εἶναι παρακελευόμεθα· μηδενὸς τοῖς παρὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις, καθάπερ εἴρηται, συναλλάττουσι προκρίματος γινομένου, ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι*[2].

15. *Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοδοξοτάτην πίστιν κηρύττουσι καὶ τὰς ἁγίας συνόδους οἷον τὴν ἐν νικαίᾳ πρώτην, τὴν ἐν κωνσταντινουπόλει, τὴν ἐν ἐφέσῳ, τὴν ἐν χαλκηδόνι, τὴν ἐν κωνσταντινουπόλει δευτέραν καὶ τρίτην, ἀλλὰ καὶ τὴν ἐν νικαίᾳ τὸ δεύτερον περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένουσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ ἀπιστίᾳ, διδόαμεν τοῖς αὐτοῖς γονεῦσιν ἄδειαν ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους καὶ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ διαθήκῃ γράφειν. καὶ ταῦτα μὲν ἐπὶ ἀχαριστίας τὰ αἴτια διετυπώσαμεν. γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες κελεύομεν, σφῶν φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν αἱρετικῶν προενεχθέντων, καὶ περὶ τῶν νεστοριανῶν καὶ τῶν ἀκεφάλων, ὡσαύτως καὶ ἰακωβιτῶν καὶ μονοθελητῶν καὶ εἰκονομάχων, καὶ ὅσαι ἄλλαι αἱρέσεις εἰσὶ παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀποκηρυττόμεναι, εἰ ταύταις φωραθεῖέν τινες ἐνεχό-*

---

[1] Proch. ibid. [2] Proch. ibid. et 12.

μενοι, τὰ αὐτὰ περὶ τούτους ἅπαντας ἀπαραβάτως φυλάττεσθαι· ὥστε εἴποτε καὶ γονεῖς εὑρεθεῖεν μιᾷ τῶν ἀπηριθμημένων αἱρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλησίᾳ κατεχόμενοι καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι, μὴ ἐξεῖναι αὐτοῖς ἄλλους κληρονόμους ἐνιστᾶν ἑαυτοῖς, εἰ μὴ παῖδας ὀρθοδόξους καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντας, ἢ παίδων μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας καὶ θηλυγονίας συγγενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνοντας. εἰ δὲ ὡς εἰκὸς ἐκ τῶν παίδων τινὲς μέν εἰσιν ὀρθόδοξοι καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντες, ἄλλοι δὲ ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνον τοὺς ὀρθοδόξους περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσοιντο παρὰ τὴν δύναμιν ταύτης ἡμῖν τῆς διατάξεως διατυπούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ ἐκ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι, τὸ ἁρμόζον αὐτοῖς μέρος ἐν τῷ σχήματι, ἐν ᾧ εὑρεθείη κατὰ τὸν χρόνον ὃν ἀποδίδοται, τούτοις παρέχεσθαι, ὡς μηδεμίαν περὶ τῶν καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἤ ἐπάχθειαν τοὺς ὀρθοδόξους ὑπομένειν τοὺς πρῴην τὰ μνημονευθέντα πράγματα διακρατήσαντας· ἐπειδὴ τῶν τοιούτων πραγμάτων, ἅτινα ἐκ τῆς μοίρας τῶν ἀδελφῶν τῶν μὴ κοινωνούντων οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν, οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς παρὰ τούτων, ὑφ᾽ ὧν διεκρατήθη, εἰσπράττεσθαι ἢ ἀναψηλαφᾶσθαι κελεύομεν. εἰ δὲ μέχρι τοῦ πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ μὴ κοινωνοῦντες διαμείνοιεν, τότε τοὺς ὀρθοδόξους ἀδελφοὺς ἢ κληρονόμους αὐτῶν πληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι θεσπίζομεν. εἰ δὲ οἱ παῖδες μὲν πάντες διεστραμμένοι καὶ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀῤῥενογονίας ἢ θηλυγονίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶεν καὶ ἀποδειχθεῖεν, τούτους τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ οἱ παῖδες καὶ οἱ ἐγγύτατοι συγγενεῖς ἐκ τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικῶν οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως ὅπου τὴν οἴκησιν εἶχον, τὰ αὐτῶν πράγματα βουλόμεθα διαφέρειν· οὕτω μέντοιγε ὥστε εἰ οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πρά-

γματα διεκδικῆσαι ἀμελήσαιεν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοί εἰσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν ἰδικὸν ὁμοίως περιέρχεσθαι. ἅτινα κρατεῖν θεσπίζομεν καὶ εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσοι. πάντων τῶν κατὰ τῶν λοιπῶν αἱρετικῶν ἐν ταῖς ἄλλαις διατάξεσι διατυπωθέντων κατὰ τῶν νεστοριανῶν καὶ ἀκεφάλων καὶ τῶν ἄλλων ἁπάντων τῶν μὴ κοινωνούντων τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ αἱ προλεχθεῖσαι ἅγιαι ἑπτὰ σύνοδοι καὶ πατριάρχαι ἀναφέρονται, καὶ κατὰ τῶν αὐτῶν κληρονόμων ὁμοίως φυλαττομένων. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας προνοητικωτάτην φροντίδα δεῖ συνεισφέρειν ἡμᾶς; εἴτε τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας εἴτε φανερὰς ἐξ αὐτῶν εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψειαν διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἰσχὺν ἔχειν παρακελευόμεθα[1].

16. *Εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη*, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀποκληρονόμοις γραφεῖσιν, ἀλλ᾽ ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων πάλιν ἥκειν τῆς διαθήκης ἀκυρουμένης εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας τοὺς ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλανημέναις κατηγορίαις κατακρίνεσθαι, μήτε τινὰ περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοιγε συμβαίη ἔν τισι τοιαύταις διαθήκαις ἤ τινα λεγάτα ἢ καὶ τὰ πίστει τινὶ παρατεθέντα ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι, ἢ ἄλλα οἱαδήποτε κεφάλαια τοῖς νόμοις ἐγνωσμένα ὀνομασθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις οἷς κατελείφθη, ὡς εἰ κατὰ τοῦτο τὸ μέρος μὴ ἀνατραπεῖσα ἡ διαθήκη ἐκράτει. καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι[2].

17. *Θεσπίζομεν τοίνυν*, μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν, ἢ καθ᾽ οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψαιεν διαθήκαις[3].

---

[1] Proch. h. t. 13—16. [2] Proch. h. t. 17. 18. [3] Proch. h. t. 18 rel.

18. *Ταύτας δὲ εἶναι κελεύομεν· εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν· δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης*[1].

19. *Εἰ φαρμακείαις ἢ γοητείας ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν*[2].

20. *Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη*[3].

21. *Εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύσαιεν ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι· πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν*[4].

22. *Εἰ συμβαίη τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ ἢ εἰς ἀναίρεσιν ἢ εἰς ἔκστασιν φρενῶν δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρί, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι, τὸ μέντοι τοιοῦτον ἔγκλημα πούβλικον ὑπάρχον κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν, τοῖς δὲ παισὶν ἄδειαν εἶναι ταῖς ἰδίαις διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν τῷ τὸ τοιοῦτον μῦσος πεπραχέναι γινωσκομένῳ*[5].

23. *Εἰ τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς φροντίσαι αὐτῶν ἀμελήσαιεν, πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι προστάσσομεν, ἅτινα περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν*[6].

24. *Τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τύχοι τοὺς παῖδας κρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ᾽ αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν κληρονόμων ἀνωτέρω διετυπώσαμεν*[7].

25. *Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι ὀρθοδόξους, ταῦτα καὶ ἐπ᾽ ἐκείνων τῶν προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν*[8].

---

1 Proch. h. t. 19. 2 Proch. h. t. 20. 3 Proch. h. t. 21. 4 Proch. h. t. 22. 5 Proch. h. t. 23. 6 Proch. h. t. 24. 7 Proch. h. t. 25. 8 Proch. h. t. 26.

26. *Εἰ τὰς τοιαύτας τοίνυν αἰτίας ἢ φανερὰς ἐξ αὐτῶν ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις ἐγγράψαιεν διαθήκαις, καὶ οἱ γραφόμενοι παρ᾽ αὐτῶν κληρονόμοι ἢ πάσας φανερῶς ἢ μίαν ἐκ τούτων ἀποδείξαιεν ἀληθῆ, τὴν διαθήκην ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ προστάττομεν*[1].

27. *Εἰ δὲ ταῦτα μὴ φυλαχθείη, μηδεμίαν δύναμιν τὴν τοιαύτην διαθήκην τότε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλὰ ἀνατρεπομένης τῆς διαθήκης τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλουμένοις τὰ ἐκείνου πράγματα δίδοσθαι τυποῦμεν· τῶν λεγάτων δηλονότι καὶ τῶν πίστει παρ᾽ αὐτοῦ διδομένων ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων καθάπερ ἀνωτέρω εἴρηται τὴν ἰδίαν ἐχόντων ἰσχύν. εἴ τι δὲ περὶ λεγάτου ἢ πίστει τινὶ παρ᾽ αὐτοῦ δοθέντων ἢ ἐλευθεριῶν ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἄλλοις νόμοις εὑρεθείη ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ᾽ οὐδένα βουλόμεθα τρόπον. καὶ αὗται μὲν τῶν ἀποκλήρων αἱ ποιναί, τό γε εἰς τὰς τῆς ἀχαριστίας αἰτίας, κατὰ τῶν εἰρημένων προσώπων διετυπώθησαν· εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρονται, τοὺς τούτων ἐργάτας καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς τὰς τοῖς νόμοις διωρισμένας. ταῦτα δὲ διετυπώσαμεν, ἵνα καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν*[2].

28. *Εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν, ὅπερ δ᾽ ἂν ὑπέλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθείη, τοῖτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ τῶν κληρονόμων ἀποπληροῦσθαι. μία γάρ ἐστι τῆς ἡμετέρας γαληνότητος ἡ φροντὶς τὸ τὴν ὕβριν τῆς ἀποκληρώσεως τῶν γονέων καὶ τῶν παίδων ἀνελεῖν. σκοπεῖν γὰρ ὀφείλουσιν οἱ γονεῖς, ὅτι καὶ αὐτοὶ παῖδες γεγόνασι καὶ τὰ αὐτὰ παρὰ τῶν οἰκείων γονέων ἐσχήκασι, καὶ παραπλησίως οἱ νῦν ὄντες υἱοὶ σπουδάζειν τοὺς τῶν γονέων λογισμοὺς θεραπεύειν, ἐπειδὴ καὶ αὐτοὶ γονεῖς ἐπιθυμοῦσι γενέσθαι καὶ ὑπὸ τῶν ἰδίων εὔχονται τιμηθῆναι παίδων*[3].

29. *Ὅθεν δῆλον ὡς εἰς τὴν τῶν ἀμφοτέρων ὠφέλειαν ὁ παρὼν ἀφορᾷ νόμος, ὃν οὐ χωρὶς αἰτίας ἀλλὰ προφάσεως γενομένης προηνέγκαμεν. εὕρομεν γὰρ πουλχερίαν εὐχάριστον μὲν θυγατέρα παρὰ τῆς ἰδίας μητρὸς λεχθεῖσαν, ἀπόκληρον*

---

[1] Proch. h. t. 27. [2] Proch. h. t. 28. [3] Proch. h. t. 29.

δὲ κατὰ τὴν διαθήκην ὀνομασθεῖσαν, τοῦτο μὲν ἐπὶ τοῖς πατρῴοις, τοῦτο δὲ ἐπὶ τοῖς μητρῴοις πράγμασιν. καὶ τὸν μὲν τοιοῦτον χάρτην, ἐπειδήπερ δόλῳ καὶ μηχαναῖς συντελεσθέντα ἔγνωμεν, κατ᾽ οὐδένα τρόπον κρατεῖν συνεχωρήσαμεν, τὴν δὲ θυγατέρα κληρονόμον τοῦ πατρὸς καὶ τῆς μητρὸς γενέσθαι παρεκελευσάμεθα, καθάπερ καὶ ἡ ἔγγραφος προελθοῦσα περὶ τοῦ αὐτοῦ πράγματος ἡμετέρα κρίσις δηλοῖ[1].

30. Ὁ ἀρνούμενος τὸν ἴδιον συγγενῆ οὐ κληρονομεῖ αὐτὸν ἐξ ἀδιαθέτου[2].

31. Ὁ ὁπωσδήποτε κληρονομῶν τὸν ὀρφανὸν καὶ τὸν ἄνηβον, εἰ μὴ αἰτήσῃ αὐτῷ ἐπίτροπον ἐντὸς ἐνιαυτοῦ ἀπὸ τοῦ θανάτου τοῦ πατρὸς αὐτοῦ, ἐκπίπτει τῆς κληρονομίας αὐτοῦ, εἰ μὴ ἔφηβος γενόμενος ἀποθάνῃ[3].

32. Καὶ τοῦτο ἡμῖν ἔδοξεν εὐσεβὲς ἅμα καὶ χάριεν, ἵνα ὁ τελείαν ἄγων ἡλικίαν μὴ δύνηται τὸν συγγενῆ αὐτοῦ ἐξ ἀδιαθέτου κληρονομεῖν, παρὰ οὗ προσκληθεὶς ἐπὶ ἐκδικήσει οἰκείου πράγματος κατημέλησε χωρὶς εὐλόγου προφάσεως[4].

33. Ὁ ἐνήλικος ἀνηλίκῳ συζῶν οὐ δύναται ἐξ ἀδιαθέτου κληρονομεῖν, μὴ ἐκδικῶν τὰ αὐτοῦ πράγματα[5].

34. Ὁ συγγενῆ κεκτημένος ἢ κωφὸν ἢ ἄλαλον ἢ ἄφρονα ἢ μαινόμενον, εἰ μὴ προμηθούμενος διεκδικεῖ τὰ αὐτοῦ πράγματα, οὐ δύναται αὐτοὺς κληρονομεῖν. τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων[6].

35. Ἐπειδὴ ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας, ἐκεῖνον μόνον ἀχάριστον τῶν ἀδελφῶν γινόμενον μετέχειν τούτου τοῦ κέρδους οὐ συγχωροῦμεν, ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσῃ τῷ ἀδελφῷ, ἢ ἐγκληματικὴν ἀπενέγκηται κατ᾽ αὐτοῦ γραφήν, ἢ τῆς οὐσίας αὐτοῦ σπεύσῃ ἐπαγαγεῖν ἀφαίρεσιν. τὸ γὰρ ἐκείνου μέρος εἴς τε τοὺς λοιποὺς ἀδελφοὺς καὶ ἀδελφόπαιδας καὶ τὴν μητέρα ἔρχεσθαι[7].

Τίτλος λδ΄. Περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων.

1. Ἡ τῶν προσώπων[8] ἄκρα διαίρεσίς ἐστιν αὕτη· ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι. καὶ τὴν μὲν

---

1 Epan. XXXIV, 7 in fine. 2 Epan. cit. schol. f. 3 Epan. ibid. 4 Proch. h. t. 30. 5 Proch. h. t. 31. 6 Proch. h. t. 32. 7 Nov. 22 c. 47 pr. 8 Lips. πραγμάτων.

ἐλευθερίαν, ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία, οὕτως ὁρίζεσθαι χρή[1].

2. *Ἐλευθερία ἐστὶν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύοι· βία μὲν, ἐπειδὴ βουλόμενον ἐσθότε μέ τι πρᾶξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, κωλύει τὶς ἰσχύϊ μείζονι βιασάμενος· νόμος δὲ, ὅτε τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οὐκέτι γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσποτείαν τὸ δέος ἐμποδίζει*[2].

3. *Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ ὑπεναντίον τοῦ φυσικοῦ νόμου. ἡ γὰρ φύσις πάντας ἐλευθέρους προήγαγεν, ἡ δὲ τῶν πολέμων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν· ὁ γὰρ τοῦ πολέμου νόμος κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι*[3].

4. *Οἱ δοῦλοι ἢ τίκτονται ἢ γίνονται. καὶ τίκτονται μὲν οἱ ἐκ τῶν ἡμετέρων προσγενομένοι θεραπαινῶν, γίνονται δὲ οἱ ἐκ τῶν ἐθνικῶν νόμων, τουτέστιν ἐκ τῆς αἰχμαλωσίας. καὶ ἡ μὲν τῶν δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν ἐπ᾽ αὐτῶν μᾶλλον ἢ ἧττον δοῦλος· ἐστὶ μὲν οὖν ἄτομος ἡ δουλεία. ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφοράς· ἢ γὰρ εὐγενεῖς εἰσιν, ἢ ἀπελεύθεροι*[4].

5. *Οἱ ἐλεύθεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν, καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου εὐγενῶν τεχθείη, εἴτε ἐκ δύο ἀπελευθέρων, εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενὲς, τὸ δὲ ἕτερον ἀπελεύθερον*[5].

6. *Εἰ δέ τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενής ἐστιν ὁμοίως, ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς*[6] *καὶ ἀδήλου πατρὸς*[7], *τουτέστιν ἀπὸ πορνείας τεχθείς· οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ δὲ ἐλευθέραν εἶναι τὴν μητέρα κατὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς εἶδεν αὐτὴν δούλην*[8].

7. *Καὶ ἐκ τοῦ ἐναντίου εἰ ἐλευθέρα συλλάβῃ, καταδουλωθεῖσα δὲ κατά τινας αἰτίας νόμῳ ἐγνωσμένας τέκῃ, ἐλεύθερον τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος οὐ βλαβήσεται ἐκ τῆς συμφορᾶς τῆς περιστάσεως τὴν μητέρα*[9].

---

[1] Proch. XXXIV, 1. [2] Proch. ibid. [3] Proch. h. t. 2. [4] Proch. h. t. 3. [5] Proch. h. t. 4. [6] Lips. *πατρός*. [7] Lips. *μητρός*. [8] Proch. h. t. 5. [9] Proch. h. t. 6.

8. Ἰουδαῖος χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω μήτε κατηχούμενον περιτεμνέτω, μήτε ἄλλος αἱρετικὸς χριστιανὸν ἀνδράποδον ἐχέτω[1].

9. Σαμαρείτης μηδεὶς οἰκέτην χριστιανὸν ἕξει, ἀλλ᾽ ἅμα τῷ κτήσασθαι τοῦτον εἰς ἐλευθερίαν ἁρπάζεσθαι. εἰ δὲ τῆς ὁμοίας αὐτῷ ὁ οἰκέτης κακοδοξίας εἴη, ἐξέστω αὐτῷ τὴν τῶν χριστιανῶν ἀσπαζομένῳ δόξαν εὐθὺς καὶ τῆς ῥωμαϊκῆς ἀπολαύειν ἐλευθερίας[2].

10. Ἐάν τις δούλη οὖσα κατὰ τὸν καιρὸν, ὃν συνέλαβε, τῆς δουλείας ἐλευθερώθη, ὀλίγου δὲ χρόνου παραδραμόντος κατεδουλώθη, εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν, κελεύομεν ἐλεύθερον εἶναι τὸ τικτόμενον. ἀρκεῖ γὰρ τῷ ὄντι ἐν γαστρὶ τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα[3].

11. Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον ἢ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων, ἢ δι᾽ ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱᾳδήποτε τελευταίᾳ βουλήσει[4].

12. Ἡ διάταξις κελεύει ἐπὶ πάσης ἐλευθερίας εἴτε παρὰ στρατιώτου εἴτε παρὰ ἰδιώτου, εἴτε ζῶν ἐλευθερώσει τὶς τὸν ἐπίκοινον οἰκέτην εἴτε τελευτῶν, εἴτε ἥμισυ εἴτε τρίτον εἴτε ὁσονδήποτε μέρος ἔχει τοῦ οἰκέτου, εἴτε δύο εἴτε πλείονές εἰσι κοινωνοὶ, ἀνάγκην αὐτοὺς ἔχειν τὰ ἴδια μέρη πιπράσκειν ἢ αὐτῷ τῷ κοινωνῷ βουλομένῳ ἐλευθερῶσαι ἢ τῷ κληρονόμῳ αὐτοῦ. ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην σὺν ἐλευθερίᾳ γράφειν κληρονόμον, ἵνα αὐτὸς δώσῃ τὸ ἴδιον τίμημα. εἰ δὲ παραιτήσονται οἱ κοινωνοὶ πωλῆσαι τὸ ἴδιον μέρος καὶ λαβεῖν τὸ τίμημα, γινέσθω ἐκεῖνος ἐλεύθερος μηδὲ τιμήματος διδομένου. τὸ δὲ πεκούλιον αὐτοῦ πάντες οἱ κοινωνοὶ ἐχέτωσαν κατὰ τὸ μέρος τῆς δεσποτείας, ἐξουσίαν ἔχοντος τοῦ ἐλευθεροῦντος τὸ ἴδιον μέρος τοῦ πεκουλίου παραχωρῆσαι τῷ ἐλευθερουμένῳ· τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι[5].

13. Οἱ δοῦλοι γνώμῃ τῶν δεσποτῶν μονάζοντες ἐλευθεροῦνται. εἰ δὲ καταλιπόντες τὴν ἄσκησιν εἰς ἑτέραν κατάστασιν μετέλθωσιν, ἀναδουλοῦνται[6].

14. Ἡ δέσποινα τὸν ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορούμενον δοῦλον ἀχρήστως πρὸ ψήφου γράφει ἐλεύθερον ἢ κληρονόμον[7].

15. Ἐὰν ὁ δοῦλος λογοθεσίοις ὑπόκειται, ὁριζέτω ὁ ἄρχων

---

[1] Basil. I, 1, 51. [2] Basil. cit. 56 in fine. [3] Proch. h. t. 7. [4] Proch. h. t. 8. [5] Proch. h. t. 9. [6] Phot. XI, 3. [7] Basil. XXXV, 9, 42 th. 3.

χρόνον, οὗτινος ἐντὸς καὶ τὰ λογοθέσια ὀφείλει ὁ δοῦλος ὑποστῆναι, καὶ παρασχεῖν εἴ τι χρεωστεῖ, καὶ ἐλευθερωθῆναι[1].

16. *Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἀτεχνής ἐστιν, κ' νομισμάτων, ἐὰν ᾖ ὑπὲρ τοὺς ι' ἐνιαυτούς· εἰ δὲ ἔλαττόν ἐστι, ι' νομισμάτων· εἰ δὲ τέχνην ἐπίσταται χωρὶς νοταρίου καὶ ἰατρικῆς, λ' νομισμάτων· εἰ δὲ νοτάριός ἐστιν ἢ ἰατρὸς, ὁ μὲν νοτάριος ἕως τῶν ν' νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ξ' νομισμάτων· ἐὰν δὲ εὐνοῦχοι ὦσιν δοῦλοι μείζονες τῶν ι' ἐνιαυτῶν χωρὶς τέχνης, ν' νομισμάτων, εἰ δὲ τέχνην ἴσασιν, ο' νομισμάτων· ἐὰν δὲ ἧττονες ὦσιν τῶν ι' ἐνιαυτῶν, λ' νομισμάτων. εἰ δὲ οἱ κοινωνοὶ παραιτήσονται τὸ τίμημα λαβεῖν λέγοντες ὅτι καὶ αὐτοὶ ἐλευθερῶσαι βούλονται, πάντες ἅμα ἐλευθερώσουσι, τοῦ πεκουλίου παρ' αὐτοῖς μένοντος κατὰ τὸ μέρος τῆς δεσποτείας, τῶν δὲ δικαίων τῶν πατρωνικῶν πᾶσι τοῖς ἐλευθερωταῖς ὁμοίως ἁρμοζόντων*[2].

17. *Νεαρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἐξενεχθεῖσα χάριν τοῦ μὴ δέχεσθαι ἀντιπαραστάσεις μαρτύρων, ὅτε παράγονται μάρτυρες περὶ τοῦ ἐλευθεροβοῶντος δούλου, καὶ χάριν τοῦ μὴ γίνεσθαι ἐλευθέρους τοὺς ἱερολογουμένους δούλους. — Δύο ταῦτα ἐπὶ τὰς ἀκοὰς τῆς βασιλείας μου ἦλθεν, ἁγιώτατε δέσποτα, ὥς τινες τῶν προσερχομένων τῷ ἁγίῳ μεγάλῳ καὶ θείῳ ναῷ τῆς τοῦ θεοῦ λόγου σοφίας εἰς ἐλευθερίαν ἀναφωνοῦντες καὶ πρόφασιν τῆς ἐλευθερίας τὸ γένος ποιούμενοι (φασὶ γὰρ ἐξ ἐλευθέρων γεγενῆσθαι γονέων, βουλγάρων τυχὸν ἤ τινων τοιούτων, οὓς εἰς δουλείαν ἡ καθ' ἡμᾶς παρέλαβε πολιτεία) εἰς ἀπόδειξιν τῶν λεγομένων ἀφίενται, κἀπειδὰν παραστήσωνται μάρτυρας ἀδιαβλήτους, εἰς ἀντιπαραστατικὴν μαρτυρίαν οἱ κύριοι τούτων χωροῦσι, καὶ οὕτως τῶν ἐγκαλούντων διὰ τέλους παραμένειν τοῖς δικαστηρίοις ἀδυνατούντων ἡ δουλικὴ τύχη πάλιν τούτοις ἐπιφορτίζεται· καὶ ὅτι γαμικαὶ δούλων ὁμιλίαι τε καὶ συναρμογαὶ παρὰ τῷ καθ' ἡμᾶς γίνονται πολιτεύματι, οὐ μέντοιγε καὶ ἱερολογία ταύταις ἐπακολουθεῖ, τῶν κυρίων αὐτῶν εὐλαβουμένων μεθ' ἱερολογίας ἀλλήλοις συνάπτειν τοὺς δούλους, ἵνα μὴ πρὸς ἐλευθερίαν ἐντεῦθεν συνελασθῶσι. τυχεῖν τῆς προσηκούσης καὶ ἄμφω διορθώσεως ἡ βασιλεία μου ἔγνω δεῖν, καὶ διὰ τοῦτο τὸ παρὸν διάταγμα συντετηρημένως ἐξέθετο, δι' οὗ καὶ διορίζεται,*

---

1 Proch. h. t. 10. 2 Proch. h. t. 11. 12.

κατὰ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων ἀντιπαραστατικὴν μαρτυρίαν μὴ κρατεῖν, μηδε χώραν ὅλως ἔχειν αὐτὴν παρ' οἱῳδήτινι πολιτικῷ ἢ ἐκκλησιαστικῷ δικαστηρίῳ, ἀλλὰ τοῖς ἐγκαλοῦσι μόνον τὰς ἀποδείξεις κατὰ νόμους ἐπάγεσθαι· καὶ εἴπερ μαρτυριῶν εὐπορήσειαν οὗτοι νόμοις δεκτῶν καὶ μὴ περιτρεπομένων διαβολαῖς, τῷ τῶν μαρτύρων ὅρκῳ τὴν δίκην λύεσθαι. ἀλλὰ μὴ καὶ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν ἐκχωρεῖσθαι, ἵνα μὴ τὸ πολὺ τῶν ἀντιθέτων ἄνισον βλάβης αἴτιον τοῖς ἐλαχιστοτέροις γένηται· ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁμοτελῶν ἡ τοῦ μακαριστοῦ κυροῦ βασιλείου νομοθεσία τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστάσεις οὐκ ἐξεχώρησεν, οὕτω κἀνταῦθα τοῖς κυρίοις κατὰ τῶν δούλων ἀπεσβεσμένον ἔσται τὸ τῆς ἀντιπαραστάσεως ἰσχυρὸν, καὶ μόνον κρατήσει τὸ παρὰ τούτοις ἡ τῶν μαρτύρων διαβολή· τῆς ἀντιπαραστάσεως πάντως μὴ ἀποκλειομένης τοῖς ἐγκαλουμένοις δούλοις, ὅταν τοὺς μάρτυρας κατὰ τῶν ἐν νομῇ ἐλευθερίας ὄντων οἱ πρὸς δουλείαν ἕλκοντες τούτους παράγωσι. τοῖς γὰρ ἐλαχιστοτέροις καὶ ἀσθενέσιν ἡ παροῦσα διάταξις χαρίζεται τὴν ῥοπὴν, ἀλλ' οὐχ ὑπὲρ τῶν δυνατῶν καὶ μᾶλλον ἰσχυροτέρων ἐκτέθειται. προστίθησι δὲ καὶ τὰς ἱερολογίας μὴ μόνον παρὰ τοῖς ἐλευθέροις, ἀλλὰ καὶ παρὰ τοῖς δούλοις κρατεῖν· καὶ γάμον μὴ ἄλλως ἔννομόν τε καὶ χριστιανικῆς καταστάσεως ἄξιον εἶναί τε καὶ νομίζεσθαι, εἰ μὴ καὶ ἱερολογία τοὺς συναπτομένους συνδεῖ. ἄτοπον γὰρ ἂν εἴη, ἐν πᾶσι τῆς χριστιανικῆς κρατούσης πίστεως, καὶ βαπτίσματος ὁμολογουμένου ἑνὸς δι' οὗ προσήγμεθα τῷ κυρίῳ, καὶ τῆς αὐτῆς σωτηρίας ἐλπιζομένης πᾶσιν ἡμῖν τοῖς πιστεύουσιν, ὑποτρέχειν ἐνίους ὑπόνοιαν, ὡς τοῖς δούλοις ἧττον μέτεστι τοῦ καλοῦ· καὶ τοὺς μὲν ἐλευθέρους κατὰ γάμον ἀλλήλοις συνάπτεσθαι θείᾳ συνδουμένους εὐχῇ πρότερον, τοὺς δούλους δὲ τοῦ τοιούτου διαπίπτειν καλοῦ καὶ μὴ παραλαμβάνειν θεὸν ἐπ' εὐλογίᾳ τῆς συνελεύσεως· ἢ δεδιέναι, ὡς εἰ παραλαμβάνοιτο, ἀδικηθείη ἂν περὶ τὴν δεσποτείαν ὁ τούτων κύριος τῆς ἐπ' αὐτοῖς στερισκόμενος δεσποτείας. οὕτω γὰρ, εἰ τοῦτο κρατοίη, δεδιέναι χρὴ καὶ τὸ ἅγιον βάπτισμα, μὴ δοῦλοι ξενωθεῖεν τῶν δεσποτῶν· ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν, μὴ καὶ διὰ ταύτης ἐκείνων ἀλλοτριωθεῖεν· κἀντεῦθεν ἐκ τῶν δούλων οἰχήσεται τὸ μέγα καὶ σεβάσμιον τῆς θείας πίστεως ὄνομα, καὶ οὐ δοῦλοι μόνον ἀνθρώπων, ἀλλὰ καὶ τοῦ ἀνθρωποκτόνου γενήσονται ἄνθρωποι· συγκινδυνεύσουσι δὲ καὶ οἱ κύριοι τούτων,

φόβῳ τοῦ μὴ διαπεσεῖν ὑπηρεσίαν ἀνθρώπων τῆς τοῦ θεοῦ δόξης ἀποξενοῦν ἑαυτοὺς ἀνεχόμενοι. ἀλλ' οὔτε τοῦτο λόγον ἔχειν δίκαιον, καὶ τὴν ἱερολογίαν ἐξ ἀνάγκης καὶ ἐπὶ τῶν δούλων κρατεῖν εὔλογον καὶ χριστιανικῆς ἐπάξιον καταστάσεως. ἀλλὰ γὰρ ἐν ἀνθρώποις οἶδεν ἡ τύχη δεσπότου καὶ δούλου διαφορὰν, καὶ ἅπερ ἡ καθ' ἡμᾶς πολιτεία παρέλαβε, ταῦτα καὶ ἐπὶ τούτων χρεὼν κρατεῖν· εἷς δὲ κύριος πάντων, μία πίστις, ἓν βάπτισμα, καὶ δούλου καὶ δεσπότου, ὅσα γε κατὰ πίστιν, διαφορὰν οὐ γινώσκομεν, ὅτι καὶ πάντες ἐπίσης δοῦλοι ἐσμὲν τοῦ ἐκ δουλείας λυτρωσαμένου ἡμᾶς τῷ ἐξ αὐτοῦ θείῳ καὶ ζωοποιῷ αἵματι. καὶ ἐπεὶ ταῦτα καλῶς τούτοις καὶ λυσιτελῶς διατέτακται, δεῖ τὴν ἁγιωσύνην σου δῆλα ταῦτα θέσθαι ἁπανταχοῦ τῶν ἁγίων ἐκκλησιῶν, ὡς ἂν οἱ ἐν αὐταῖς προεστῶτες οὕτω τε τὰ περὶ τῶν ἐλευθεριῶν δοκιμάζωσιν, ἀντιπαραστατικὴν μαρτυρίαν κατὰ τῶν δούλων τοῖς δεσπόταις μὴ συγχωροῦντες· καὶ πᾶσι θῶνται καταφανὲς ἐν ταῖς ὑπ' αὐτοὺς ἐνορίαις, ὡς εἰ μὴ μεθ' ἱερολογίας ἱερᾶς ἀλλήλοις συνάπτονται τοὺς δούλους, οὐχὶ θεοφιλῆ γάμον συνιστῶσιν αὐτοῖς, ἀλλ' ἐκπορνεύουσαν μίξιν κρατύνουσιν· οὓς γὰρ μὴ συνάπτει θεὸς δι' ἱερολογίας παραλαμβανόμενος, οὗτοι πάντες εἰς ἁμαρτίαν συνέρχονται. καὶ εἴ που προσαγγελθείη τοῦτο παρ' οἱουδήτινος οὕτως· ἀπὸ τοῦδε γενόμενον, ἴστωσαν οἱ δεσπόται, ὡς οὐ μόνον θείῳ μηνίματι καταστήσονται ἔνοχοι, ἀλλὰ καὶ τῶν δούλων ἀλλοτριωθήσονται εἰς ἐλευθερίαν ἁρπαζομένων. ἐξὸν γὰρ αὐτοῖς κατὰ νόμον θεοῦ συνάπτειν ἀλλήλοις τοὺς δούλους καὶ τὴν ἐπ' αὐτοῖς δεσποτείαν ἔχειν ἀλώβητον, εἰ μὴ τοῦτο ποιοῖεν, ἑαυτοῖς δικαίως πάντως τὴν τῆς δεσποτείας ἐπάγουσιν ἔκπτωσιν. τὸ δὲ παρὸν διάταγμα οὐ μόνον ὀφείλει ἐν ταῖς ἁπανταχοῦ τῶν ἐκκλησιῶν διανεμηθῆναι, ἀλλὰ κἂν τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι· γενέσθαι δὲ διαδόσιμον καὶ εἰς τοὺς τῶν ἐπαρχιωτικῶν προεστῶτας ἀρχῶν, ὡς ἂν εἴδησιν ἔχωσι πάντες τῶν καλῶς παρὰ τῆς βασιλείας ἡμῶν ὁρισθέντων. ἐπειδὴ δὲ καὶ γάμοι ἔφθασαν ἤδη γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἔχουσι τύχην, καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτων τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψέ ποτε γένηται, τὸ σεβάσμιον ἔχωσι, τῶν ἀνωτέρω εἰρημένων παρατηρήσεων καὶ ἐπὶ τῷ τοιούτῳ γάμῳ κρατεῖν ὀφειλουσῶν[1].

---

[1] Nov. Alexii Comneni Coll. IV Nov. 35. Bals. ad c. 85 syn. Trull.

18. Ἠράσθη τὶς δούλης ἀλλοτρίας, καὶ συνεφώνησε πρὸς τὸν δεσπότην αὐτῆς ἄλλο ἀνδράποδον ὑπὲρ αὐτῆς δοῦναι, ἐὰν ἐλευθερώσῃ αὐτήν, ἢ αὐτῷ παραδώσῃ αὐτὴν εἰς τὸ ἐλευθερωθῆναι παρ᾽ αὐτοῦ. καὶ ὁ μὲν δεσπότης τῆς θεραπαίνης ἠλευθέρωσεν αὐτὴν ἢ παρέδωκε τῷ ἐρῶντι αὐτῆς, λαβὼν δ᾽ ἐκεῖνος τὴν θεράπαιναν καὶ συναφθεὶς αὐτῇ παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐ δέδωκε δὲ εὐγνωμόνως τὸ ἀντ᾽ αὐτῆς ἀνδράποδον. ὅθεν προσῆλθεν ὁ τῆς θεραπαίνης ποτὲ δεσπότης, καὶ ἀντέγραψε πρὸς αὐτὸν ἡ διάταξις λέγουσα· ὁπότε θεματίζεις μεταξὺ σοῦ καὶ ἐκείνου, ᾧτινι εἰς συνάφειαν τὴν θεράπαιναν τὴν σὴν συζεῦξαι μνημονεύεις, ἀρέσαι καὶ συμφωνηθῆναι, ἵνα σοὶ ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον, ὀφείλεις εἰδέναι, ὅτι ἐὰν ἠλευθέρωσας ἢ ἐκείνῳ παρέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνακλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐκ ἔχεις, ἀλλὰ μόνον, εἰ μήπω παρῆλθεν ὁ ὡρισμένος τῆς περὶ δόλου ἀγωγῆς χρόνος, τουτέστιν ἡ διετία, καὶ τὴν πίστιν τοῦ συμφωνηθέντος ῥήγνυσιν, ἐπιζητῆσαι ὀφείλεις τὴν περὶ δόλου σοι δοθῆναι ἀγωγήν. ἐὰν δὲ παρὰ σοὶ ἡ δεσποτεία τῆς θεραπαίνης ταύτης ἀπέμεινε, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων δύνασαι αὐτὴν ἀναλαβεῖν, εἰ μή τις κινηθῇ περὶ τῆς τύχης αὐτῆς ζήτησις[1].

19. Ἐὰν ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν ὁ δεσπότης, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων συμβολαίων γενομένων, ἢ μὴ γενομένων μέν, τῆς δ᾽ ἑαυτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικί. τοιούτου τινὸς παρὰ τοῦ δεσπότου γεγονότος θεσπίζομεν ἀναρπάζεσθαι τὸν τοιοῦτον ἢ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπ᾽ ἐλευθέροις τε καὶ εὖ γεγονόσι κρίνεσθαι. εἰ δ᾽ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γενόμενον, καὶ ἐξεπίτηδες ἀποκρύπτοι, ἵνα ὕστερον πρᾶγμα ῥάψειε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην, εἴγε σαφῶς ἀποδειχθῇ, κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν παρὰ τῶν τοιούτων πονηρῶς βεβουλευμένων· καὶ ἔστω καὶ πάλιν καὶ τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνήνεσεν ὁ κεκτημένος τὴν ἀρχήν, καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν αναρ-

[1] Proch. h. t. 13.

παζέσθω τὸ δοῦλον πρόσωπον· τοιούτου συμβαίνοντος ἀποτελέσματος, εἴπερ συνήνεσεν ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος. πρόδηλον οὖν ὡς καὶ οἱ παῖδες ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς ἔσονται[1].

20. Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται[2].

21. Ὁ μηνύων τὸν φόνον τοῦ οἰκείου δεσπότου τὴν ἐλευθερίαν ἐχέτω ὡς ἔπαθλον[3].

22. Καὶ ὁ μηνύων κρυπτὴν μονίταν δοῦλος εἰς ἐλευθερίαν ἀνάγεται[4].

23. Ὁ μηνύων τὴν σφραγὴν τοῦ φονευθέντος οἰκείου δεσπότου δοῦλος εἰς ἔπαθλον τὴν ἐλευθερίαν ἐχέτω[5].

24. Καὶ πολλῷ μᾶλλον ταῦτα κρατείτω, εἴπερ ἔτυχεν ἤδη τὸν οἰκέτην ἢ τὴν θεράπαιναν ἢ νοσοῦντας ἀποπεμψάμενος ἢ καταφρονήσας αὐτῶν καὶ ἀποβαλὼν τὴν ἐπὶ τῇ δεσποτείᾳ κατ᾽ αὐτῶν γνώμην. ἐκεῖνοι γὰρ ὡς ἤδη καθεστῶτες ἐλεύθεροι καὶ ἑαυτῶν ἀλλ᾽ οὐχ ἑτέρων ὄντες οὐκ ἂν ὕστερον ἐνοχλοῖντο παρὰ τῶν κτῆσθαι τούτους πάλαι μισησάντων[6].

25. Τὰ ὑπὸ δούλων τικτόμενα βρέφη καὶ ἐκτιθέμενα καὶ ὑπ᾽ ἄλλων ἀνατρεφόμενα ἐλεύθερα εἶναι[7].

26. Ἴσμεν ἤδη τινὰ τῶν παλαιῶν διάταξιν παρακελευομένην, τὰς τῶν τελευτώντων ἀδιαθέτως περιουσίας, οἷς κατὰ νόμον οὐχ ὕπεστιν ἐξ ἀδιαθέτου κληρονόμος, ἐπὶ τὸ θεῖον ἡμῶν ταμιεῖον εἰσκομίζεσθαι· ἐν ᾧ πολλάκις καὶ οἰκετικὰ πρόσωπα συναπενήνεκται, ὡς ἐντεῦθεν ἀδιάλυτον τὸν τῆς δουλείας ζυγὸν αὐτοῖς γνωρίζεσθαι. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ἱλέῳ τε καὶ εὐμενεῖ καὶ συμπαθεῖ ὄμματι ἀπὸ τῆς δεῦρο παρακελεύεται πᾶν οἰκετικὸν πρόσωπον ἀνῆκον ὡς ἐξ ἀδιαθέτου τῷ θείῳ ἡμῶν ταμιείῳ [ἐν πάσῃ] τῇ ἡμετέρᾳ πολιτείᾳ πρὸς ἐλευθερίαν εὐθέως ἀφίεσθαί τε καὶ ἀνάγεσθαι, καὶ τὰ τῶν ῥωμαίων αὐτοῖς κατὰ νόμους διαπράττειν ἐν ἅπασι, κἂν ἐν μόνοις οἰκετικοῖς προσώποις ἡ οὐσία πᾶσα καθεστήκοι. ὡς εἴ τίς γε τὴν τοιαύτην νομοθεσίαν παραβλέψειεν, μὴ τύχοι ἐλευθερίας τῶν ἰδίων ἁμαρτημάτων[8].

27. Δυνάμεθα δὲ καὶ δούλας ἰδίας παλλακεύεσθαι. εἴρηται γὰρ ἐν βι. ϛ΄ τί. δ΄ διατ. δ΄, ὅτι ἡ τῷ δεσπότῃ μέχρι τελευ-

---

[1] Proch. h. t. 14. [2] Proch. h. t. 15. [3] Proch. h. t. 16. [4] Epan. XXXVII sch. b. [5] Epan. ibid. [6] Epan. tit. laud. 13. [7] Epan. cit. sch. c. [8] Proch. h. t. 17.

τῆς αὐτοῦ παλλακευθεῖσα μὴ ἔχοντι γαμετὴν νόμιμον ἁρπάζεται μετὰ τῶν παίδων αὐτῆς εἰς εὐγένειαν, καὶ λαμβάνει τὸ πεκούλιον ὅπερ εἶχεν ἐν τῷ τελευτᾷν τὸν δεσπότην πρὸς τὸ νόμιμον μέτρον. καὶ οὐκ ἔχουσι κατ᾽ αὐτῆς πατρωνικὸν δίκαιον ἢ οἱ παῖδες ἢ οἱ κληρονόμοι ἢ οἱ συγγενεῖς τοῦ τελευτήσαντος[1].

28. Καὶ πάλιν· ὁ δούλην παλλακὴν μέχρι τελευτῆς ἐσχηκὼς δύναται περιὼν ὅπερ ἐθέλει ποιεῖν ἐπ᾽ αὐτῇ καὶ τοῖς ὡς εἰκὸς ἐξ αὐτῆς τεχθεῖσι καὶ ἐν τελευταίᾳ βουλήσει καταλιμπάνειν ἄλλῳ ῥητῶς κληρονόμῳ. εἰ δὲ τελευτήσει μηδὲν εἰπών, ἁρπάζεται εἰς ἐλευθερίαν καὶ οἱ ὡς εἰκὸς τεχθέντες ἐκ ταύτης, ἐν ᾧ μὴ ἔσχεν ὁ τελευτήσας νόμιμον γαμετήν. ὁ γὰρ γεγαμημένος οὔτ᾽ ἐλευθέραν οὔτε δούλην δύναται παλλακεύεσθαι[2].

29. Παλλακή ἐστιν ἡ νομίμως τινὶ συζῶσα χωρὶς γάμου. ἡ δὲ ἧττον τιμιωτέρα παράκοιτις λέγεται ἤγουν φίλη[3].

30. Ἀνὴρ δοῦλον τῆς προικὸς ἐλευθερώσας, καὶ εἴ τι κερδήσει ἐκ τοῦ ἐλευθερῶσαι καὶ εἴ τι κατὰ δόλον μὴ κερδήσει, ἀπαιτεῖται ἀποκαταστῆσαι τῇ γαμετῇ αὐτοῦ.

31. Ἐὰν ἐπὶ τὸν αὐτὸν οἰκέτην καὶ λεγάτον καὶ ἐλευθερία συνδράμῃ, νικᾷ ἡ ἐλευθερία[4].

32. Καὶ τὸν αἰχμάλωτον ἀλλότριον ὄντα δοῦλον παρὰ τῶν πολεμίων[5] καλῶς αὐτὸν ἐλευθεροῖ καὶ ὑποστρέφει πρὸς τὸν πάλαι δεσπότην[6].

33. Ἐὰν γράφω οἰκέτην ἐν διαθήκῃ ἐλεύθερον, καὶ ὕστερον χαράξω τὸ ὄνομα αὐτοῦ, ἔῤῥωται καὶ οὐδὲν ἧττον ἡ ἐλευθερία βλάπτεται[7].

34. Τὸν καθαρῶς ἐλευθερίᾳ τιμηθέντα ἐν οὐδεμιᾷ ῥοπῇ δεσπόζει ὁ κληρονόμος· τὸν δὲ ὑπὸ αἵρεσιν δεσπόζει, ἕως ὅτου ἡ αἵρεσις ἤρτηται.

35. Ἐὰν ἐν μέρει ἀνατραπῇ ἡ διαθήκη ἀπὸ τῆς δινοφφικίοσο, αἱ ἐλευθερίαι εἰς ὁλόκληρον δίδονται.

36. Ἐὰν καταλειφθῇ ἐλευθερία εἰ[8] γένηται υἱὸς τοῦ διατιθεμένου ιδ΄ ἐνιαυτῶν, εἰ καὶ τελευτήσει πρὸ τῶν ἐνιαυτῶν τούτων ὁ κληρονόμος, ἔῤῥωται ἡ ἐλευθερία περιμένουσα πληρωθῆναι τοὺς ιδ΄ ἐνιαυτούς[9].

---

[1] Phot. XIII, 5. [2] Phot. cit. [3] Phot. cit. [4] Dig. XXXI, 14 pr. [5] Sc. ἀγοράζων. [6] Dig. XLIX, 15, 12 §. 9. [7] Dig. XXVIII, 4, 3 in f. [8] Lips. ἤ. [9] Cod. VII, 4, 10.

37. Ἔθος τῷ νόμῳ περιθάλπειν τὴν ἐλευθερίαν.

38. Ἐὰν εἰδώς τινα δοῦλον εἶναι ὁ βασιλεὺς ἄρχοντα τοῦτον ποιήσῃ, αὐτὸς τοῦτον ἐλεύθερον ποιεῖ[1].

39. Εἰ[2] ἐλέγχων ὁ δοῦλος τὴν τοῦ ἰδίου δεσπότου ἀναίρεσιν προνόμιον λαμβάνει τὴν ἐλευθερίαν ὡς ἔπαθλον[3].

40. Καλῶς πωλεῖται παρὰ τοῦ πατρὸς ὁ φυσικὸς αὐτοῦ υἱὸς ἐπὶ ὅρῳ ἐλευθερίας, ἐὰν ἄρα πένης ὑπάρχῃ.

41. Ὁ λεγατεύων μοι δοῦλον δύναται καὶ ἐμὲ καὶ τὸν κληρονόμον μου κωλύειν ἐλευθερῶσαι αὐτόν.

42. Ἐάν τις κατὰ βίαν οἰκέτην παρ' ἐμοῦ λαβὼν τιμήσῃ αὐτὸν ἐλευθερίᾳ, οὐκ ἔῤῥωται.

43. Ἐξότου τὶς τῷ τῆς καθοσιώσεως ἁμάρτῃ ἐγκλήματι, οὐ δύναται δοῦλον ἴδιον ἐλευθερῶσαι[4].

44. Οἱ δοῦλοι οἱ τοὺς τὴν πλαστὴν μονίταν ποιοῦντας ἀπελέγχοντες ἐλεύθεροι γίνονται[5].

45. Ὁ ἐν εἰδήσει πιπράσκων τὸν ἐλεύθερον τῷ τῶν ἀνδραποδιστῶν ἐγκλήματι ὑποπίπτει[6].

46. Ὁ δουλαγωγούμενος καὶ λέγων τινὰ χρεωστεῖσθαι ὀφείλει πρότερον ἀποδεῖξαι τὰ περὶ τῆς τύχης τῆς ἰδίας, καὶ μετὰ ταῦτα καὶ περὶ τῶν κεχρεωστημένων αὐτῷ ἐνάγειν[7].

Τίτλος λε'. Περὶ λεγάτων προσκαίρων καὶ διηνεκῶν.

1. Λεγάτον ἐστὶ δωρεὰ ἀπὸ τοῦ τελευτήσαντος καταλειφθεῖσα[8].

2. Ἐπὶ τῶν λεγάτων οὐ μόνον τὰ ὄντα φύσει ἀλλὰ καὶ τὰ μὴ ὄντα, ἐλπιζόμενα δὲ γενέσθαι, ὀρθῶς λεγατεύομεν, οἷον τοὺς καρποὺς τοὺς ἐσομένους ἀπὸ τοῦδε τοῦ ἀγροῦ ἢ τὸ μέλλον τίκτεσθαι ἐκ τῆσδε τῆς θεραπαίνης[9].

3. Ἐλεγάτευσέ μοί τις τὸν ἐμὸν ἀγρόν. ἄχρηστον τὸ λεγάτον· τὸ γὰρ ἐμὸν πλεῖον ἐμὸν γενέσθαι οὐ δύναται[10].

4. Εἰ καὶ τὰ μάλιστα ἐκποιήσω τὸν ἀγρὸν, οὐκ ἐποφληθήσεταί μοι οὐδ' αὐτὸς οὐδὲ ἡ τούτου διατίμησις[11].

5. Πλαστῆς λεγομένης εἶναι διαθήκης χρὴ δίδοσθαι τὰ ἐν αὐτῇ καταλελειμμένα, μετὰ ἀσφαλείας μέντοι· αὐτῷ δὲ τῷ κατηγόρῳ οὐ δίδοται τὸ καταλειφθὲν ἐν τῇ διαθήκῃ λεγάτον.

---

[1] Cf. Cod. XII, 5, 4. [2] Lege Διελέγχων. [3] Cod. VII, 13, 1. [4] Cod. IX, 8, 6 §. 1. [5] Cod. VII, 13, 2. [6] Cod. III, 15, 2. [7] Cod. VII, 19, 5. [8] Dig. XXXI, 36. [9] Theoph II, 20, 7. [10] Theoph. 26 §. 10. [11] Theoph. l. l.

6. *Ἐὰν ποιήσω δύο διαθήκας ἐν ἡμέρᾳ μιᾷ ἰσοδυναμούσας, καὶ ἐν τῇ μιᾷ λεγατεύσω ρʹ νομίσματα, καὶ ἐν τῇ ἄλλῃ νʹ, τὰ νʹ ἀπαιτοῦνται*[1].

7. *Ἐὰν δύο τισὶ λεγατευθῇ τι, καὶ ὁ εἷς ἐξ αὐτῶν παραιτήσηται, οὕτως ἁρμόζει τῷ ἑτέρῳ, ὡσανεὶ ἐξ ἀρχῆς μόνῳ αὐτῷ ἐλεγατεύθη.*

8. *Ἐὰν τὸ ὑπὸ αἵρεσιν λεγατευθὲν πρᾶγμα ἠρτημένης τῆς αἱρέσεως φθαρῇ, ἀσθενεῖ τὸ λεγάτον.*

9. *Ἐὰν ὁ ἀνὴρ λεγατεύσῃ τὴν γυναῖκα ὅσα ἐδωρήσατο αὐτῇ, οὐ περιαιρεῖται τὸ λεγάτον, ἐὰν εἰς χρῆσιν δέδωκεν αὐτὰ ὁ ἀνήρ.*

10. *Καλῶς λεγατεύεται ἡ γυνὴ τὴν ἰδίαν προῖκα, ὅτι ὁ νόμος μετὰ ἐνιαυτὸν ἀποδίδωσιν*[2].

11. *Δύναται ἡ γυνὴ ἀπὸ τῆς προικὸς αὐτῆς λεγατεῦσαι καὶ ἐλευθερίας καταλιμπάνειν καὶ ὁ κληρονόμος αὐτῆς χρεωστεῖ αὐτά. καὶ ὁ ἀνὴρ δύναται κληρονόμον γράψας τὴν γυναῖκα καὶ τὴν προῖκα αὐτῆς λεγατεῦσαι, ἐάν ἐστιν αὐτὸς εὔπορος.*

12. *Ἐὰν ἀχρήστως ἐν διαθήκῃ καταλειφθῇ ἐπίτροπος καὶ διὰ τοῦτο καὶ λεγάτον αὐτῷ καταλειφθῇ, ἐὰν μὴ διοικήσῃ, οὐ λαμβάνει τὸ λεγάτον. ἐὰν δὲ λάβῃ τὸ λεγάτον, ἱκανοδοσίαν δίδωσιν ὑπὲρ τῆς διοικήσεως.*

13. *Ἐὰν τῇ μητρὶ τῇ μὴ αἰτησάσῃ ἐπίτροπον τῷ παιδὶ ὁ πατὴρ τοῦ πουπίλλου καταλίπῃ, οὐκ ἀπόλλυσι τὸ λεγάτον, κἂν τῆς κληρονομίας τοῦ παιδὸς ἐκπίπτῃ*[3].

14. *Δεσπότης ἐστὶν ὁ λεγατάριος τοῦ λεγάτου καὶ πρὶν λάβῃ αὐτό.*

15. *Τὸ λεγάτον οὐ σβέννυται δεκαετίᾳ ἢ εἰκοσαετίᾳ, ἀλλὰ μόνον τριακονταετίᾳ.*

16. *Τὰ αἱρετικῶς λεγατευόμενα ὑπεξουσίῳ, ἠρτημένης τῆς αἱρέσεως εἰ γένηται αὐτεξούσιος καὶ ἐξέλθῃ ἡ αἵρεσις, αὐτῷ διαφέρει καὶ οὐχὶ τῷ πατρὶ αὐτοῦ.*

17. *Ἐὰν τὸ ὄνομα τοῦ λεγατευθέντος ἀγροῦ μὴ ἐκφωνήσας ὁ διαθέμενος ἀγρὸν ἀορίστως λεγατεύσῃ, ἀσθενεῖ τὸ λεγάτον.*

18. *Ἐὰν λεγατευθῇ ὑπεξούσιος πρᾶγμα τοῦ πατρὸς αὐτοῦ γραφέντος κληρονόμου καὶ κακῶς χρῆται τοῖς πράγμασιν ὁ πατήρ, ἔξεστι τοῖς παισὶν ἐπιλέγεσθαί τινα ἀξιόπιστον ὥστε αὐτὸν ἐπιμελεῖσθαι τῶν λεγατευθέντων αὐτοῖς πραγμάτων καὶ*

---

[1] Dig. XXXI, 47. [2] Dig. XXXIV, 4, 1 §. 2. [3] Dig. XXVI, 6, 4 §. 3.

τὰς ἐξ αὐτῶν προσόδους δαπανᾷν περὶ αὐτοὺς καὶ τὸν πατέρα αὐτῶν.

19. *Ἐὰν κινήσω περὶ καταστάσεως δίκην κατὰ τοῦ καταλείψαντός μοι λεγάτον, ἐκπίπτω τοῦ λεγάτου*[1].

20. *Ἐάν τις δύο λεγατεύσῃ φίλους ἔχοντας ὄνομα ἓν καὶ μὴ δείκνυται περὶ τίνος ἐνοήθη, ἄχρηστον τὸ λεγάτον.*

21. *Ἐὰν κληρονομήσω τὸν χρεώστην μου, συγχώρησις γίνεται, καὶ καθ᾽ ἑαυτοῦ κινεῖν δικαστήριον οὐ δύναμαι διὰ τὸ τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου εἰς ἓν συνδραμὸν δίκαιον.*

22. *Ἐὰν ὁ λεγατεύσας τῇ γαμετῇ αὐτοῦ τὴν προῖκα ἐπαγάγῃ, ἐξεῖναι αὐτὴν εἴτε θέλει τὰ αἰτήματα*[2] *τῆς προικὸς ἀνδράποδα λαβεῖν εἴτε τὴν ὑπὲρ αὐτῶν διατίμησιν, ἐὰν ἐπιλέξηται τὰ ἀνδράποδα, οὐ δύναται τὸν τοκετὸν αὐτῶν ἀπαιτεῖν.*

23. *Οἰκοσκευῆς λεγατευθείσης ἐσθὴς*[3] *οὐ περιέρχεται, τὰ δὲ ἄλλα περιέρχεται τὰ εἰς ἐξοπλισμὸν τοῦ οἴκου γενόμενα*[4].

24. *Τὰ λεγατευθέντα ἀνδράποδα πρὸ τοῦ ἀποδοθῆναι δύναται ὁ κληρονόμος ἐλευθεροῦν· τὴν δὲ διατίμησιν τούτων δίδωσιν.*

25. *Ἐπίτροποι ὀνόματι τοῦ ἐπιτροπευομένου τὸ πλαστὸν κινοῦντες καὶ ἡττώμενοι ἐκπίπτουσι καὶ τῶν ἐν τῇ διαθήκῃ καταλελειμμένων αὐτοῖς.*

26. *Ἐάν τις ἔχων τὶ ἀπὸ διαθήκης κινήσῃ κατ᾽ αὐτῆς ὡς πλαστῆς καὶ ἡττηθεὶς, ὁ φίσκος*[5] *λαμβάνει τὸ καταλειφθὲν αὐτῷ.*

27. *Ὁ παραβαίνων τὰς τοῦ διαθεμένου παρακλήσεις ἀνάξιός ἐστι λαβεῖν τὰ παρ᾽ αὐτοῦ καταλειφθέντα αὐτῷ.*

28. *Ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγκίου ἢ τοῦ ἑξαουγκίου· τὸ γὰρ τετραούγκιον ἢ ἑξαούγκιον, τουτέστι τὸ τρίτον τῆς περιουσίας ἢ τὸ ἥμισυ, τοῖς κληρονόμοις φυλάττεται*[6].

29. *Ὁ λεγατευθεὶς ἀπὸ διαθήκης καὶ εἰδὼς οὐ δύναται περὶ τῆς διαθήκης ἔτι ἀμφισβητεῖν, ὅτι οὐκ εἴη ἀληθής*[7].

30. *Ὁ λεγατάριος οὐ δύναται μέρος καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι*[8].

31. *Ἐάν τι μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ἔχει ὁ κληρονόμος, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι ἢ τὴν ἀποτίμησιν αὐτῶν· τῶν μέντοι ἀδιαιρέτων πάντως τὸ τίμημα δίδωσιν*[9].

---

[1] Dig. XXXIV, 9, 9 §. 2. [2] Legerim *διατίμητα*. [3] Lips. *εὐθύς*. [4] Dig. XXXIII, 10, 1. 10. [5] Lips. supra lineam: *τὸ δημόσιον ταμιεῖον*. [6] Proch. XXXII, 2. [7] Epan. XXXVI, 4. [8] Proch. XXXV, 1. [9] Proch. h. t. 7.

32. Ἀγέλης λεγατευθείσης καὶ τὰ προστεθέντα λαμβάνει ὁ λεγατάριος· εἰ δὲ καὶ μειωθῇ, κἂν εἰς ἕνα βοῦν περιστῇ, λαμβάνει αὐτὸ ὁ λεγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη[1].

33. Καὶ οἴκου λεγατευομένου καὶ καιομένου πυρὶ ἀδοκήτως λαμβάνει τὸ ἔδαφος[2].

34. Ἐάν τις κτῆμα κατεξαίρετον τοῖς ἀδελφοῖς αὐτοῦ εἰς λεγάτον καταλιπὼν μετὰ ταῦτα καὶ ἄλλῳ τινὶ τὸ αὐτὸ κτῆμα λεγατεύσῃ, πάντες ἅμα συνιόντες οἱ λεγατάριοι τὸ κτῆμα λαμβάνουσιν[3].

35. Ἐληγάτευσά σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ πεκουλίου αὐτοῦ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἠλευθέρωσα τὸν οἰκέτην, ἢ ἐξεποιησάμην αὐτὸν, ἢ συνέβη αὐτὸν τελευτῆσαι. οὐ μόνον ἐπ᾽ αὐτῷ, ἀλλὰ καὶ ἐπὶ τῷ πεκουλίῳ τὸ λεγάτον ἐξασθενεῖ· τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων ὑφεστάναι οὐ δύναται τὰ παρακολουθήματα[4].

36. Ἐάν τινι μέρος τῆς οὐσίας λεγατευθῇ, καὶ ὑφέληται τῆς κληρονομίας πρᾶγμα, ἐκπίπτει τῆς ἁρμοζούσης αὐτῷ τῶν λεγάτων ἀπαιτήσεως, ἐφ᾽ οἷς παρακατέσχε πράγμασι· τούτων γὰρ τὸ μέρος ἀπαιτεῖν οὐ δύναται[5].

37. Ὁ λεγατάριός μου δύναταί μοι μαρτυρεῖν, καὶ οὐ διὰ τὸ λεγατευθῆναι τῆς μαρτυρίας ἀποδοκιμάζεται[6].

38. Ἐὰν πολλὰ καὶ διάφορα πράγματα ἔχω καὶ λεγατεύσω σοὶ ἐξ αὐτῶν ἓν ἢ καὶ πλείω, καὶ μὴ δηλώσω ποῖον ἐξ αὐτῶν, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογὴν, ἐφ᾽ ᾧ μέντοι μὴ τὸ χεῖρον ἐπιδοῦναι τῷ λεγατευθέντι, ἀλλὰ τὸ μέσης ὑπάρχον ποιότητος[7].

39. Ζῶντος τοῦ λεγατεύοντος τῷ λεγαταρίῳ λεγάτον οὐκ ἐποφείλεται.

40. Ἐάν τις γρ'ψῃ τινὰ κληρονόμον ἢ ὑποκατάστατον[8], ἢ λεγάτον καταλείψας αὐτῷ κελεύσῃ μέλλοντα αὐτὸν τελευτᾷν, ἢ μετὰ τὴν ἰδίαν αὐτοῦ τελευτὴν, ἢ ὅλον τὸ καταλειφθὲν αὐτῷ ἢ μέρος αὐτοῦ ἑτέρῳ τινὶ ἀποκαταστῆσαι· καὶ συμβῇ προτελευτῆσαι τὸν μέλλοντα λαμβάνειν τοῦ κελευσθέντος αὐτῷ παρασχεῖν, κερδαίνει τὸ καταλειφθὲν ὁ τὴν δόσιν βεβαρημένος[9].

41. Ὅτε ἡ μήτηρ μετὰ ἐφήβου παιδὸς ναυαγῇ, πρώτη κατὰ πρόληψιν τελευτᾷ. τοὐναντίον δὲ ἐπὶ ἀνήβων[10].

42. Τὰ κατὰ τὸν νόμον ἐῤῥωμένα ἀπαιτοῦνται καὶ οὐχὶ τὰ ἀνυπόστατα.

---

[1] Proch. h. t. 2. [2] Proch. h. t. 3. [3] Proch. h. t. 4. [4] Proch. h. t. 5. [5] Proch. ib. 6. [6] Dig. XXVIII, 1, 20 pr. [7] Proch. cit. 8. [8] Lips. *ἀποκατάστασιν*. [9] Attal. XXVII, 7. [10] Att. ib. 6.

43. *Ἐάν τις νομίσας τὸν παρ' αὐτοῦ γραφέντα κληρονόμον τετελευτηκέναι ἄλλον γράψῃ κληρονόμον, κληρονομεῖ μὲν ὁ πρῶτος κληρονόμος, τὰ δὲ λεγάτα τῆς δευτέρας διαθήκης ἀπαιτεῖται*[1].

44. *Τῶν κινητῶν λεγατευθεὶς*[2] *ὁ χρυσὸς καὶ ὁ ἄργυρος περιέχεται, ἀλλ' ἰδικῶς ταῦτα μνημονεύεται ὡς μὴ ἐλάχιστα ἀλλὰ μεγάλα. πρόσληψις γάρ ἐστιν ἐκ νόμων, ὡς ὁ διαθέμενος [οὐ] μετὰ τῶν οἱωνδήποτε κινητῶν τὰ τιμιώτερα, [ἀλλ'] ἰδικῶς αὐτῶν μέμνηται.*

45. *Ὅτε τὸ λεγατευθὲν οὐκ ἐπὶ τοῦ ἰδίου εἴδους διαμένει, ἀλλὰ μεταποιεῖται ὑπὸ τοῦ διαθεμένου, οὐ δύναται τὸ λεγάτον ἐῤῥῶσθαι*[3].

46. *Ὁ κεφαλικῶς κατηγορῶν τοῦ λεγατεύσαντος αὐτὸν καὶ ἡττώμενος ἐκπίπτει τοῦ λεγάτου*[4].

47. *Ὁ χρεώστης ἀσθενῶς λεγατεύει τῷ δανειστῇ αὐτοῦ, εἰ μηδὲν πλέον κερδαίνει ὁ δανειστὴς ἐκ τοῦ λεγάτου*[5].

48. *Ἡ λεγατευομένη τοῖς ὑπεξουσίοις στρατεία οὐ προσπορίζεται τῷ πατρὶ αὐτῶν*[6].

49. *Ὁ ἀνασχόμενος ἀντὶ κεχρεωστημένου αὐτῷ λεγάτου γραμματεῖον χρεώστου λαβεῖν, εἰ καὶ ἄπορος εὑρεθῇ ὁ χρεώστης, οὐ δύναται ἀπαιτεῖν τὸ λεγάτον.*

50. *Ὁ λεγατάριος λαβὼν τὸ λεγάτον καὶ φαλκίδιον ὑφίσταται καὶ ἀναγκάζεται τὸν ἴδιον ἐλευθερῶσαι δοῦλον. εἰ μέντοι ἀλλότριον ἐκελεύσθη ἐλευθερῶσαι, οὐδὲν πλέον ὧν ἔλαβεν ἀναγκάζεται δοῦναι εἰς τὴν ἀγορὰν αὐτοῦ.*

Τίτλος λς'. Περὶ ἐπιτρόπων καὶ κουρατόρων.

1. *Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ δεφενδεύειν ἤτοι ἐκδικεῖν ἑαυτοὺς διὰ τὴν ἡλικίαν μὴ υναμενοι, ἤγουν ἄνηβοι. ἄνηβοι δὲ λέγονται οἱ μὲν ἄῤῥενες ἕως οὗ πληρώσουσι τὸν ιδ' ἐνιαυτὸν, αἱ δὲ θήλειαι ἕως οὗ πληρώσουσι τὸν ιβ'*[7].

2. *Οἱ ἐπίτροποι δίδονται τοῖς ἀνήβοις ἄῤῥεσιν ἀπὸ τοῦ α' ἐνιαυτοῦ μέχρι καὶ περαιώσεως τοῦ ιδ', ταῖς δὲ θηλείαις*

---

[1] Dig. XXVIII, 5, 92. [2] Lege *λεγάτῳ οὐχ.* [3] Dig. XXX, 65 §. 2. [4] Dig. XXXIV, 4, 31 §. 2. [5] Dig. XXXIV, 3, 11. [6] Dig. IV, 4, 3 §. 7 in f. [7] Proch. XXXVI, 1.

μέχρι καὶ τοῦ ὅλου ιβ'. κουράτορες δὲ τοῖς ἀφήλιξι μέχρι τοῦ κε' ἐνιαυτοῦ, κἂν θήλειαι ὦσιν.

3. Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες εἰς τὰς ἐπιτροπὰς τελείας ἡλικίας ὑπάρχοντες, εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόκειται. αὗται γὰρ προσκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος[1], ἐξῃρημένων μόνων τῶν κατὰ διαθήκας ἐαθέντων[2].

4. Ἡ ἐπιτροπὴ ὡς ἐπίπαν ἀνδρῷόν ἐστιν ὀφφίκιον, καὶ γυναῖκες οὐκ ἐπιτροπεύουσιν, εἰ μὴ αἱ μητέρες καὶ αἱ μάμμαι τῶν ἰδίων τέκνων. κουράτορες δὲ δίδονται μετὰ τὴν ἥβην τοῖς νέοις ἄνδρες καὶ οὐχὶ γυναῖκες. δίδονται δ' ὁμοίως καὶ μαινομένοις καὶ ἀσώτοις ἐπὶ διοκήσει καὶ διευθετήσει τῶν πραγμάτων αὐτῶν[3].

5. Δίδονται κουράτορες ἰδικῶς καὶ ἐπὶ δίκῃ, ὅταν ὁ ἀφήλιξ ἐνάγων ἢ ἐναγόμενος μὴ ἔχῃ τὸν ἐκδικοῦντα[4].

6. Ὁ πλησιέστερος συγγενὴς ἐπιτροπεύει. εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, πάντες ἐπιτροπεύουσιν[5].

7. Καὶ τῷ ἀλάλῳ δίδοται ἐπίτροπος[6].

8. Οὐδεὶς δύναται ἐπίτροπον δοῦναι τῷ μὴ ὄντι ὑπεξουσίῳ κληρονόμῳ[7].

9. Τῷ υἱῷ τοῦ αἰχμαλώτου οὐ δίδοται ἐπίτροπος, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ· ὑποστρέφοντος γὰρ τοῦ πατρὸς γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ᾐχμαλωτίσθη[8].

10. Καὶ τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα δίδοται κουράτωρ ἤτοι φύλαξ, ὅστις διοικητὴς πραγμάτων ἐστὶ, καὶ ὁ λεγόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων διὰ τοῦ ἄρχοντος προχειρίζεται[9].

11. Καὶ ὁ ἔπαρχος καὶ ὁ ἄρχων καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς ἐπαρχίας διοίκησιν, ἴσως τοῦ ἄρχοντος ἀποθανόντος, δύναται ἐπιτρόπους δοῦναι[10].

12. Ὅπου ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, πλὴν γυναικός[11].

13. Οἱ σρατηγοὶ πάντες ἐπιτρόπους διδόασιν, ἀλλὰ μόνους τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν ἢ τῶν ὑπ' αὐτὰς ἀγρῶν[12].

14. Ὁ ἐπίτροπος ἢ παρὰ πατρὸς δίδοται ἢ παρὰ μητρός. καὶ ὁ μὲν πατὴρ καὶ κληρονόμους καὶ ἀποκλήρους γράφων τοὺς

---

[1] Lips. πάντων εἰς τὸ ἐπ. ὀφειλόντων. [2] Proch. h. t. 8. [3] Attal. XXV, 5. [4] Attal. cit. 6. [5] Proch. h. t. 9. [6] Proch h. t. 3. [7] Basil. II, 3, 73 th. 2. [8] Proch. h. t. 4. [9] Proch. h. t. 5. [10] Proch. h. t. 6. [11] Basil. II, 3, 73 th. 3. [12] Proch. h. t. 7.

υἱοὺς καλῶς δίδωσιν αὐτοῖς ἐπίτροπον, δι' ἣν ἔχει κατὰ τῶν υἱῶν ἐξουσίαν· ἡ δὲ μήτηρ, ὅτε γράφει αὐτοὺς κληρονόμους καὶ μόνον, καὶ τότε βεβαιοῦται μετ' ἐξετάσεως[1].

15. Δίδοται ἐπίτροπος καὶ παρὰ δικαστοῦ, ὅταν οὐ φθάσωσιν οἱ γονεῖς δοῦναι τοῖς παισὶν ἐπίτροπον. καὶ λέγεται ὁ τοιοῦτος λεγίτιμος, οἷον ὁ παρὰ τοῦ νόμου διδόμενος. λέγες γὰρ οἱ νόμοι παρὰ ῥωμαίοις λέγονται[2].

16. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκάζεται αἰτεῖν ἑαυτῷ κουράτορα[3].

17. Ἀπαιτεῖται ὁ ἐπίτροπος λογοποιΐαν ἐφ' οἷς ἐνήργησεν εἰς τὰ τῶν ἐπιτροπευομένων πράγματα. καὶ εὐθύνεται ἐφ' οἷς δέον ποιῆσαι οὐκ ἐποίησε, καὶ ἐφ' οἷς δέον μὴ ποιῆσαι ἐποίησεν. ὁμοίως δὲ καὶ ἐὰν ὑπερέξοδα ποιήσῃ ὁ ἐπίτροπος εὐλόγως, ἐν τῇ λογοποιΐᾳ ζητεῖ καὶ λαμβάνει αὐτά. εἰ δέ τινες γνωσθῶσιν ἐν τῷ μέσῳ τῆς ἐπιτροπῆς ὕποπτοι ἤγουν δολεροὶ ἢ δίκας ἔχοντες μετὰ τῶν νέων, ἐκδιώκονται τῆς ἐπιτροπῆς[4].

18. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκάζεται αἰτεῖν κουράτορα[5].

19. Ἐπίτροπος μὴ ποιῶν ἀπογραφὴν τῶν ὀρφανικῶν πραγμάτων ὡς μεμπτέος ἀποκινεῖται καὶ ἀτιμοῦται, καὶ οὐδὲ διὰ θείας ἀντιγραφῆς ἀπαλλάττεται τῆς ἀτιμίας[6].

20. Οὐ κουρατορεύει οὔτε ἐπιτροπεύει ὁ μείζων τῶν ο' ἐτῶν[7].

21. Οὐκ ἀπαιτεῖται ὁ ἄνηβος αἰτεῖσθαι ἐπίτροπον ἑαυτῷ ἢ πρὸς αὐτὸν ἀποδημεῖν[8].

22. Μόνος ἐπίτροπον δύναται παρασχεῖν ὁ ἰδικῶς ἀπὸ νόμου ἐπιτετραμμένος. οὐ γάρ ἐστι τοῦτο βασιλικῆς ἐξουσίας[9].

23. Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ δεφενδεύειν ἤτοι διεκδικεῖν ἑαυτοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι[10].

24. Ἐπιτροπή ἐστιν, ὡς ὁ ῥέσδιος διορίζεται, δίκαιόν τι καὶ ἐξουσία κατὰ ἐλευθέρας κεφαλῆς διδομένη καὶ πρὸς ἀσφάλειαν αὐτῆς ἐπινενοημένη, ἢ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς ἢ διὰ τὸ τῆς εὐπραγίας ἀληθὲς ἐπιτετραμμένη[11].

25. Οἶδε καὶ πενία παραίτησιν κηδεμονίας ποιεῖν[12].

---

[1] Attal. XXV, 2. [2] Att. ib. 3. [3] Proch. h. t. 2. [4] Att. cit. [5] Epan. XXXVIII, 5. [6] Epan. ib. schol. a. [7] Epan. l. l. [8] Epan. ib. 2. [9] Epan. ib. 8. [10] Epan. ib. 1. [11] Theoph. I, 13 §. 1 ex Epitome. [12] Theoph. I, 25 §. 6.

26. Οὐ δύναμαι ἐπὶ ῥητῷ πράγματι ἢ ῥητῇ αἰτίᾳ ἐπίτροπον καταλιμπάνειν· οἷον ἔστω ἐπίτροπος ἐπὶ τῷδε τῷ ἀγρῷ ἢ ἐπὶ τῇδε τῇ δίκῃ. προσώπῳ γὰρ εἴωθεν ἐπίτροπος δίδοσθαι οὐ μὴν αἰτίᾳ ἢ πράγματι. ὁ μὲν γὰρ ἐπίτροπος ἀνήβων μόνων ἐστὶν ἐπίτροπος, οἱ δὲ κουράτορες ἐφήβων. ἐστὶ δὲ ὅτε καὶ ἀνήβων ἐπίτροπος ἐν διαθήκῃ καλῶς δίδοται, ἀνισχύρως δὲ ὁ κουράτωρ[1].

27. Ἄκων οὐδεὶς κουρατορεύεται, ἐπιτροπεύεται δέ τις καὶ μὴ θέλων.

28. Ἐπίτροπος ἐπὶ φανερᾷ δίκῃ δοθῆναι οὐ δύναται· κουράτωρ δὲ καὶ πάνυ. κουρατορεύονται δὲ πρὸς ἀφήλιξι μαινόμενοι, ἔτι δὲ καὶ ἄσωτοι, κἂν μείζονες ὦσι τῶν κε' ἐνιαυτῶν[2].

29. Ἐξτραορδίνως[3] τιμωροῦνται οἱ ἐπὶ δόσει γινόμενοι ἐπίτροποι, ἢ ἐπὶ χρήμασι σπουδάζοντες ἐπιτηδείους μὴ προβληθῆναι, καὶ οἱ ἐπίτηδες τὴν οὐσίαν ἐν τῷ ἀπογράφεσθαι μειοῦντες, καὶ οἱ προφανεῖς ἐπὶ παραγραφῇ ἐκποιοῦντες τὸ πρᾶγμα τοῦ ὀρφανοῦ[4]. ἐὰν κληρονομία μὴ ἀπαιτηθῇ, οὐδὲν τῶν ἐν τῇ διαθήκῃ ἔῤῥωται. εἰ δὲ ἀπὸ πολλῶν κἂν εἷς [ἀδιτεύσει], παραχρῆμα ἡ ἐπιτροπὴ ἰσχύει[5].

30. Ἐγγύας μὴ ἀπαιτείσθω ὁ καταλειφθεὶς παρὰ τοῦ πατρὸς κουράτωρ, κἂν τάχα μοινόμενοί εἰσιν οἱ παῖδες. ὅρκον δὲ διδότω ἐφαπτόμενος τῶν ἁγίων [εὐαγγελίων] παρουσίᾳ τοῦ ἄρχοντος καὶ τοῦ ἐπισκόπου καὶ ἄλλων τριῶν μαρτύρων, ὅτι πάντα ἐπωφελῶς πρὸς τὸ συμφέρον τοῦ γενομένου διοικεῖ. μετὰ δὲ τὸν ὅρκον καὶ εἰς τὰ τοῦ κουρατωρευομένου πράγματα ὑποκείμενος[6] τῆς περιουσίας αὐτοῦ τοὺς λόγους τῆς διοικήσεως διδότω. εἰ δὲ πολλοὶ προτείνουσι δοῦναι τὰς ἐγγύας, ὁ ἐπιτήδειος προτιμᾶται. ἔχει δὲ σιωπηρὰν ὑποθήκην ὁ νέος εἰς τὰ πράγματα τοῦ κουράτορος[7].

31. Σὺν τούτοις καὶ τοῦτο θεσπίζοντες τοῖς προγραφεῖσι προστίθεμεν. πολλοὶ τῶν ἀνθρώπων ἐν τοῖς ἐπιτελευτίοις αὐτῶν διατάγμασιν ἐπιτρόπους ἤγουν διοικητὰς τῶν παρ' αὐτῶν διορισθέντων καταλιμπάνουσι, καὶ τούτοις ἀνατιθέασι τὴν τῶν πραγμάτων αὐτῶν οἰκονομίαν τε καὶ διοίκησιν, τὸν χριστὸν

---

[1] Theoph. I, 14, §. 4 et 23 §. 2. [2] Theoph. I, 23. [3] Cod. supra lineam: ἔξω τεταγμένου. [4] Dig. XXVI, 1, 9. [5] Dig. XXVI, 2, 9. [6] Epit: μετὰ δὲ τὸν ὅρκον καὶ καταγραφὴν ποιεῖν εἰς τὰ κτλ. Legerim: ὑποκειμένης. [7] Cod. V, 70, I.

κληρονόμον γράφοντες, τὸ γλυκὺ τοῦτο καὶ κοσμοσωτήριον ὄνομα. τοῦτο δὲ δοκοῦσι ποιεῖν, δι᾽ ὧν τοῖς πένησι τὰς περιουσίας αὐτῶν καταμερισθῆναι προστάττουσι. τοῦ γὰρ αἰτοῦντος λαμβάνοντος ἵσταται ὁ χριστὸς συγκοιλαίνων τὴν χεῖρα, καθ᾽ ὅσον γάρ, φησιν, ἑνὶ τούτων τῶν ἐλαχίστων ἀδελφῶν ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. παρακελευόμεθα οὖν, ὅταν ἐπιτροπικαὶ τοιαῦται διοικήσεις πρόκεινται, καὶ εἰς εὐσεβεῖς αἰτίας διανομαὶ καὶ πρὸς ψυχικὰς οἰκονομίας, καὶ ὀρφανῶν, ἀφηλίκων τε καὶ πενήτων ἀναγωγὰς καὶ διατροφὰς τείνωσι, μὴ χώραν ἔχειν ἐν ταύταις τοὺς τῶν δικαστηρίων ὑπερβιβασμοὺς καὶ τὰς ἐντεῦθεν χρονοτριβήσεις. συμβαίνει γὰρ ἐντεῦθεν τὰς τῶν τελευτώντων ζημιοῦσθαι ψυχάς, καὶ τοὺς ἐπ᾽ ἀγαθῷ καὶ κοινῇ λυσιτελείᾳ τοῦ παντὸς τεθέντας νόμους εἰς τοὐναντίον περιΐστασθαι. οὐ γὰρ δίκαιον κρίνει ἡ βασιλεία μου, τὴν ἐπὶ τοῖς λοιποῖς δικαστηρίοις κρατοῦσαν ἀκολουθίαν καὶ ἐπὶ τοῖς τοιούτοις πολιτεύεσθαι, ἀλλὰ τὰς ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν ἀμφιβολίας ἀπεντεῦθεν λύεσθαι, μὴ λιβέλλου διδομένου, εἰδήσεως δὲ τριημέρου, ἢ καὶ ἐπὶ τετάρτιου παρεκτεινομένου. μή τινος γὰρ δικαστικῆς ὑπερθέσεως ἐπεισαγομένης ἡ τῶν προσόντων ἑκάστῳ δικαίων γένηται κατεξέτασις. καὶ μετακληθήσονται καὶ ἄμφω τὰ μέρη, δίχα τινὸς ὑπερημερίας, καὶ ἀπαιτηθήσονται ἑκάτερα τὰ μέρη τὰ δοκοῦντα συντείνειν αὐτοῖς προβαλέσθαι. καὶ οὕτω δι᾽ ὀλίγου καιροῦ, μηνιαίου τυχὸν ἢ καὶ εἰς δεύτερον παρεκτεινομένου, κατὰ τὸ δόξαν τῷ δικαστηρίῳ προσήκουσαν δέξεται λύσιν τὸ ἀνακύψαν ἀμφίβολον. τηρουμένων δηλονότι τῶν νόμων ἐπὶ τῆς οἰκείας ἕδρας καὶ παγιότητος, ὅσοι μὴ μετὰ τὸν τοῦ τελευτήσαντος θάνατον εὐθὺς τοὺς ἐκείνου διαδόχους εἰς δικαστήριον ἕλκεσθαι διορίζονται, ἀλλὰ μετὰ παραδρομὴν ἡμερῶν τινων, καθὼς τὰ περὶ τούτων πλατύτερον ἐν τοῖς βασιλικοῖς διηγόρευται. εἰ δέ γ᾽ ἐπίτροπος εἰς ὑπερθέσεις χωρῶν φανείη, φωραθείη δὲ καὶ τοιαῦτα σκαιωρῶν καὶ πρὸς ὑπερβιβασμὸν χωρήσει, [μὴ ποιῶν] καθὼς ὁ διαθέμενος διετάξατο, τῆς ἐπιτροπῆς καὶ οἰκονομίας τῶν τοῦ τελευτήσαντος πραγμάτων μετακινηθήσεται. ἀνατεθήσεται δὲ αὕτη οἷς ἂν ὁ βασιλεὺς διορίσηται· ἢ τούτου ἴσως ἀποδημοῦντος, ὁ τῆς πόλεως ἔπαρχος, ἅμα τῷ τῆς ἁγιωτάτης ἐκκλησίας οἰκονόμῳ, τὴν τούτου οἰκονομίαν τε καὶ διοίκησιν ποιήσεται· ὀφείλοντες εἴδησιν διδόναι τῶν ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν οἰκονομουμένων τῷ βασιλεῖ, καὶ τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ, εἰ τύχῃ τὸν βασιλέα ἀπό-

δημον εἶναι, καὶ μὴ κατὰ πρόσταξιν αὐτοῦ τὰ τοῦ τελευτήσαντος πληρωθῶσι θελήματα[1].

32. Ἐὰν μήτηρ ἐπιτροπεύουσα παιδὸς ὑπερβᾶσα τὴν ἐπαγγελίαν δευτερογαμήσῃ μὴ αἰτήσασα αὐτῷ πρῶτον ἐπίτροπον καὶ τοὺς λογισμοὺς παραδοῦναι, οὐδὲν ἧττον ὑπόκεινται καὶ διὰ τοῦτο καὶ τὰ τοῦ ἑτέρου ἀνδρὸς πράγματα[2].

33. Ἡ διάταξις λέγει πάντας τοὺς ἐπιτρόπους μείζονας εἶναι τῶν κε΄ ἐνιαυτῶν, ἵνα καὶ τὰ πράγματα αὐτῶν ὑπόκεινται οὐδενὸς προκρίματος γενομένου[3].

34. Οἱ ἀγαθοὶ τρόποι ἀξιοπιστότεροί εἰσι πρὸς ἐπιτροπὴν καὶ οὐσίας καὶ ἀξιώματος[4].

35. Ἐὰν μὴ πιστῶς διοικήσωσιν οἱ ἐπίτροποι, καταδικάζονται, κἂν εἴπῃ ἀλογοθετήτους αὐτοὺς εἶναι. διὰ γὰρ τῶν τοιούτων οὐκ ἐναλλάσσεται τὸ κοινὸν νόμιμον[5].

36. Ἐὰν χωρὶς εὐλόγου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ καταγραφὴν, ὡς δόλον ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ εἰς τὸ διαφέρον[6].

37. Μὴ ἁπτέσθω τῶν πραγμάτων ὁ ἐπίτροπος, εἰ μὴ πρότερον ἀπογραφὴ γένηται, εἰ μήτοιγε ἄρα οἱ τὴν οὐσίαν πέμψαντες εἰς τοὺς ἀνήβους αὐτοὶ τὴν ἀπογραφὴν ἐκώλυσαν γενέσθαι. ὁ δὲ μὴ ποιήσας ἀπογραφὴν καὶ ὡς ὕποπτος ἀποκινείσθω καὶ ἀτιμούσθω, μηδὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος[7].

38. Ὁ ἐπίτροπος μὴ ποιήσας ἴμβεντα ἤτοι ἀπογραφὴν ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ. ὁμοίως καὶ μὴ προφέρων τὰ δικαιώματα. ἐν αὐτῷ γὰρ τούτῳ δόλον δοκεῖ ποιεῖν ὅτε τὰ εὑρεθέντα ἐν τῇ οὐσίᾳ συμβόλαια κρύπτει. ἐὰν δὲ μετὰ προκάταρξιν τοῦ ἐπιτρόπου τελευτήσαντος οἱ κληρονόμοι μὴ πληρώσωσι τὸ δικαστήριον τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς, ὑπόκεινται καὶ αὐτοὶ τῷ ἐνδίκῳ ὅρκῳ[8].

39. Οἱ ἐπίτροποι ὀφείλουσι κεχρῆσθαι τῇ ἀπολύσει πρὶν ἄρξονται τὰ πράγματα διοικεῖν. ἐὰν ἄρξωνται, οὐκέτι δύνανται ἑαυτοῖς εἰ μὴ ἀπὸ ῥητῶν αἰτιων, ὡς ὅταν διὰ πρᾶγμα δημόσιον ἀπολειφθῶσιν[9].

40. Τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα βέβαιά εἰσι· καὶ τὸ παρ᾽ αὐτοῦ νομίμως πραθὲν, εἴτε εὐπορεῖ εἴτε μὴ, οὐκ ἐκ-

---

1 Nov. Manuelis Comneni. Coll. IV Nov. 66 c. 7. 2 Nov. 22 c. 40. 3 Basil. XXXVII, 4, 9. 4 Bas. ib. 5, 20. 5 Bas. ib. 7, 4. 6 Bas. ib. 7, 6. 7 Bas. XXXVIII, 3, 38 med. 8 Bas. ib. 15, 4. 9 Bas. ib. 1, 77.

δικεῖ ὁ νέος. ἡ δὲ κακῇ πίστει γενομένη πρᾶσις οὐκ ἔῤῥωται[1].

41. Ἐὰν ὁ γενόμενος ἐπίτροπος μὴ ἐναγάγῃ τοῖς χρεώσταις, καὶ ἐν τοσούτῳ ἀπορήσωσιν, ἐνάγεται εἰς τὸ μὴ ἀπαιτηθὲν χρέος[2].

Τίτλος λζ'. Περὶ τοῦ μὴ ἐνυβρίζεσθαι τὰ λείψανα παρὰ τῶν δανειστῶν, καὶ περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τῶν δανεισάντων.

1. Μεμνήμεθα δὲ πρὸς τούτοις νόμον παρ' ἡμῖν φοιτῆσαι δι' οὗ παρεκελευσάμεθα, τὰ τῶν τελευτώντων σώματα μηδενὶ ἐξεῖναι χρέους ὀνόματι ἢ ἄλλης τινὸς ἀγωγῆς τῆς νενομισμένης ἀποστερεῖν ταφῆς ἢ λόγῳ παρακατέχειν ἐνεχυριάσεως· παντελῶς γὰρ ἀνοσιόν τε καὶ ἀπάνθρωπον καὶ ἡ κοινὴ φύσις τοῦτο ἐπίσταται. διὸ θεσπίζομεν τοὺς τοῦτο τολμῶντας ποιεῖν μὴ μόνον ἐκ τῆς τοιαύτης θρασύτητος μηδὲν ὠφελεῖσθαι, ἀλλὰ καὶ τοῦ χρέους ἢ τῆς οἱασδήποτε ἐναγωγῆς ὑπὲρ οὗ ταύτην τὴν τόλμαν ἐτόλμησαν παντελῶς ἀλλοτριοῦσθαι. εἰ δὲ μὴ τῇ ἀληθείᾳ χρέει ὁ τελευτήσας ὑπέκειτο ἢ ἄλλῃ τινὶ ἐναγωγῇ, οὗτος δὲ κατὰ τοῦ κειμένου σώματος τοιαῦτα ἐνύβριζε, τοσαύτην καταβολὴν ποιεῖσθαι τοῖς ἐκείνου κληρονόμοις καὶ διαδόχοις, ὅσην αὐτὸς ἀνέπλαττε παρὰ τοῦ τελευτῶντος χρεωστεῖσθαι[3].

2. Ἰστέον, ὅτι ἡ ξ' νεαρὰ καὶ κατὰ τῶν ἔτι ἐμπνέοντας τοὺς τελευτῶντας θορυβούντων διὰ χρέος, ὁμοίως δὲ καὶ κατὰ τῶν εἰς τὰ σώματα καὶ τὴν ἐκφορὰν καὶ ταφὴν αὐτῶν ὑβριζόντων, τοιαῦτα τέθεικεν ἐπιτίμια· τῆς μὲν ἀγωγῆς ἔκπτωσιν, εἴτε δικαία ἐστὶν εἴτε ἄδικος, καὶ ἄλλης τοσαύτης ποσότητος καταβολὴν ἐκ τῆς τῶν ὑβριστῶν ὑποστάσεως ἐπὶ τοὺς κληρονόμους τῶν ὑβρισθέντων, καὶ δήμευσιν εἰς τὸ γ' τῆς λοιπῆς αὐτῶν περιουσίας καὶ ἀτιμίαν ἐσχάτην[4].

3. Θεσπίζομεν μηδενὶ παντελῶς ἐξεῖναι ἢ τοὺς κληρονόμους τοῦ τελευτῶντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετὴν ἢ συγγενεῖς ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς πρὸ τῆς τῶν θ' ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶ-

---

[1] Bas. XXXVII, 7, 11. [2] Bas. ib. 14. [3] Epanag. XXXV, 1.
[4] Epan. ib. schol. a.

σθαι ἢ καθ᾽ οἱονδήποτε χρόνον ἐνοχλεῖν, ἤ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα[1].

4. Εἰ δ᾽ ἐντὸς τῶν θ′ ἡμερῶν τολμήσει τίς τινα τῶν εἰρημένων προσώπων κρατῆσαι ἢ μεθοδεῦσαί τινα ὁμολογίαν ἢ ὑπόσχεσιν ἢ ἐγγύην παρ᾽ αὐτοῦ κομίσασθαι, ταῦτα πάντα [ἀνίσχυρα εἶναι θεσπίζομεν][2].

5. Μετὰ δὲ τὴν τῶν θ′ ἡμερῶν παραδρομήν, εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγάς, ταύτας κατὰ τοὺς νόμους ἐγγυμνάζεσθαι· μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίαν παραγραφὴν ἢ ἐν ἄλλῃ οἱαδήποτε δικαιολογίᾳ παντελῶς γινομένου[3].

6. Ὁ πρὸ δικαστικῆς ψήφου σήμαντρα ἐπιθεὶς πρὸ τῶν θ′ ἡμερῶν τοῦ πένθους, ἢ ὄχλησιν ἐπάγων τῷ τελευτήσαντι ἢ γαμετῇ ἢ παισὶν αὐτοῦ, τῆς τε δίκης ἐκπιπτέτω καὶ ἕτερον τοσοῦτον προσαπολλύτω[4].

Τίτλος λη′. Περὶ καινοτομιῶν καὶ νομῆς, ἐν ᾧ καὶ περὶ ἀνακοινώσεως καὶ περὶ παραγγελίας.

1. Καινὸν ἔργον ποιεῖ τις ἢ διὰ τὸ καινοτομεῖν ἢ διὰ τὸ οἰκοδομεῖν ἢ διὰ τὸ καταλύειν τίποτε καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσειν[5].

2. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τὶς περὶ καινοτομίας. ὁ δοῦλος δὲ ἑτέρῳ κτίζοντι παραγγέλλειν οὐ δύναται[6].

3. Ἐὰν πολλῶν τινων ᾖ τὸ πρᾶγμα, περὶ ὃ γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ παραγγελθῇ, ὀρθῶς γίνεται ἡ παραγγελία καὶ δοκεῖ πρὸς πάντας τοὺς δεσπότας γεγονέναι. εἰ δὲ εἷς ἐκ τῶν οἰκοδεσποτῶν μετὰ τὴν παραγγελίαν ἐποικοδομεῖ, οὐκ ἐνάγονται περὶ τούτου τοῦ ἔργου οἱ ἄλλοι· οὐδὲ γὰρ χρὴ τὰ παρ᾽ ἑτέρου γενόμενα καταβλάπτειν τοὺς μηδὲν πεποιηκότας[7].

---

[1] Proch. XXXVII, 1. [2] Proch. h. t. 2. [3] Proch. h. t. 3. [4] Epit. XVII, 67. [5] Proch. h. t. 1. [6] Proch. h. t. 2. [7] Proch. h. t. 3.

4. *Προστάττομεν, ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω, μήτε ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχοι τοιαύτην κατὰ σύμφωνον ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ ἢ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα. ὁ γὰρ τοιαύτην ἔχων δουλείαν ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοὺς γείτονας, ἐπειδὴ τοῦτο κατὰ συμφωνίαν ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται. ἡνίκα δὲ δύο οἶκοι ἀντικρὺ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν ιβ' πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τοῖς θεμελίοις οἰκοδομήματος καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένους. τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον οἶκον ἐγείρειν καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν, εἴτε νέον οἰκοδομεῖν εἴτε παλαιὸν οἶκον ἀνασκευάζειν[1] ἢ τὸν ἐκ πυρὸς διαφθαρέντα[2].*

5. *Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει ἄποψιν τοῦ γείτονος ιβ' μόνους ἀπαιτῶν πόδας μὴ ἀφαιρείσθω, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θάλασσαν ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καθήμενος ἐν αὐτοῖς καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον ἐφ' ᾧ ἰδεῖν θάλασσαν. εἰ δὲ ρ' ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων εἴη διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ καὶ τὴν ἐπὶ θάλασσαν ἄποψιν τοῦ γείτονος ἀφαιρείσθω[3].*

6. *Εἰ δέ τις ἀπὸ μαγειρίου ἢ ἀπὸ ἀφεδρῶνος ἢ ἀπὸ κλιμακῶνος ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων παρόδων ἤτοι διαβατικῶν ἄποψιν ἐπὶ θάλασσαν ἔχοι, τὴν τοιαύτην ἄποψιν καὶ ὁ ἐντὸς ρ' ποδῶν οἰκοδομῶν ἀκωλύτως ἀφαιρεῖται, εἰ μόνον ιβ' πόδες εἰσὶ μεταξὺ τῶν δύο οἴκων. εἰ δὲ καὶ σύμφωνόν ἐστιν ἐπιτρέπον τινὶ τὴν οἰκοδομίαν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτοι τὸν γείτονα περὶ τὴν τῆς θαλάσσης ἄποψιν, εἴτε αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου συνεφώνησεν εἴτε οἱ πρὸ αὐτοῦ κτησάμενοι τὸν οἶκον· οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀφαιρεῖσθαι[4].*

7. *Δουλείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμασιν ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην τοῦ ἑτέρου οὐ δύναται[5].*

8. *Κατὰ μέντοι τῶν δένδρων καὶ κήπων δουλεία ἀπόψεως οὐ φυλάττεται[6].*

---

[1] Cod. in marg: *γρ. ἀνακτίζειν.* [2] Proch. h. t. 4. [3] Proch. h. t. 5. [4] Proch. h. t. 6. [5] Proch. h. t. 7. [6] Proch. h. t. 8.

9. *Ὅτε μέσου ὄντος στενωποῦ ἢ πλατείας ὁδοῦ οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν ιβ' ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέτω. οὐδὲ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς ιβ' πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενώτερον τῶν ιβ' ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. ὅτε δὲ πλεῖον εὑρεθῇ τὸ τῆς ῥύμης ἢ τῆς πλατείας μέτρον, μηδὲν ἐξ αὐτοῦ ἀφαιρεῖσθαι, ἀλλὰ τῇ πόλει περισώζεσθαι τὰ οἰκεῖα. ἐὰν δὲ παλαιῶν ὄντων [τῶν οἴκων] εὑρεθῇ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ στενώτερος ὢν τῶν ιβ' ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα ὑψοῦν τὸν ἴδιον οἶκον ἢ θυρίδας ποιεῖν*[1].

10. *Εἰ μέντοι ι' πόδες εἴησαν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν θυρίδας μὴ ἐξέστω τῷ κτίζοντι ποιεῖν, εἰ μὴ πρότερον εἶχεν αὐτάς, φωταγωγοὺς δὲ ἐξέστω αὐτῷ ποιεῖν ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας· μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ καὶ διὰ τούτου τὴν φωταγωγὸν θυρίδα κατασκευάζειν παρακυπτικήν*[2].

11. *Τὸν ἐπίκοινον τοῖχον οὐδέτερος τῶν κοινωνῶν δύναται καταλύειν ἢ ἀνανεοῦν παραγνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἔστι μόνος δεσπότης*[3].

12. *Ἐπὶ γυμνοῦ τόπου οὐκ ἔστι κώλυσις τοῦ ὑψοῦν*[4].

13. *Ἐάν τις τὸν πεσόντα οἶκον ἀνανεῶν ὑψῶσαι βούληται καὶ ἐμποδίσαι τοῖς τοῦ γείτονος φωσὶν ἢ ἕτερόν τι ποιῆσαι ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν κατάστασιν τῶν πρῴην οἰκημάτων καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν*[5].

14. *Τὸ μὲν φῶς ἐστι τὸ τὸν οὐρανὸν θεωροῦν, ἡ δὲ ἄποψις ἐν τοῖς κατωτέροις τόποις εἶναι δύναται*[6].

15. *Οὗτινος τὰ οἰκήματα δουλείας δικαίῳ ὑπέρκειται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν εἰς ἄπειρον ταῦτα ὑψοῦν, ἐν ᾧ μέντοι τὰ ὑποκείμενα οἰκήματα τοῦ γείτονος μὴ βαρύνειν δουλείᾳ [βαρυτέρᾳ] παρ' ἣν φέρειν ὀφείλουσιν*[7].

16. *Οὐ καλῶς τις κωλύει τὸν γείτονα ἀνοίγοντα πυλῶνα κατὰ τῆς δημοσίας ἐντὸς τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτει τὴν πάροδον*[8].

---

[1] Proch. h. t. 9. [2] Proch. h. t. 10. [3] Proch. h. t. 11. [4] Proch. h. t. 12. [5] Proch. h. t. 13. [6] Basil. LVIII, 2, 15 (cf. ed. Heimb. in notis). [7] Proch. h. t. 14. [8] Proch. h. t. 15.

17. Ἐὰν ἡ πηγή, ἀφ' ἧς ἕλκει τὶς ὕδωρ, ξηρανθεῖσα ἐπί τινας χρόνους αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία καὶ ἀποκαθίσταται αὐτῷ ὁ τοῦ ὕδατος ἑλκυσμός, καθὼς ἦν τὸ πρότερον[1].

18. Εἰ ἐν ἐξώστῃ μου βῆλον βαλὼν κωλύω τὰ φῶτα τοῦ γείτονος, οἰτίλιον ἔσται μοὶ τουτέστι κώλυσις[2].

19. Οὔτε φοῦρνον οὔτε πυρκαϊὰν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν, ἐν ᾧ τὸν ἐπίκοινον τοῖχον ὑπὸ τοῦ πυρὸς καταβλάπτεσθαι[3].

20. Ἐάν τις ποιήσῃ τυρεψεῖον, ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν τοῖς ὑψηλοτέροις οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν [καπνόν, εἰ μὴ ἄρα τὶ δίκαιον παρεχώρησαν αὐτῷ τοῦ εἰσπέμπειν τὸν] καπνόν. ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες ὕδωρ ῥίπτοντες ἢ κόπρον βλάπτουσί τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποεῖν τι ἐν τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτῃ. τὸ δὲ αὐτὸ καὶ περὶ δυσωδίας[4].

21. Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου κλίνῃ ἥμισυ ποδός, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν[5].

22. Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαύλῳ κείμενον μεγάλας ἐκτεῖναν ῥίζας τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτῃ, προνοίᾳ τοῦ ἄρχοντος ἀναγκαζέσθω ὁ γείτων ἐκτέμνειν[6].

23. Ἐάν τις κατὰ ἀλλοτρίου τοίχου κατὰ βίαν θυρίδας ποιήσῃ, ἀναγκάζεται ἰδίοις ἀναλώμασι τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα[7].

24. Ὁ εἰς ἀλλότριον ἔδαφος κτίζων ἢ φυτεύων ἢ ἄλλο τὶ ποιῶν ἔοικε τὰς ὕλας τῷ οἰκοδεσπότῃ χαρίζεσθαι[8].

25. Ἔξεστι τῷ βουλομέτῳ ἐν τοῖς ἰδίοις ποιεῖν, εἴ τι καὶ βούλοιτο, πλὴν μὴ καταβλαπτομένου τινός[9].

26. Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ἔχειν, εἰ μὴ τοιαύτην δουλείαν ἔχοι[10].

27. Ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων σωλη-

---

1 Proch. h. t. 16. 2 Basil. LVIII, 8, ex Dig. XLIII, 8, 2 §. 6. 3 Proch. h. t. 17. 4 Proch. h. t. 18. 5 Proch. h. t. 19. 6 Proch. h. t. 20. 7 Proch. h. t. 21. 8 Cf. Dig. XLI, 1, 7 §. 12. 9 Cf. Dig. VIII, 5, 8 §. 5. 10 Proch. h. t. 22.

ναρίων τῶν καθεδρίων, ἕκαστος ἀπὸ ἰδίου καθεδρίου ἀρχόμενος διορθούσθω μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθέδριον[1].

28. *Τοὺς ὑπονομιαίους καράβους οὕτως δεῖ καθαίρειν καὶ ἐπανορθοῖσθαι· ἀρχόμενον ἕκαστον ἀπὸ τῶν ἰδίων τόπων, μέχρις ἂν [φθάσωσιν ἑτέρων ἑτεροδεσπότων ἤγουν χριστηρίων], κατὰ ἀναλογίαν τῶν ἀνωτέρω ῥηθέντων, καὶ ὄντων ἐν τοῖς κατάγουσιν ἐπικοίνων καθεδρίων. εἰ δὲ καὶ κῆπον παρέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος, τὸν κύριον τοῦ κήπου ὀρύσσειν τὴν ἀρδευομένην γῆν καὶ ἀνακαθαίρειν τοὺς ὑπονόμους, τῆς μακροποιήσεως ὀφειλούσης γίνεσθαι ἐκ τοῦ νεμομένου τὸν τοιοῦτον κῆπον, τῆς δὲ σαπρίας ῥιπτομένης ἔξω τοῦ κήπου*[2].

29. *Οὐ συνίσταται τοιοῦτον εἶδος δουλείας, ὥστε μὴ ἐξεῖναί μοι ἐν τῷ οἴκῳ μου ἅπτειν ἑστίαν ἢ πῦρ ἀνακαίειν καὶ καθέζεσθαι ἢ λούεσθαι. ὅθεν κἂν ταῦτα συμφωνηθῇ, ἀνίσχυρα κατὰ νόμον εἰσίν*[3].

30. *Ὅσα σύμφωνα γένηται ὑπεναντία ἢ νόμων ἢ τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχειν ἰσχὺν ἀναμφιβόλου νομίμου ἐστίν*[4].

31. *Ἐάν τις πιπράσκων οἶκον εἴπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλείᾳ βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας ἐλεύθερον αὐτὸν παραδοῦναι. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται δουλείαν ἐπιτιθέναι, πρὸ μέντοι τῆς παραδόσεως, ἵνα ἢ οἴκῳ τοῦ πράτου δουλεύσῃ ἢ ἀλλοτρίῳ οἴκῳ. εἰ δὲ ὅ τε πιπράσκων εἴποι ἰδικῶς ὁ δεῖνα δουλεύει ὁ οἶκος, καὶ παραχωρήσει τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει*[5].

32. *Τὸ μὴ ἐξεῖναί τινι καπνὸν ἀπὸ ποδεψείου ἢ καπνοδόχου βαλανείου ἐπιπέμπειν τῷ γείτονι ἢ κόπρον ἢ ὕδωρ ἐπιῤῥίπτειν, εἶδος δουλείας ἐστίν*[6].

33. *Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίσαι καὶ κτίσω, καὶ παρέλθῃ μακρὸς χρόνος, ἀναιρεῖταί σοι ἡ κατ᾽ ἐμοῦ δουλεία διὰ τὸν χρόνον*[7].

34. *Κλίμακα τοῦ κοινοῦ τοίχου πλησίον δύναμαι στῆσαι. οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι*[8].

35. *Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ ἐξεῖ-*

---

[1] Proch. h. t. 23. [2] Proch. h. t. 24. [3] Proch. h. t. 25. [4] Proch. h. t. 26. [5] Proch. h. t. 27. [6] Proch. h. t. 28. [7] Proch. h. t. 29. [8] Proch. h. t. 30.

ναί σοι εἰς ὕψος αἴρειν τὴν σὴν οἰκίαν, ἵνα μὴ ἐμποδίσῃς τῷ φωτὶ τῆς ἐμῆς οἰκίας ὅπερ διὰ τῶν θυρίδων τῶν οὐσῶν ἐν τῷ ἐμῷ τοίχῳ ἐχορηγεῖτό μοι· ἐγὼ δὲ ἐποφειλόμενος τὴν δουλείαν ἐπὶ ι' ἢ κ' ἔτη ἥλωσα τὰς ἐμὰς θυρίδας ἢ ἀνῳκοδόμησα αὐτὰς ἢ ἔφραξα, καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τῶν εἰρημένων χρόνων, τηνικαῦτα διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, ἡνίκα ἀνύψωσας τὴν οἰκίαν, καὶ ἔμεινεν αὕτη εἰς ὕψος ἀρθεῖσα χρόνον δεκαετῆ ἢ εἰκοσαετῆ. ἰδοὺ γὰρ κἀγὼ ἐνταῦθα τῇ δουλείᾳ οὐκ ἐχρησάμην ἐν τῷ πεφραγμένας ἔχειν τὰς θυρίδας, καὶ σὺ σαυτῷ περιεποίησας τὴν ἐλευθερίαν τῷ ἀνυψῶσαί σε τὴν οἰκίαν· δι' ὃ ἀπώλετό μοι ἡ δουλεία. εἰ μέντοι ἐμοῦ κεκλεισμένας ἔχοντος τὰς θυρίδας ἐπὶ τοσοῦτον χρόνον οὐδὲν ὑπὸ σοῦ γέγονε καινότερον, τουτέστιν [οὐκ[ἀνύψωσας τὸν σεαυτοῦ οἶκον, ἀκέραιός μοί ἐστιν ἡ δουλεία, καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ ι' ἢ κ' ἔτη, σὺ δὲ θέλεις ἀνυψῶσαι, δύναμαί σε κωλύειν διὰ τὸ προσόν μοι δίκαιον[1].

36. Ἐὰν παραχωρηθῇ μοι δουλεία, ὥστε ἐξεῖναί μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιτιθέναι οἴκοις καὶ τὸν σὸν βαρύνειν τοῖχον, εἶτα ἀπεθέμην τὸν σὸν τρυπήσας τοῖχον ἐκεῖ τὰς ἐμὰς δοκούς, ἀφειλόμην δὲ μετὰ ταῦτα, καὶ δεκαετίαν ἔμεινα μὴ ἀποτιθέμενος ἐν ταῖς γενομένας ὀπαῖς τὰς ἐμὰς δοκούς· εἰ μὲν ἔμειναν αἱ ὀπαὶ οὕτως ἀνεῳγμέναι, ὥσπερ καὶ ἦσαν ὅτε ἐλάμβανον τὰς ἐμὰς δοκούς, οὐδὲ εἷς σοι χρόνος περιποιήσει ἐλευθερίαν. εἰ δὲ ἐμοῦ τὰς δοκοὺς ἀφελομένου σὺ τὰς τρύπας ἔφραξας καὶ ἀνῳκοδόμησας αὐτάς, καὶ μεθ' ὃ ἀνῳκοδόμησας ι' ἢ κ' ἔτη παρῆλθον, προσεγένετό σοι ἐλευθερία. διὰ τῆς χρήσεως γὰρ ἔλαβες τὴν δεσποτείαν ταύτην ἐπὶ τοσοῦτον χρόνον ἀνοικοδομηθείσας ἔχων τὰς ὀπάς. εἰ δὲ μηδὲν ποιήσας καινότερον εἴασας αὐτὰς ἐπὶ σχήματι, σώζεταί μοι διὰ παντὸς τὸ τῆς δουλείας δίκαιον, καὶ βουληθέντι μοι τυχὸν μετὰ ι' ἢ κ' ἔτη πάλιν ἀποθέσθαι τὰς δοκοὺς κατὰ τοῦ σοῦ τοίχου ἐν ταῖς αὐταῖς ὀπαῖς οὐδὲν ἐναντιωθήσεταί μοι διὰ τὸ μὴ κτήσασθαί σε ἐλευθερίαν ἐκ τοῦ χρᾶσθαι[2].

37. Τῆς ἐπὶ τάφον ἀγούσης ὁδοῦ ἡ νομὴ οὐδέποτε τῇ τοῦ χρόνου παραδρομῇ ἐκ τοῦ μὴ χρᾶσθαι φθείρεται[3].

38. Ὅστις χωρὶς κελεύσεως βασιλικῆς καταπεμφθείσης τῷ ἐπάρχῳ τῆς πόλεως πολλὰς ῥύμας ἢ καὶ μέρη τούτων τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἢ καταχρήσεται ταῖς στοαῖς εἰς οἰ-

---

[1] Proch. h. t. 31. [2] Proch. h. t. 32. [3] Proch. h. t. 33.

κείαν χρῆσιν ἀφελὼν, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει[1].

39. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον εἷς τῶν κοινωνῶν δαπανήσῃ ἀνακαινίζων τοῦτο, ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ τοῦ αὐτοῦ μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγὴν ἀπαιτῶν τὸ γενόμενον δαπάνημα ἐφ᾽ οἷς ἀνήλωσιν[2].

40. Ἐάν τίς σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τι διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί σοι καὶ ἄκων δουλείαν τῆς ὁδοῦ παραχωρῆσαι, εἴπερ ἄλλως μὴ δύνασαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ[3].

41. Οὐκ ἔξεστί τινι σωλῆνας προσπελάσαι ἤτοι συζεῦξαι ἐν τῷ ἐπικοίνῳ τοίχῳ ὡς δι᾽ αὐτῶν ἕλκειν ὕδωρ[4].

42. Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν παρόντων δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων εἰκοσαετίᾳ, ἀπόλλυται[5].

43. Τῶν ἐνδημούντων ἡ δεκαετία, τῶν ἀποδημούντων ἡ εἰκοσαετία, τῶν ὀρφανῶν καὶ τῶν αἰχμαλώτων ἡ τριακονταετία[6].

44. Ἐὰν νομῆς δίκαιον ἢ χρῆσιν καρπῶν ἀπολέσῃ ὁ αἰχμάλωτος, καὶ τοὺς ἀναμεταξὺ καρποὺς ἀναλαμβάνει[7].

45. Ὁ καλῇ πίστει μὲν ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ γνῶναι τοῦτο εἶναι ἀλλότριον κτίσας ἐν αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπειτεῖ, συγχωρεῖται δὲ τοῦ ἐδάφους περιελεῖν τὸ οἰκοδόμημα δίχα ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους[8].

46. Ἐὰν ἀλλότριον ἀγρὸν ἀγνοῶν τις ἀγοράσῃ καλῇ πίστει καὶ σπείρῃ, κτίσῃ τε ἐπ᾽ αὐτῷ, χρὴ τὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφαίνεσθαι, ἀλλὰ τὰ πρόσωπα καὶ τὰς αἰτίας σκοπεῖν. τὰ μὲν πρόσωπα οὕτως· ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ εὔπορος ὢν τὰ αὐτὰ ἔμελλε ποιεῖν καὶ οἰκοδομεῖν, ἢ γεωργεῖν τὸν ἀγρὸν, καταδικάζει δοῦναι τὴν γενομένην δαπάνην, καὶ οὕτω τὸν ἀγρὸν ἀναλαβεῖν, τουτέστιν εἰς εἴτι βελτίων ἐγένετο ὁ ἀγρὸς εἰς τὸ δαπάνημα αὐτὸν καταδικάζει. ταῦτα μὲν οὖν, εἰ εὔπορος ὢν καὶ ἐβούλετο τὰ αὐτὰ ποιεῖν ὁ κύριος τοῦ ἀγροῦ. εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἐβούλετο αὐτὰ ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρὸν δίχα βλάβης τοῦ ἀγροῦ περιελεῖν πάντα ὅσα ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχει δοῦ-

---

[1] Proch. h. t. 34. [2] Proch. h. t. 35. [3] Proch. h. t. 36. [4] Proch. h. t. 37. [5] Proch. h. t. 38. [6] Non invenio. [7] Bas. X, 35, 23 th. 3. [8] Proch. h. t. 39.

ναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα τὰς ὕλας πιπράσκων. τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν· τυχὸν εἰ ὁ τοῦ ἀγροῦ δεσπότης πράσιμον αὐτὸν ἔχει ὡς μέλλειν αὐτὸν πωλεῖν· τότε γὰρ οὐ συγχωρεῖται, ἐὰν ἄπορός ἐστι, μόνην τὴν τῶν ὑλῶν παρέχειν διατίμησιν, ἀλλ' εἰς εἴτι βελτίων γέγονεν ὁ ἀγρὸς καταδικάζεται[1].

47. Εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσει, ὁ δὲ νομίζων τὰ πράγματα προσήκειν αὐτῷ τοῦτο γινώσκων ἐντὸς ι' ἐνιαυτῶν μεταξὺ τῶν παρόντων καὶ κ' μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστὴν ἤτοι τὸν τὴν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον, εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα [αὐτῷ] προσήκει καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραδρομῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο[2].

48. Περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα διατυπῶσαι συνείδομεν, ὡς εἴποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν εἴη, ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους ἐνιαυτοὺς αὐτῷ πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονεν[3].

49. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος, καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ μηδὲ ἀπολέσας τὴν ἰδίαν ἀγωγὴν, εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται[4].

50. Τὰ κινητὰ πράγματα τῇ τριετίᾳ ἀνεπιφωνήτως κρατούμενα δεσπόζονται[5].

51. Αἱ προσωπικαὶ ἀγωγαὶ εἰς κληρονόμους οὐ διαβαίνουσιν.

52. Ἀγωγὴ κατὰ πατρὸς μὴ κινηθεῖσα οὐδὲ κατὰ υἱοῦ.

53. Εἰ δ' ἵππος ἐστὶ πλοπιμαῖος στρατιώτου, τί γενήσε-

[1] Proch. h. t. 40. [2] Proch. h. t. 41. [3] Proch. ibid. [4] Proch. h. t. 42. [5] Proch. h. t. 43.

ται γνωσθεὶς μετὰ τριετίαν παρὰ τοῦ κυρίου αὐτοῦ; οὗτος αὐτοκίνητος ἀντιστραφήσεται τῷ κυρίῳ αὐτοῦ.

54. Καὶ ἡ σωματικὴ τοῦ πράγματος παράδοσις ἀρκεῖ ἀντὶ ἄλλης τινὸς ἀποδείξεως καὶ νομῆς καὶ χρόνου.

55. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην[1].

56. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἁλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάψει τὸν τούτου δεσπότην, κωλύεται ἐξ αὐτοῦ[2].

57. Ὁ δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐτοῦ δουλείαν τῷ νενομισμένῳ χρόνῳ τουτέστι τῷ τριετεῖ. ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἄγειν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτὸν τὰ περὶ τὸν ὁλκὸν γενόμενα αὐτῷ δαπανήματα, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὁλκοῦ δεσπότης γίνεται ὁ τοῦ ἐδάφους κύριος, ἕως ὅτε συνέστηκε· διαλυομένου γὰρ αὐτοῦ δύναται τὰς ὕλας ὁ πάλαι δεσπότης ἐκδικεῖν[3].

58. Ἐάν τις ἀναισχύντως ἄρξηται νέμεσθαι τὸ ἀλλότριον, οὐδέποτε δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν οὔτε δίκαιον τίτλον νομῆς ἑαυτῷ κατασκευάζει. ἐπειδὴ οὐδεὶς δύναται ἑαυτῷ τὸν τίτλον τῆς νομῆς κατασκευάζειν ἤγουν ἐναλλάσσειν[4].

59. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλύσαι τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν· μετὰ γὰρ τοῦ αὐτοῦ βάρους ἀγοράσαι δοκεῖ[5].

60. Νομή ἐστι φυσικὴ ἡ τοῦ πράγματος κατοχή· κατὰ δὲ τοὺς νόμους νομή ἐστι ψυχικὴ δεσπόζοντος κατοχή. τότε οὖν λέγομέν τινα νέμεσθαι καὶ ἔχειν τὰ τῆς νομῆς ἀποτελέσματα, ὅτε μηδεὶς διάδικος αὐτῷ παρενοχλήσει, ἀλλὰ πάντων σιωπώντων βεβαιωθῇ ἡ νομή. τινῶν δὲ ἀντιλεγόντων, εἰ καὶ σώματι νέμεται, ἀλλ' ἀφ' οὗ γένηται ἡ προκάταρξις, ὅμως κατὰ τὸν νόμον οὐ νέμεται, καὶ οὐκ ἔστιν ἀσφαλὴς ἡ νομή[6].

61. Οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς τὴν βιαίως ληφθεῖσαν παρ' αὐτοῦ νομὴν βεβαιοῖ τις[7].

62. Ἐὰν ἀλλότρια ἀνδράποδα πωλήσῃ τὶς, ἐν τῷ πιπράσκειν ταῦτα κλοπὴν ἁμαρτάνει, καὶ διὰ τοῦτο οὐ δεσπόζονται παρὰ τῆς χρονίας νομῆς[8].

[1] Proch. h. t. 44. [2] Proch. h. t. 45. [3] Proch. h. t. 46. [4] Basil. L, 1, 58. [5] Proch. h. t. 47. [6] Bas. L, 2, 61. [7] Bas. L, 3, 50. [8] Bas. L, 4, 14.

63. Ὁ κληρονόμος τοῦ κακῇ πίστει νεμηθέντος, κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. τὰ γὰρ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον. καὶ ἐπὶ κληρονομίας διὰ τὸ χρῆσθαι δεσποτεία οὐκ ἐστὶν, οὐδὲ δύναταί τις εἰπεῖν, ὅτι τῆς κληρονομίας ὑπάρχον τὸ πρᾶγμα διὰ τῆς χρήσεως ἐδέσποσα, ἐπειδὴ δοκεῖ καὶ αὐτὸς πίστει κακῇ νέμεσθαι[1].

64. Καὶ ὁ μὴ παρὰ δεσπότου δεξάμενος πράγματα κατὰ δωρεὰν καὶ διὰ τῆς χρονίας νομῆς δεσπόσας, οὐκέτι αὐτὰ ἀπόλλυσιν[2].

65. Ὃ ἐγκατέλιπον, οὐκ ἐστιν ἐμὸν, τοῦ δὲ προκαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτως καὶ ἀποκτώμεθα[3].

66. Τὸ ἐγκαταλειφθὲν ἢ καὶ νομιζόμενον καταλειφθῆναι διὰ τῆς χρονίας νομῆς δεσπόζομεν. ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ τὸ αὐτὸ πρᾶγμα νεμηθέντες, κἂν καλῇ πίστει νέμωνται, διὰ τὸ τῆς ἀρχῆς ἐλάττωμα διὰ χρήσεως οὐ δεσπόζουσιν αὐτοῦ[4].

67. Ἡ διάταξις κελεύει πάντα τὰ πράγματα, εἰ μὲν κινητὰ ἢ αὐτοκίνητα εἴησαν, διὰ τετραετίας τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι, εἰ δὲ ἀκίνητα, διὰ ι' ἢ κ' ἐνιαυτῶν τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι, ι' μὲν ὅτε πάρεισιν οἱ δεσπόται, κ' δὲ ὅτε ἄπεισιν[5].

68. Ἡ χρονία νομὴ συμβάλλεται τοῖς πίστει καλῇ νεμηθεῖσι καὶ μηδεμίαν προκάταρξιν ὑπομείνασιν[6].

69. Τὴν γενομένην κατὰ δόλον ἀγορασίαν χρονία νομὴ οὐ δύναται βεβαιῶσαι, ἐπειδὴ πίστει καλῇ ἄρχεταί τις τῆς νομῆς[7].

70. Ὁ πίστει καλῇ ἀγοράσας πρᾶγμα καὶ ὠχυρωμένος τῇ τοῦ μακροῦ χρόνου παραδρομῇ εὐθέως μὲν ἐναγόμενος ὀφείλει εἰπεῖν, ὅτι ἔχει τὴν παραγραφήν· μεθὸ δὲ ὁ ἐνάγων ἀποδείξει τὴν ἰδίαν δεσποτείαν, τότε χρὴ καὶ αὐτὸν ἀποδεικνύντα τὴν δικαίαν νομὴν ἀπολυθῆναι[8].

71. Ὁ καλῇ πίστει ἐξωνούμενος πράγματα κινητὰ διὰ τριετίας δεσπόζει αὐτῶν, εἴγε καὶ ὁ ἀληθὴς δεσπότης γινώσκει τὴν ἐκποίησιν. τοῦτο δὲ καὶ ἐπὶ ἀκινήτων θεωρεῖται διὰ δεκαετίας ἐπὶ τῶν παρόντων, διὰ δὲ εἰκοσαετίας ἐπὶ τῶν απόντων. εἰ γὰρ ἀγοράσω οἶκον ἢ ἀγρὸν νομίζων δεσπότην εἶναι τὸν πωλοῦντα, καὶ ὁ κατὰ ἀλήθειαν δεσπότης βλέπει μὲν νεμόμενον καὶ γινώσκει αὐτοῦ εἶναι τὸ πρᾶγμα, καὶ οὐκ ἀντείποι

---

[1] Bas. L, 5, 5. [2] Bas. L, 6, 7. [3] Bas. L, 7, 1. [4] Bas. ib. 4. [5] Bas. L, 10, 4. [6] Bas. L, 11, 2. [7] Bas. ib. 6. [8] Bas. ib. 9.

παρὼν ἔσωθεν δεκαετίας ἢ ἀπὼν διὰ εἰκοσαετίας, ἀποκλείεται καὶ χώραν κατ᾽ ἐμοῦ οὐκ ἔχει. εἰ δ᾽ ἴσως ἀγνοεῖ διαφέρειν αὐτῷ τὸ πραχθὲν, ἢ κακῇ πίστει ἐγὼ ἠρξάμην νέμεσθαι, τυχὸν γινώσκων ὡς ὁ πωλήσας οὔκ ἐστι δεσπότης, οὐκ ἄλλως κυριεύω τοῦ πράγματος, εἰ μὴ τριακονταέτης παραδράμῃ χρόνος.

72. Αἱ ποινάλιαι ἀγωγαὶ ἐνιαυσιαίαι εἰσὶν, οἷον ἡ περὶ ὕβρεως, ἡ περὶ κλοπῆς, ἡ περὶ βίας, ἡ περὶ ἁρπαγῆς. αὗται γὰρ εἰ μὴ ἔσωθεν ἐνιαυτοῦ κινηθῶσι, ποινὴν οὐκ ἀπαιτοῦσιν.

73. Περὶ κλοπῆς ἔσωθεν ἐνιαυτοῦ εἰ κινηθείη, εἰ μὲν φανερά ἐστι τουτέστι κατεσχέθη αὐτὸς ὁ κλέπτης κατέχων τὰ φώρια, εὐθύνεται κατὰ τὸ τετραπλοῦν, εἰ δὲ οὐ κατεσχέθη ἀλλ᾽ ὕστερον ἐξελέγχθη, εὐθύνεται εἰς τὸ διπλοῦν ἔσωθεν ἐνιαυτοῦ. μετὰ γὰρ τὸν ἐνιαυτὸν εἰ κινηθῇ, μόνον ἔχεις τὸν κονδικτίκιον τουτέστι τὸν ἀπαιτητικὸν λόγον τοῦ πράγματος τοῦ κλαπέντος, ἤγουν αὐτὴν ἐκείνην ἁπλῆν τὴν ἀποτίμησιν τοῦ πράγματος ἐκείνου.

74. Ἐπὶ τῶν πραγμάτων τῶν κινητῶν τοῦτο σκοποῦμεν, ἤγουν ἐὰν ὁ ἀγοραστὴς ἀγοράσῃ μὴ παρὰ δεσπότου, ἀγνοῇ δὲ ὅτι ἐστὶν ἀλλότριον, καὶ διέλθῃ ἡ τριετία καὶ ἐν γνώσει γένηται καὶ ὁ κύριος τοῦ πράγματος μὴ κινήσῃ ἀμάχως, ἔκτοτε δεσπόζει τοῦ ἠγορασμένου διὰ τὴν σιωπήν.

75. Ἐὰν ὁ κληρονόμος ἔσωθεν πενταετίας μὴ ἐπάγῃ μέμψιν κατὰ τῆς διαθήκης, κἂν ὁ φαλκίδιος αὐτῷ οὐχ ἱκανωθῇ, οὐ δύναται ἔκτοτε κινεῖν.

76. Ἐὰν ἀγοράσω ἀλλότριον ἀκίνητον παρὰ μὴ δεσπότου νομίζων αὐτὸν δεσπότην εἶναι, εἰ μὲν πάρεστιν ὁ δεσπότης τοῦ πράγματος καὶ γινώσκει τὸ πραχθὲν καὶ σιωπᾷ, ἐκπίπτει τούτου διὰ τὴν σιωπὴν καὶ διὰ δεκαετίας κυριεύω αὐτοῦ· εἰ δὲ ἀπολιμπάνεται, ἔχει εἰς βοήθειαν τὴν εἰκοσαετίαν. εἰ δὲ ἀγνοεῖ ὅτι αὐτῷ ἀνήκει τὸ ἐκποιηθὲν, μέχρι λʹ ετίας δύναται τοῦτο ἐκδικεῖν. καὶ πάντα τὰ κλοπιμαῖα καὶ τὰ βιαίως κατεχόμενα τῇ ἀνεπιφωνήτῳ λʹ ετίᾳ καλύπτονται, εἰ μὴ ἄνηβος ἡλικία προσβοηθήσῃ. μετὰ γὰρ τὴν ἥβην[1] ὀφείλει τρέχειν ὁ χρόνος τῆς δεκαετίας, τῆς κʹ ετίας καὶ τῆς λʹ ετίας. εἰ δὲ χρεωστεῖται προὶξ, ἢ ἐκκλησιαστικὸν ἦν τὸ παρὰ μὴ δεσπότου ἐκποιηθὲν, μόνη ἡ μʹ ετία καλύπτει. καὶ ἐὰν δανείσω τινὶ, εἰ μὲν ἐν ὑποθήκῃ τὸ χρέος γένηται καὶ τὸ μέρος τοῦ δανεισαμένου νέμηται τὴν ὑποθήκην, μέχρι μʹ ετίας δύναμαι κατὰ τῆς ὑποθήκης κι-

---

[1] Cod. in marg: ἡ τελεία καὶ μεγάλη τῶν ἀῤῥένων ἥβη ιηʹ χρόνων ἐστίν.

νεῖν. ταύτης δὲ ἀνεπιφωνήτου ἐκμετρηθείσης ἐκπίπτω τοῦ χρέους. εἰ δὲ τὴν ὑποθήκην ὁ ὀφείλων πωλήσει καὶ ὁ δανείσας κίνησιν κατὰ τῆς ὑποθέσεως οὐ ποιήσεται ἔσωθεν δεκαετίας, καὶ ὡσαύτως ἐκπίπτει, ἔχει δὲ τὴν προσωπικὴν ἀγωγὴν κατὰ τοῦ χρεώστου καὶ μέχρι λ' ετίας δύναται κινεῖν κατὰ τοῦ προσώπου καὶ ἀπαιτεῖν τὸ ἴδιον χρέος.

77. Ὅπερ θεωρεῖται ἐπὶ τῶν ἰδιωτικῶν πραγμάτων, καὶ τὰ μὲν δεσπόζονται διὰ τριετίας, τὰ δὲ διὰ δεκαετίας ἢ κ' ετίας, ταῦτα ἐπὶ τῶν ἐκκλησιαστικῶν καὶ τῶν εὐαγῶν οἴκων διὰ μ' ετίας ὀφείλουσιν ἀνεπιφωνήτως δεσπόζεσθαι. ἔχουσι δὲ οἱ εὐαγεῖς οἶκοι καὶ ἐκκλησίαι καθ' ἑτέρων καὶ τὴν κ' ετίαν καὶ τὴν λ' ετίαν καὶ τὴν μ' ετίαν, εἴπερ ἀγοράσουσιν ἢ κτίσουσιν· ὥσπερ ἔχουσιν οἱ ἰδιῶται κατ' ἀλλήλων οὕτω καὶ αὗται ἔχουσι κατὰ τῶν ἰδιωτῶν· οὐ μὴν ἐὰν οἱ εἰρημένοι οἶκοι καινοτομῶνται· οὗτοι γὰρ τὴν μ' ετίαν ἔχουσιν εἰς οἰκείαν βοήθειαν. καὶ τοῦτο πραγματικῶς κατείδομεν ἐπὶ τοῦ γαγγρῶν καὶ τοῦ κύρου.

78. *Θεσπίζομεν* τοιγαροῦν, τῶν ἰδίων προθύρων ἕκαστον δεσπόζειν καὶ κύριον εἶναι τούτων, ὥστε τοὺς μὴ πρόθυρα ἔχοντας δηλαδὴ μὴ δεσπότας γίνεσθαί ποτε[1].

79. *Πᾶς* ὁστισοῦν ἐὰν οἱᾳδήποτε διοικήσει ἢ ἐπαρχίᾳ εἴτε ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν ἢ ἱερατικὸν ἢ ἀγωνοθετικὸν ἐπὶ μ' ἔτη συναπτὰ ἐὰν νεμηθῇ, εἴτε ἐκ δικαίου εἴτε καὶ μή, βεβαίως αὐτὸν ἐχέτω. τὸ αὐτό φαμεν καὶ σωζομένου τοῦ κανόνος, κἄντε μὴ ἐνημμήθη ἐπὶ μ' ἔτη. ἀσφαλῶς γὰρ αὐτὸν ἕξει[2].

80. *Καλῶς* ἐν τῷ ἐμῷ οἴκῳ ἀνοίγω πυλῶνα, τουτέστιν ἐν τῷ σταλαγμῷ τῶν κεράμων, εἰ μὴ ἐμποδίζω ταῖς δουλείαις τοῦ γείτονος[3].

81. *Χωρὶς* δουλείας οὔτε ὁ κάτω δύναται καπνὸν ἐπιπέμπειν τῷ ἄνω, οὔτε ὁ ἄνω τὸ ὕδωρ ἤ τι ἄλλο τῷ κάτω. ἐπὶ τοσοῦτον γὰρ ἔξεστιν ἐν τοῖς ἰδίοις ποιεῖν τι, ἐφ' ὅσον μηδὲν εἰς τὸν ἀλλότριον ἐπιβλαβὲς ἐμποιεῖν. ὅθεν κωλύεταί τις λίθον ἐν τῷ ἰδίῳ οἴκῳ τεμεῖν καὶ τὰ κλάσματα ῥίπτειν εἰς τὸν ἀγρογείτονα. ἔξεστι δὲ καπνὸν ἐλαφρὸν οἷον ἀπὸ ἑστίας ποιεῖν, ὥσπερ καὶ καθέζεσθαι καὶ λούεσθαι ἐν τοῖς ἰδίοις. καὶ οὐ δύναται συνιστᾷν δουλεία εἰς τὸ ταῦτα μὴ γίνεσθαι ἢ γίνεσθαι. ἐπὶ δὲ τοῦ καπνοῦ τοῦ λοετροῦ δουλεία συνίσταται[4].

---

[1] Nov. Leonis 56. [2] Bas. LVI, 14, 31. [3] Bas. LVIII, 2, 38.
[4] Bas. LVIII, 5, 8.

82. Ὁ ἔχων ὁδὸν κωλύει τὸν κτίζοντα ἐν αὐτῇ, καὶ ὁ ἔχων σταλαγμὸν κεράμων, ἐὰν διὰ τοῦ κτίσματος ἐμποδίζηται. εἰ δὲ μήπω ἔκτισε, δύναται καὶ ὁ πλατεῖαν ἔχων ὁδὸν καὶ ὁ χρῆσιν ἔχων τὸ μονοπάτιον καὶ τὴν πάροδον κινεῖν τὴν περὶ συναλλάγματος ἀγωγήν. ὁ δὲ τὴν χρῆσιν ἔχων ἐπειδὴ ἀπόλλυται ἡ χρῆσις, κινεῖ τὴν περὶ δόλου ἀγωγήν[1].

83. Ἐὰν ὁ γείτων κοπρῶνα ποιήσῃ παρὰ τὸν τοῖχόν μου καὶ ὑγράνῃ αὐτόν, εἰ μὲν ἐν δημοσίῳ τόπῳ τέθεικε, τὴν περὶ ἐπαγγελίας ἀγωγὴν κινῶ, εἰ δὲ ἐν ἰδιωτικῷ, τὴν περὶ δουλείας ἀγωγήν· εἰ δὲ ἐβλάβην, κινῶ τὴν περὶ ζημίας ἀγωγήν[2].

84. Ἔνθα γίνεται τὸ ἔργον, ὀφείλει τὶς παραγγέλλειν, εἴτε τὶς ἤδη οἰκοδομεῖ εἴτε ἄρχεται, κἂν μὴ τῷ δεσπότῃ παραγγέλλῃ· παντὶ γὰρ ἐν τῷ ἔργῳ παρόντι καλῶς παραγγέλλεται, εἴτε διὰ τὸ ἔργον παρέστη εἴτε διὰ τὸν δεσπότην. καὶ οὐ διαφερόμεθα, τίς ἢ ποίας αἱρέσεώς ἐστιν ὁ παραγγελθεὶς, ἢ δοῦλος ἢ γυνὴ ἢ παῖς ἢ κόρη. πᾶσι γὰρ τοῖς παροῦσιν ὀρθῶς παραγγέλλεται, ἵνα μέντοι δύνηται ἀπαγγελθῆναι τῷ δεσπότῃ. εἰ δὲ ἔξωθεν τοῦ ἔργου τῷ δεσπότῃ τὶς παραγγέλλοι, οὐκ ἔῤῥωται· ἐν αὐτῷ γὰρ δεῖ τῷ ἔργῳ παραγγέλλειν, ἵνα εὐθέως ὁ παραγγελθεὶς ἀναχωρήσῃ· ἐπείτοιγε συμβαίνει ἐν ὅσῳ ἄρχεται πρὸς τὸ ἔργον, τὸ κατὰ ἄγνοιαν αὐτοῦ γινόμενον παρὰ τὸ παράγγελμα γίνεσθαι[3].

85. Θεσπίζομεν ἵνα ὥσπερ ὁ κηπωρὸς λάβῃ τὸν κῆπον παρὰ τοῦ κεκτημένου, οὕτως αὐτὸν καὶ ἀντιπαραδιδόναι. εἰ μὲν λάχανον ἔχοι, ἡνίκα ὁ κηπωρὸς αὐτὸν παραλαμβάνῃ, καὶ διατίμησις γένηται τούτου, ὁμοίως καὶ ἀντιπαραδῷ τὴν ἀκριβῆ διατίμησιν τοῦ λαχάνου μόνου λαμβάνοντος. εἰ δὲ οὐκ ἔχοι, ἀλλὰ ψιλὸν παραλάβοι τὸν κῆπον, εἴτε ἔχοντα κόπρον εἴτε καὶ μὴ, οὕτω καὶ ἀντιπαράδοσιν γίνεσθαι. καὶ ἁπλῶς οὕτω τηρεῖσθαι τὴν τοῦ πράγματος τάξιν ἐπὶ τῷ παραδιδόντι κηπωρῷ, οἷα γέγονεν, ἡνίκα παρέλαβε, μηδεμιᾶς ἑτέρας ἐπαγομένης τῷ δεσπότῃ βλάβης. εἰ δέ τις γῆν χέρσον ἐκδοίη, ὁ δὲ αὐτὴν ἐξημερώσειε, τὸν ὑπὲρ τῆς ἐξημερώσεως κομίζεσθαι μισθὸν, καὶ τὴν τοῦ ὄντος ἐν αὐτῇ λαχάνου διατίμησιν[4].

86. Εἰ καλῇ πίστει ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ μαθεῖν ἀλλότριον εἶναι, κτίσω, τὰς μὲν δαπάνας οὐ λαμβάνω, δύναμαι

---

[1] Bas. ib. 9. [2] Bas. ib. 18. [3] Bas. LVIII, 10, 4. [4] Bas. LV, 14, 2.

δὲ περιελεῖν τὸ κτίσμα ἄνευ ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους[1].

87. *Ὁ τὸν ἀλλότριον οἶκον καλῇ πίστει νεμηθεὶς ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν στεγονομίων καὶ παντὸς ἑτέρου, τὰ δὲ δαπανήματα οὐ λαμβάνει εἰ μὴ ἄρα ἀναγκαῖά εἰσι. τὰ δὲ ἐπωφελῆ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι*[2].

88. *Ὁ κακῇ πίστει σπείρας ἢ φυτεύσας τὸν ἀλλότριον ἀγρὸν ἀπόλλυσι καὶ τὰ φυτὰ καὶ τὸν σπόρον. δεσπότης γὰρ τοῦ ἐδάφους οὐ γίνεται*[3].

89. *Ὁ δὲ καλῇ πίστει τοῦτο ποιήσας διὰ δόλου παραγραφῆς λαμβάνει τὰ δαπανήματα*[4].

90. *Ὁ λέγων ἀλλότριον οἰκέτην πράγματα αὐτοῦ κατέχειν, οὐ κατὰ τοῦ δούλου ὀφείλει κινεῖν, ἀλλὰ κατὰ τοῦ δεσπότου*[5].

91. *Ἐάν τινες κλέψαντες ἢ ἄλλως ἀφελόμενοι πωλήσωσι πρᾶγμα ἀλλότριον, ὁ δεσπότης κινῶν τὴν ἐπ᾽ αὐτῷ ἀγωγὴν οὐ καταναγκάζεται δοῦναι τὸ τοῦ πράγματος τίμημα*[6].

92. *Ὁ ὑπὲρ ἀλλοτρίου πράγματος ἢ δημοσίου δοὺς ἢ ἄλλα τινὰ ἐξ ἔθους καταβαλὼν μὴ γινομένης πράσεως οὐ κτᾶται τὴν δεσποτείαν*[7].

93. *Δουλεία γίνεται ἢ ἐν τῷ ἐδάφει, ἢ ἐν τοῖς κτίσμασιν. ὅταν γὰρ ἔχῃ τὶς ὁδὸν πλατεῖαν ἢ μονοπάτιον διέρχεσθαι δι᾽ ἀγροῦ*[8] *ἀλλοτρίου, ἢ ὕδωρ διαβιβάζειν, δουλεία λέγεται ἐδαφική. ὅταν δὲ εἰς τὴν οἰκίαν τοῦ γείτονος ἐπιθήσει ξύλα, ἢ ὕδατα κεράμων ἀπολύσῃ, ἢ βάρος θῇ, λέγεται δουλεία ἐν τῷ κτίσματι. βεβαιοῦνται δὲ αἱ δουλεῖαι ἢ διὰ συμφώνων, ἢ διὰ χρονίας παρατάσεως, ἤγουν δεκαετίας. καὶ τὸ ἕλκειν δὲ ὕδωρ ἀπὸ γῆς ἀλλοτρίας δουλεία ἐστὶν*[9].

94. *Δύναται διὰ συμφωνίας παραχωρεῖσθαι καινοτομία*[10].

95. *Εἴ τις κτίζει ἐν στενωπῷ πλεῖον ἔχοντι τῶν ιβʹ ποδῶν, μηδὲν ἐκεῖθεν ἀφαιρείσθω, ἵνα μὴ στενοῖ τὴν δημοσίαν ὁδόν*[11].

96. *Ἐπεὶ δὲ περὶ τῶν κτιζόντων πλησίον περιφραγῆς ἢ ἐδάφους ἀλλοτρίου ὁ νόμος οὐ διεσάφησεν, ἐκράτησεν ἔθος ἐν τῷ κοιαιστωρίῳ, ἀπὸ περιφραγῆς ἢ καὶ ἐξαέρος τοῦ γείτονος ἀποφεύγειν τὸν μέλλοντα κτίζειν διάστημα ποδῶν ἕξ*[12].

97. *Οἱ χθαμαλώτεροι τόποι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν*

---

[1] Bas. XV, 1, 37. [2] Bas. ib. 85. [3] Bas. ib. 91. [4] Bas. ibid. [5] Bas. ib. 100. [6] Bas. ib. 103. [7] Bas. ib. 105. [8] Cod. *διὰ τοῦ*. [9] Attal. XXXIV, 1. [10] Att. ib. 3. [11] Att. ib. 8. [12] Att. ib. 9.

τοῖς ὑψηλοτέροις χρεωστοῦσιν εἰς [τὸ] δέχεσθαι τὰ ἴδια αὐτῶν ὕδατα, κέρδος ἔχοντες ἀντὶ τοῦ βάρους τούτου τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων ὑποδέχεσθαι[1].

98. *Ἐὰν ἐπὶ ε΄ ἐνιαυτοὺς μὴ χρησάμενος τῇ τοῦ ἀγροῦ μου δουλείᾳ πωλήσω αὐτὸν ἑτέρῳ, ψηφίζονται τὰ ε΄ ἔτη τῷ ἀγοραστῇ, ἵνα, ἐὰν ἐκεῖνος ἐπὶ ε΄ ἐνιαυτοὺς ἄλλους μὴ χρήσηται τῇ δουλείᾳ, ἐκπέσῃ αὐτῆς. εἰς μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν τῆς δουλείας τὸν αὐτὸν ἀπαιτοῦμεν εἶναι παρ᾽ ὅλον τὸν νόμιμον καιρὸν, εἰς δὲ τὸ ἀπολέσαι διὰ τῆς ἀχρησίας ἀρκούμεθα τῷ μηδὲ χρήσασθαι καὶ μόνον παρ᾽ ὅλον τὸν τοῦ νόμου καιρόν· καὶ οὐ περιεργαζόμεθα εἴτε εἷς εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι*[2].

99. *Εἴ τις παρὰ δημοσίαν ὁδὸν ἢ πλησίον γῆς ἀλλοτρίας ἤτοι χώρας ὀρύττοι καὶ τὸν ὅρον μὴ βούλοιτο παραβαίνειν, ἐὰν τειχίον ποιῇ, ἀπολειπέτω πόδα ἕνα· ἐὰν δὲ οἴκημα, πόδας ϛ΄· ἐὰν δὲ τάφον ἢ βόθρον ὀρύττῃ, ὅσον τὸ βάθος εἴη, τοσοῦτον ἀπολειπέτω· ἐὰν δὲ φρέαρ, ὀργυιὰν, εἰ μήπω φρέαρ προϋπάρχῃ τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτηται· ἐλαίαν δὲ καὶ συκῆν φυτεύων πόδας θ΄· τὰ δὲ ἄλλα δένδρα πόδας ε΄.*

100. *Ἐὰν πλησίον τοῦ ἀγροῦ σου ὑδραγώγιον ἔχω, παρέπεται σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα· ἀνανεοῦν τὸ ῥεῖθρον καὶ τὸ ἐξεῖναι εἰσιέναι ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας ἐπὶ ἀνανεώσει τοῦ ὁλκοῦ. χρεωστεῖς μοι δὲ καὶ διάστημα καταλιμπάνειν ὡς ἂν δι᾽ αὐτοῦ καὶ ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν πορεύωμαι ἐπὶ τὸ ῥεῖθρον, καὶ ἵνα ἐν αὐτῷ ἀποτιθῶ γῆν καὶ λίθους, καὶ τὴν ὕλην τὴν ἀπὸ τοῦ ὁλκοῦ ἀναφερομένην καὶ ἄσβεστον καὶ ψάμμον πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγίου*[4].

101. *Ἐὰν πιπράσκων ἀγροῦ μέρος δι᾽ αὐτοῦ συμφωνήσω ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον· εἰ δὲ ἐποίησα μὲν, μὴ ἐχρησάμην δὲ, φθείρεται*[5].

102. *Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτως συστῇ, ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ μηνὶ ἢ ὑπὲρ ἐνιαυτὸν, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρησίας· τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέρας ἢ ὑπὲρ ὥρας, ἢ μίαν ὥραν ἢ μίαν καὶ μόνην ἡμέραν ἢ μόνην νύκτα, τῷ νομίμῳ [χρόνῳ] φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία*[6].

---

[1] Proch. h. t. 48. [2] Proch. h. t. 49. [3] Proch. h. t. 50. 51. [4] Proch. h. t. 52. [5] Proch. h. t. 53. [6] Proch. h. t. 54.

103. *Τῷ περὶ ὅρων καὶ ὁροθεσίων δικαστηρίῳ ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ οὐκ ἀντίκειται, ἀλλὰ μόνον ἡ τῶν λ΄ ἐτῶν παραγραφὴ χώραν ἔχει*[1].

104. *Ἐν ταῖς περὶ ὅρων ζητήσεσι δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ τῆς κατάρξεως συστάσῃ· εἰ μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν κατὰ καιρὸν νεμομένων ἀλλαγέντες οἱ ὅροι ἀποδειχθῶσι· τότε γὰρ τούτοις τοῖς ὅροις προσεκτέον τοῖς ὑπὸ τῶν κτητόρων ὁρισθεῖσι, καὶ οὐχὶ τοῖς παλαιοτέροις*[2].

105. *Ἡνίκα δημοσία ὁδὸς σεισμοῦ συμβεβηκότος ἢ ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπόληται, ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν ἰδίων τόπων*[3].

106. *Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥεῖ, τουτέστι τοῦ σοῦ καὶ τοῦ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως προσθήσει γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαί τινα νοῆσαι πόσον καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας δεσποτείας τὸ προστιθέμενον, τοῦτο ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τὶ τοῦ σοῦ ἀγροῦ ἀφείλετο καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλόν ἐστιν, ὅτι τὸ προστεθὲν τῆς σῆς μένει δεσποτείας· οὐδὲ γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν*[4].

107. *Ἐὰν ὕδωρ ἕλκοντός μου διὰ ὑδραγωγοῦ φέρηται μὲν ἕως τόσου τινὸς, μὴ δείκνυται δὲ δι᾽ ὅλου τοῦ ὁλκοῦ τὸ ὕδωρ, ὡς φθαρέντος τυχὸν τοῦ ὑδραγωγοῦ ἐν τῷ μέσω, ἀβλαβὴς ἡ κατὰ παντὸς τοῦ ὁλκοῦ δουλεία φυλάττεται*[5].

108. *Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ΄ ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ τοιούτῳ εὐαγεῖ οἴκῳ προσκαίρων παραγραφῶν φυλαττουσῶν τοὺς οἰκείους χρόνους*[6].

109. *Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δούλου βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἰς εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ*[7].

110. *Οὐκ ἀπρεπὲς δὲ καὶ τοῦτο ἔδοξεν ἡμῖν διορίσασθαι, ἵνα οἱ ἐπὶ ἐγκλήμασι περιοριζόμενοι κἂν ἐν τῷ ἰδίῳ οἴκῳ μὴ περιγράφωνται χρόνῳ. ἀλλὰ μηδὲ τοῖς διὰ δουλείαν βασιλικὴν ἀπολιμπανομένοις συμψηφιζέσθω χρόνος, ἐφ᾽ ὅσον διά-*

---

[1] Proch. h. t. 55. [2] Proch. h. t. 56. [3] Proch. h. t. 57. [4] Proch. h. t. 58. [5] Proch. h. t. 59. [6] Proch. h. t. 60. [7] Proch. h. t. 61.

γουσιν ἐν τῷ τόπῳ τῆς λειτουργίας, μέχρις ὅτου ὑποστρέψουσιν[1].

111. *Τὸ κακῇ πίστει νεμηθὲν ἀποδίδωσι μὲν αὐτὸ μετὰ τῶν στεγονομίων καὶ παντὸς ἑτέρου δαπανήματος, ἤγουν τὰς βελτιώσεις οὐ λαμβάνει, εἰ μὴ ἄρα ἀναγκαῖαί εἰσιν*[2].

112. *Ὁ κωφὸς καὶ ὁ ἄλαλος καὶ ὁ μαινόμενος, ὁ ἄσωτος, ὁ ἄφρων καὶ ὁ αἰχμάλωτος οὐ περιγράφονται χρόνῳ. τότε δὲ ὁ χρόνος αὐτοῖς ἄρχεται τρέχειν, ὅτε ὁ μὲν ἐπανέλθοι, οἱ δὲ τοῦ πάθους ἀπαλλαγῶσιν*[3].

113. *Ἡ παραγγελία ἐπέχει τὸ ἔργον, κἂν νόμιμος γίνεται κἂν παράνομος*[4].

114. *Ὁ μετὰ παραγγελίαν κτίζων καταλύει τὸ κτισθέν.*

115. *Ὥρισται χρόνος τῷ δεσπότῃ ἐπιζητεῖν τὸ οἰκεῖον. αἱ γὰρ ἀγωγαὶ οὐκ ἀθάνατοι ἐτυπώθησαν, ἀλλ' ὡρίσθη χρόνος τοῖς νομοθέταις, ἵνα ὅταν τὶς ἐκπέσῃ τοῦ ἰδίου πράγματος, ἀνακαλῆται αὐτὸ διὰ δεκαετίας ἢ εἰκοσαετίας ἢ τριακονταετίας, ἐὰν ἀκίνητόν ἐστι· τουτέστι διὰ δεκαετίας μέν, ὅταν ὁ νεμόμενος τοῦτο καλῇ πίστει νέμηται, οἷον δι' ἀγορασίας ἢ ἄλλου συναλλάγματος ἀγνοῶν ὅτι ἐστὶν ἀλλότριον· δι' εἰκοσαετίας δὲ ὅταν ὁ καλῇ πίστει νομεὺς ἀποδημῇ εἰς ἄλλην ἐπαρχίαν· τριακονταετίας δέ, ὅταν κακῇ πίστει νέμηται ὁ νεμόμενος, οἷον κατὰ βίαν ἀφελόμενος τὸ πρᾶγμα ἢ κατὰ δόλον ἢ ἐν εἰδήσει τὸ ἀλλότριον ἀγοράσας· καὶ ὑπόκειται καὶ ὁ κληρονόμος αὐτοῦ τῷ αὐτῷ νόμῳ, ἵνα ἔσωθεν τῆς τριακονταετίας καὶ αὐτὸς ἐνάγηται. τὸ δὲ κινητὸν πρᾶγμα δεσπόζεται διὰ τριετίας, ἐὰν καλῇ πίστει νέμηται ὁ νεμόμενος· εἰ δὲ κακῇ, διὰ τριακονταετίας ἐνάγεται*[5].

116. *Ὁ δεκαέτης χρόνος καὶ ὁ τριακονταέτης τρέχει τοῖς ἀφήλιξιν οὕτως. εἰ μὲν καλῇ πίστει νέμεται ὁ νομεύς, ψηφίζεται ἡ δεκαετία τῷ μέλλοντι κινῆσαι ἀφήλικι ἀφ' οὗ πληρώσει τὸν εἰκοστὸν πέμπτον χρόνον τῆς ἡλικίας αὐτοῦ. εἰ δὲ κακῇ πίστει νέμεται ὁ νομεύς, [ψηφίζεται] ἡ τριακονταετία ἀφ' οὗ γένηται ἔφηβος, περαιτέρω δὲ οὐχί*[6].

117. *Ὁ κατὰ μίσθωσιν νεμόμενος πρᾶγμα, οὐ δεσπόζει τούτου διὰ τῆς νομῆς, ἐπειδὴ οὐχὶ ψυχῇ δεσπόζει τούτου, ἀλλὰ μισθωτικῶς*[7].

118. *Κελεύει ἡ διάταξις, ἵνα ὁσάκις [τὶς] μὴ δύνηται ἐνά-*

---

1 Proch. h. t. 62. 63. 2 Basil. XV, 1, 85. 3 Proch. h. t. 64. 4 Cf. Dig. XXXIX, 1, 20 pr. 5 Attal. XXX, 9. 6 Att. cit. 10. 7 Att. cit. 11.

γειν, ἢ διὰ τὴν ἀποδημίαν τοῦ νεμομένου ἢ διὰ τὴν ἡλικίαν ἢ μανίαν ἢ διὰ τὴν δυναστείαν, προσέλθῃ τῷ ἄρχοντι, καὶ μέμψηται αὐτοῦ εἴσω τῆς τῶν χρόνων παραγραφῆς, καὶ διαῤῥήγνυσι τὸν χρόνον. εἰ δὲ μὴ δύναται προσελθεῖν τῷ ἄρχοντι, προσέλθῃ τῷ ἐπισκόπῳ ἢ τῷ ἐκδίκῳ τῆς πόλεως· εἰ δὲ ἀπολιμπάνονται, δημοσίᾳ προθήσει τὸν λίβελλον, ἔνθα οἰκεῖ ὁ νεμόμενος, καὶ εἰ μὲν ἔχει ἡ πόλις ταβουλαρίους, ὑπογεγραμμένον χειρὶ τῶν ταβουλαρίων· εἰ δὲ μὴ ἔχει, ὑποτάξει αὐτῷ τριῶν μαρτύρων ὑπογραφάς· καὶ διαῤῥήγνυσι τὸν χρόνον τῆς τριετίας ἢ δεκαετίας ἢ εἰκοσαετίας ἢ τριακονταετίας ἢ τεσσαρακονταετίας. ῥηγνυμένου γὰρ τοῦ χρόνου οὕτως, ἐξαπλοῦται ὁ χρόνος τῷ ἐνάγοντι, καὶ ἀνανεοῦται ἡ ἀγωγὴ αὐτοῦ εἰς ἑτέρους τεσσαράκοντα ἐνιαυτούς[1].

119. *Καλῶς παρὰ ζήνωνος τοῦ τῆς θείας λήξεως τῶν δημοσίων ἐκποιήσεων πρόνοια γέγονεν, ἵνα οἵτινες ἐκ τῶν ἡμετέρων θησαυρῶν κατὰ δωρεὰς ἢ ἀγορασίας ἢ ἄλλον οἱονδήποτε τίτλον τίποτε παραλαμβάνωσιν, εἴ τι περὶ τὸ συνάλλαγμα ἐναντίον ἀναφανῇ, ἢ ἐκδικήσεως ἢ ἄλλης ὀχλήσεως ἕνεκεν, εἰς δεσποτείαν ἢ ὑποθήκην ἀποβλέπον, μή τινα ὑπομένωσι ζημίαν· ἀλλὰ κατὰ μὲν τῶν ἀγοραστῶν ἢ τῶν τὰς δωρεὰς δεχομένων ἢ κατὰ ἄλλους τίτλους ἐκποιήσεων τίποτε διακρατούντων μηδαμῶς οἱαιδήποτε ἀγωγαὶ κινείσθωσαν, ἀλλὰ μόνον κατὰ τοῦ δημοσίου ἕως τετραετίας μόνης, ἧστινος διολισθησάσης μηδὲ κατὰ τοῦ δημοσίου μενέτω τὶς ἀγωγή. καὶ τοῦτο κρατεῖν ἐφ᾽ οἷς καὶ οἱ φροντισταὶ τῶν βασιλικῶν ἀπὸ ἐπιστάλματος ἐξεποιήσαντό τινα, μηδενὸς τολμῶντος τοὺς οὕτω λαμβάνοντας κατά τινα τίτλον ἐκποιήσεως δικαστηρίοις περιβάλλειν, ἢ ἐλπίζειν τινὰ κατ᾽ αὐτῶν ἠνεῳγμένην εἶναι ὁδόν, πάσης εἰσόδου, πάσης κινήσεως, πάσης ἐλπίδος ἀποκλειομένης τοῖς βουλομένοις κινῆσαι καὶ προπετεύσασθαι κατὰ τῶν ἐκ τοῦ δημοσίου κατά τινα τρόπον κτησαμένων*[2].

120. *Πολλῶν ἀγωγῶν περὶ τοῦ αὐτοῦ συντρεχουσῶν τὴν μίαν τὶς κινεῖν ὀφείλει*[3].

121. *Ἐάν τις τὸ ἐπίκοινον πρᾶγμα νεμηθῇ ἐξ ὁλοκλήρου ἐπὶ ι´ ἢ κ´ ἐνιαυτοὺς, οὐκ ἔχει μακροῦ χρόνου παραγραφήν. οὐδὲ γὰρ τὸ ἐπὶ τῆς διαιρέσεως τῶν τῆς φαμιλίας πραγμάτων δικαστήριον, οὐδὲ ἡ ἐπὶ τῆς διαιρέσεως τῶν ἐπικοίνων ἀγωγὴ*

---

[1] Att. cit. 12. [2] Att. cit. 13. [3] Bas. II, 3, 43 th. 2.

ἐκβάλλεται διὰ τῆς τῶν ι' καὶ τῶν κ' ἐνιαυτῶν παραγραφῆς, τῇ τριακονταετηρίδι δὲ μόνῃ ἀποκλείονται[1].

122. Ἡ τῆς κληρονομίας ἀπαίτησις οὐκ ἐκβάλλεται διὰ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς, ἀλλὰ τῆς διηνεκοῦς. διηνεκὴς δέ ἐστιν ἡ τριακονταετία[2].

123. Τὸ μὴ καλῇ πίστει κατεχόμενον οὐ βεβαιοῦται τῇ τριετίᾳ, τυχὸν κινητὸν ὄν, ἢ τῇ δεκαετίᾳ ἢ εἰκοσαετίᾳ ἀκίνητον τυγχάνον. τὰ γὰρ τὴν ἀλήθειαν καταβλάπτοντα σύμφωνα ἀνίσχυρα διὰ τὸν κανόνα τὸν λέγοντα· οὐ χρὴ ζητεῖν τί γέγραπται, ἀλλὰ τί πέπρακται.

124. Διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ γὰρ αἰτίᾳ ἰσχυρότερος ὁ νεμόμενος[3].

125. Τὸ ἐξ ἀρχῆς ἀνυπόστατον οὐ βεβαιοῦται τῇ χρονίᾳ παραδρομῇ ἀλλὰ τῇ διηνεκεῖ[4].

126. Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατό τις λαβεῖν καρπούς.

127. Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων γίνεται, καὶ βαρεῖται ταῖς ἀποδείξεσιν[5].

128. Ἡ παραγραφὴ ἀποκλείειν εἴωθε καὶ ἀποδιώκειν τὰ ἐν τῇ ἐπιτάσει καὶ τῇ δίκῃ ἐπενηνεγμένα. ἐπειδὴ τῶν παραγραφῶν αἱ μέν εἰσι πρόσκαιροι, αἱ δὲ διηνεκεῖς. καὶ αἱ μὲν πρόσκαιροι ὑπέρθεσιν παρέχουσιν· ὡς ὅταν τὶς χρεωστῶν ἀποδοῦναι τὸ χρέος κατὰ τὸν ἀπρίλιον μῆνα ἐναχθῇ κατὰ τὸν ἰανουάριον, καὶ προβάληται τὸ σύμφωνον, καὶ διὰ τούτου παραγράφεται τὸν καιρὸν, καὶ ἐκβάλλει τὸν ἀντίδικον, ὥστε περιμένειν ἄχρι τοῦ ἀπριλίου μηνός[6].

129. Καὶ ὅταν τὶς λεγάτον ἐπιζητῇ ἢ κληρονομίαν, καὶ ἐνάγῃ προσώπῳ τινὶ, ὁ δὲ παραγράφηται, ὅτι ἀποδημεῖ ὁ κληρονόμος ἢ ὁ ἐπίτροπος, καὶ δίδωσιν ὑπέρθεσιν, ἕως οὗ ἐπέλθῃ, καὶ τὰ παραπλήσια[7].

130. Διηνεκὴς δὲ παραγραφή ἐστιν, ὅταν τὶς δι' ὅλου τὴν ἀγωγὴν ἀπωθῆται καὶ ἀναιρῇ· οἷον ἡ τοῦ δόλου ἡ τοῦ φόβου καὶ ἡ τριακονταετία. ἐναγόμενος γὰρ δοῦναί τις χρέος ὅταν λέγῃ, ὅτι τὸ ὁμόλογον κατὰ δόλον ἢ κατὰ φόβον ἐποίησα, παραγραφὴν ἀντιτίθησιν· ἢ ὅταν λέγῃ, ὅτι ἐπὶ τριάκοντα χρόνοις οὐκ ἀπητήθη, καὶ ἀνῃρέθη τῇ τριακονταετίᾳ ἡ περὶ χρέους

[1] Bas. L, 12, 3. [2] Bas. ib. 4. [3] Cf. Bas. II, 3, 129. [4] Cf. Bas. II, 3, 29. [5] Attal. XXXI, 1. [6] Att. cit. 2. [7] Att. ibid.

ἀγωγὴ, παραγραφὴ τοῦτό ἐστι, καὶ βαρεῖται ταῖς ἀποδείξεσιν ὁ παραγραφόμενος. οἷον δεῖξον, ὅτι παρῆλθεν ἡ τριακονταετία, ὅτι κατὰ δόλον ἐποίησας τὸ ἔγγραφον ἢ κατὰ φόβον. οὐ μόνον δὲ παραγραφαὶ παρὰ τοῦ ἐναγομένου ἀντιτίθενται, ἀλλὰ καὶ ἀντιπαραγραφαὶ παρὰ τοῦ ἐνάγοντος. καὶ γὰρ λέγειν δύναται ὁ ἐνάγων, ἐγὼ τὴν τριακονταετίαν διέτεμον κινήσας εἰς δικαστήριον· καὶ ἀπαιτεῖται οὗτος τότε δεῖξαι. καὶ ὅταν τὶς ἐναγόμενος εἴπῃ κριθῆναι παρ᾽ ἄλλου δικαστοῦ, παραγραφὴν ἀντιτίθησιν ἢ ὅτι ὁ φόβος καὶ ὁ δόλος ἀντετέθησαν μὲν, ἀνηρέθησαν δὲ καὶ ἐξεβλήθησαν παρὰ δικαστοῦ· καὶ ἀπαιτεῖται καὶ τοῦτο δεῖξαι. καὶ οὕτω καθεξῆς καὶ ἐπὶ τῶν φιλονεικουμένων ἀγωγῶν αἱ δικαιολογίαι προβάλλονταί τε καὶ ἀντιπροβάλλονται[1].

131. *Οὐ πάντως ὁ παραγραφόμενος δοκεῖ συντίθεσθαι τῇ ἐπιτάσει τοῦ ἀντιδίκου*[2].

132. *Αἱ μὴ κατὰ φύσιν συνιστάμεναι ἐνοχαὶ οὔτε διὰ δικαστοῦ οὔτε διὰ πραίτωρος οὔτε διὰ νόμου βοηθοῦνται. καὶ ἐστὶ τὸ τοιοῦτον νόμιμον θαυμάσιον. καὶ γὰρ ἐάν τις ποιήσῃ κατάθεσιν καὶ ὁμολογίαν πρός τινα ὥστε δοῦναι τούτῳ νομίσματα ρ´, ἐὰν ποιήσῃ πλαστὸν, εἰ τάχα καὶ ὁ νόμος τὰς καταθέσεις θεσπίζει καὶ τὰς ὁμολογίας πληροῦσθαι, ἀλλ᾽ ἡ συμφωνία φύσιν τῇ ἀγωγῇ μὴ παρέχουσα διὰ τὸ αἰσχρὸν διὰ παραγραφῆς ἐκβάλλεται, καὶ παραπέμπεται ὁ νόμος εἰς τὰς ἀνεπιλήπτους καταθέσεις καὶ ὁμολογίας. ἢ ὡς ἐάν τις ὁμολογήσῃ υἱὸν τὸν ἐξ ἀθεμιτογαμίας ἢ ἐκ μοναζούσης ἢ ἐκ τῆς ἁρπαγείσης αὐτῷ τεχθέντα· εἰ καὶ γὰρ δικαστὴς βεβαιώσει τοῦτον υἱὸν, ἀλλὰ τῆς ἀγωγῆς κατὰ φύσιν μὴ συνισταμένης, διὰ τῆς τοῦ αἰσχροῦ παραγραφῆς ἐκβάλλεται τῆς υἱότητος· καὶ οὔτε ὁ δικαστὴς, οὔτε ὁ περὶ καταθέσεως νόμος ὠφελεῖ. τὸ αὐτὸ καὶ ὅταν ἄνηβος χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου δανείζηται*[3].

133. *Κἂν δικαίως κἂν ἀδίκως τὶς κτίζῃ, πρὸ τοῦ τελειωθῆναι τὸ ἔργον καλῶς παραγγέλλεται. καὶ ὁ παραγγελθεὶς ἐὰν χωρὶς προτροπῆς κτίσῃ, διὰ νομικῆς παραγγελίας καταλύει τὸ ἔργον*[4].

134. *Τὰ ἰδιωτικὰ κτίσματα πεντεκαίδεκα πόδας ἀπεχέ-*

---

[1] Att. ibid. [2] Bas. LI, 1, 8 th. 2. [3] Att. XXXI, 3. [4] Att. XXXIV, 2.

τωσαν τῶν δημοσίων οἰκοδομημάτων· ὥστε μήτε τὸ δημόσιον κινδυνεύεν, μήτε αὐτὰ δεδιέναι τοῦ λοιποῦ[1].

135. *Ἐὰν τὸν ἐξώστην, τὸν λεγόμενον ἡλιακὸν, ποιήσῃ τὶς ἢ ἐποίησε, δέκα πόδας ἀπεχέτω τοῦ ἰδιωτικοῦ· τοῦ μέντοι δημοσίου πεντεκαίδεκα. εἰ δὲ παραβαίη τὶς, καὶ τὸ ἔργον καταλυθήσεται, καὶ ὁ οἶκος τῷ ἡμετέρῳ ταμείῳ προσκυρωθήσεται*[2].

136. *Περὶ ἀνακοινώσεως εἰ ζητεῖ τις προτίμησιν, εἰ μὲν ἔσωθεν τετραμήνου ζητήσει, προτιμᾶται εἰς τὴν ἀνακοίνωσιν. εἰ δὲ ἡ τετράμηνος ἀπερίκοπος διολισθήσει, ἐκπίπτει τῆς προτιμάσεως, εἰ μήγε ἀπεδήμει, ἢ λάθρα γέγονεν ἡ πρᾶξις, καὶ μέχρις οὗ διῆλθεν ἡ τετράμηνος ὁ πράτης ἦν ἐν νομῇ. τότε γὰρ ζητοῦμεν τὴν τετράμηνον ἀφ᾽ οὗ ἐπιβῇ τῆς νομῆς ὁ ἀγοραστής. δεῖ δὲ τοῦτο γινώσκειν, ὡς ἐξουσίαν ἔχει ὁ ἀγοραστὴς, ἢ τὰ εἰς ἀνακοίνωσιν μόνα πίπτοντα ἐκχωρῆσαι τῷ τὴν προτίμησιν ἐπιζητοῦντι καὶ ἀναλόγως λαβεῖν τὸ τίμημα, ἢ πάντων ἐκστῆναι καὶ ἀπολαβεῖν ὃ κατεβάλετο ἀῤῥαδιουργήτως τίμημα.*

137. *Εἶχες οἰκίαν, εἰς ἣν εἶχον ἐγὼ πλησιασμὸν ἢ ἄλλο τὶ ὅπερ προσεποίει μοι τὴν προτίμησιν. ἐπώλησας τὴν οἰκίαν μὴ περὶ τῆς διαπράσεως ἐπιφωνησάμενός μοι. ἡ δεκαετία μοι σώζεται εἰς τὸ κινεῖν τὴν περὶ προτιμήσεως ἀγωγήν. εἰ δὲ εἴποις σὺ, ὅτι ἐντὸς τετραμήνου ὤφειλες κινεῖν κατὰ τὸν νόμον, ἀλλ᾽ ὁ νόμος τοῦτο οὐκ ἀδιορίστως εἶπεν. εἰ γὰρ μὴ ἐπεφωνήσω, ἡ δεκαετία φυλάττεταί μοι. τὸ δὲ λέγειν, ὅτι παρῆς ὅτε ἐπιπράσκετό μοι ὁ οἶκος*[3]*, τοῦτο οὐ προσίσταταί μοι· καὶ σὺ γὰρ ὁ ἀγοραστὴς ἔβλεπες, ὅτι ἀνακοίνωσιν εἶχον ἢ πλησιασμὸν ἢ ἄλλο τὶ δίκαιον καὶ ὤφειλες ἐπιφωνεῖσθαι. καὶ εἰ μὲν ἐπεφωνήσω, ἡ δοθεῖσα διορία κυρώσει τὸ πρᾶγμα, ἡ τετράμηνος δηλαδὴ ἢ ἡ τριακονθήμερος· εἰ δὲ μὴ ἐπεφωνήσω, ἡ δεκαετία βοηθεῖ μοι*[4].

---

[1] Att. cit. 5. [2] Att. cit. 6. [3] Cod. *ὁ οἶκος καὶ ὁ οἶκος*. [4] Cf. *Πεῖρα* L. l. Harmenop. III, 3, 110.

Τίτλος λθ'. Περὶ ποινῶν, ἐν ᾧ καὶ νεαρὰ περὶ πορνοβοσκῶν, περὶ τοῦ μὴ εἶναι ἰδιωτικὴν φυλακὴν, περὶ εὐνουχιζόντων, περὶ ἀρνήσεως, περὶ δωροδοκηθέντος δικαστοῦ, περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ περὶ δαιμονιζομένων.

1. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ ὁ παραδιδοὺς πολεμίοις ῥωμαίους κεφαλικῶς κολάζεται[1].

2. Τοὺς ἐκ τῶν ῥωμαϊκῶν μερῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν[2].

3. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τὶς, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου φείσασθαι αὐτοῦ[3].

4. Ἐάν τις εἰδὼς ἐλεύθερόν τινι ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ δωρήσηται ἢ εἰς προῖκα δώσῃ ἢ καταλλάξῃ, μιᾶς τούτων τῶν αἰτιῶν ἀποδεικνυμένης ὁ τοιοῦτος χειροκοπείσθω[4].

5. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομηνυθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνοιεν, ἐξορίζονται· εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν, καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες ἐπὶ τῆς αὐτῆς ἔμειναν προπετείας, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν· εἰ δὲ οὐχ ὑπεμηνύθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται[5].

6. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρίνεται[6].

7. Τὸ κλοπιμαῖον ξύλον ἐμβληθὲν οἴκῳ ἢ ἀμπελῶνι οὐκ ἀποσπᾶται· ἀλλ' ὁ ἐμβαλὼν εἰς τὸ διπλοῦν ἐνέχεται. τῷ δὲ ὀνόματι τοῦ ξύλου πᾶσα ὕλη ἐπιτηδεία πρὸς οἰκοδομὴν ἢ ἀμπελῶνα περιέχεται. σώζεται γὰρ ἡ πραγματικὴ τοῦ ξύλου, ὁπωσδήποτε ἐλευθερωθέντος τοῦ οἰκοδομήματος ἢ τῆς ἀμπέλου[7].

8. Ἐὰν κλαπῇ τι ἐν καπηλείῳ ἢ ἐν πανδοχείῳ παρὰ τῶν ὄντων ἐν αὐτοῖς, εἴγε συμβουλῇ καὶ συνεργείᾳ τοῦ προεστῶτος, ἐξουσίαν ἔχει ὁ κλαπεὶς ἢ τὴν περὶ κλοπῆς ἀγωγὴν εἰς τὸ διπλάσιον κινῆσαι κατὰ τοῦ κλέπτου, ἢ τὴν πραιτωρίαν ἐπὶ ἱκανώσει τοῦ κλαπέντος κατὰ τοῦ προεστῶτος καπήλου. εἰ

[1] Proch. XXXIX, 1. [2] Proch. h. t. 3. [3] Proch. h. t. 4. [4] Proch. h. t. 5. [5] Proch. h. t. 6. [6] Proch. h. t. 8. [7] Attal. XXXV, 28.

δὲ τὴν φυλακὴν τοῦ πράγματος ὁ κάπηλος ἢ ὁ πανδοχεὺς ἀνεδέξατο, αὐτὸς ἔχει τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν καὶ οὐχ ὁ δεσπότης, ὡς ἐνεχόμενος τὸ ἱκανὸν ποιῆσαι τῷ δεσπότῃ [1].

9. Ἡ ποινὴ τοῦ φανεροῦ κλέπτου γίνεται εἰς τὸ τετραπλοῦν τοῦ τιμήματος τοῦ κλαπέντος, τοῦ δὲ ἀφανοῦς εἰς τὸ διπλοῦν, καὶ ἐφ᾽ ἑκατέροις ἔξωθεν τῆς τοιαύτης ποινῆς δίδοται τὸ πρᾶγμα ἢ ἡ διατίμησις αὐτοῦ [2].

10. Οἱ ἀπὸ σάκκων κλέπτοντες ἢ διαίτης ἀλλοτρίας ὑπὲρ τοὺς κλέπτας τιμωροῦνται ἢ πρὸς καιρὸν δίδονται εἰς δημόσιον ἔργον ἢ ῥοπαλίζονται καὶ ἀπολύονται [3].

11. Οἱ τοὺς ἀνθρώπους ἐκδύοντες ὡς τραχύτεροι τῶν κλεπτῶν εἰς ἔργον δημόσιον προσκαίρως ἢ διηνεκῶς ἐμβάλλονται. εἰ δὲ τιμιώτεροι, ἢ προσκαίρως ἀποκενοῦνται τοῦ ὀφφικίου ἢ τῆς αὐτῶν πατρίδος ἐξορίζονται. ἔνθα γὰρ παρὰ τῶν νόμων ἰδικὴ ποινὴ οὐχ ὥρισται, ἔξεστι τῷ δικάζοντι ἐπαγαγεῖν ἣν βούλεται [4].

12. Κλέπτης ἐστὶν ὁ τὸ ἀλλότριον ψηλαφῶν παρὰ γνώμην τοῦ δεσπότου ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν [5].

13. Μηδεὶς πιπρασκέτω βαρβάροις εἰργασμένα ὅπλα ἢ ἀνέργαστα ἢ σίδηρον· ἐπεὶ κεφαλικῶς τιμωρεῖται [6].

14. Οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ πραιδεῦσαι ἐοίκασι τοῖς λῃσταῖς· καὶ ἐὰν τοῦτο ποιῶσι μετὰ σιδήρων, καὶ πολλάκις καὶ ἐν ταῖς ὁδοῖς, κεφαλικῶς κολάζονται. οἱ δὲ λοιποὶ ἐξορίζονται ἢ δεπορτατεύονται. οἱ δὲ περιβόητοι φυλακίζονται ἢ θηριομαχοῦσιν ἐν οἷς ἐλῄστευσαν τόποις [7].

15. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας φονεύεται καὶ δημεύεται [8].

16. Ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐχ ὑπόκειται τιμωρίᾳ, ἀλλὰ χρὴ τὰ περὶ αὐτοῦ μηνυθῆναι. εἰ γὰρ ἀπὸ κουφότητος ἐξῆλθε, καταφρονητέον, εἰ δὲ ἀπὸ μανίας, ἐλεημοσύνης ἀξιωτέον· εἰ δὲ ἐξ ἀδικίας, συγχωρητέον [9].

17. Ὁ τὸν βασιλέα ὑβρίζων οὐ τιμωρεῖται οὔτε τὶ σκληρὸν ἢ τραχὺ ὑπομένει. ἢ γὰρ ἀπὸ κουφότητος εἶπε καὶ περιφρονεῖται, ἢ ἐξ ἀνοίας καὶ ἐλεεῖται, ἢ ὡς ἀδικούμενος καὶ συγχωρεῖται. ἀναφέρεται δὲ τῷ βασιλεῖ, καὶ αὐτὸς ἐκ τῆς

---

[1] Attal. ib. 30. [2] Phot. IX, 27. [3] Basil. LX, 22, 7. [4] Basil. LX, 28, 1. [5] Balsamon ad c. 9 Gregor. Nyss. [6] Proch. h. t. 9. [7] Att. XXXV, 208. Phot. XIII, 23. [8] Proch. h. t. 10. [9] Att. XXXV, 101.

ποιότητος τοῦ προσώπου κρίνειν ὀφείλει ἢ συγχωρηθῆναι ἢ τιμωρηθῆναι[1].

18. Οὐ χρὴ τοὺς δικαστὰς ἀποκεχρῆσθαι τῇ βασιλικῇ [τιμῇ], τουτέστι τῇ ὑπὲρ τοῦ βασιλέως ἐναγωγῇ, καὶ ἀπονέμειν αὐτίκα τὴν δικαίωσιν διὰ τὴν ὑπεροχὴν τῆς τιμῆς, ἀλλὰ τὸ ἀληθὲς σκοπεῖν, καὶ εἰ δυνατὸν ἦν τὸ πρόσωπον ποιῆσαι, καὶ οὐκ ἐποίησε, καὶ εἰ ἐνεθυμήθη, καὶ εἰ ἔνηφεν[2].

19. Οὔτε εὐχερῶς ὁ φλύαρος ὀφείλει τιμωρεῖσθαι, εἰ μὴ τοιοῦτόν ἐστι τὸ ἁμάρτημα, ὅπερ ὁ νόμος ῥητῶς ἢ ἐξ ὁμοίου τιμωρεῖται. τραχύτερον δὲ κατὰ στρατιωτῶν κινεῖται[3].

20. Τραχεῖα ὕβρις ἐστὶν ἡ γενομένη ἄρχοντι ἢ ὑπάτῳ καὶ ἱερεῖ καὶ ἀξιωματικῷ· καὶ ὅτι εἴσω ἐνιαυτοῦ μόνον κινεῖται. κεφαλικὴ δὲ τιμωρία ὥρισται κατὰ τῶν ὑβριζόντων ἢ τῶν τυπτόντων ἢ τῶν ποιούντων φάμουσα, καὶ τῶν ἀναγινωσκόντων αὐτὰ καὶ τὴν δύναμιν αὐτῶν λεγόντων τισὶ καὶ μὴ διαῤῥηγνύντων. καὶ ὅτι ὁ περὶ ὕβρεως καταδικαζόμενος ἄτιμος γίνεται, κἂν ἀλλότριον δοῦλον ὕβρισεν ἢ φιλικῶς ἐπὶ δόσει χρυσίου ἀπηλλάγη[4].

21. Ὁ κατὰ συκοφαντίαν κινήσας τὴν περὶ ὕβρεως ἀγωγὴν ἢ ἐξορίζεται ἢ τοῦ ἀξιώματος ἀποκινεῖται[5].

22. Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήμασιν ἐν εἰδήσει τὴν αὐτὴν ὑποστήσεται τιμωρίαν. ὁ δὲ ὑποδεξάμενος λῃστὰς, καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ, δημευέσθω ἢ τιμωρείσθω κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνίδοι[6].

23. Οἱ ὑποδοχεῖς τῶν λῃστῶν ὡς λῃσταὶ τιμωροῦνται, καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς λῃστὰς καὶ ἀπολύσαντες, χρήματα λαβόντες ἢ μέρος τῶν λῃστευθέντων. ἀνάγνωθι καὶ τὸ δ' αὐτοῦ κεφ. διδάσκον πῶς ἀποσπῶνται οἱ ἐνεχόμενοι ἐγκλήμασι καὶ διατρίβοντες ἐν κτήμασι. καὶ ὅτι εἰ μὴ διδόασι τούτους οἱ δεσπόται τοῦ κτίσματος τῷ ἄρχοντι, στερίσκονται τῆς δεσποτείας αὐτῶν. καὶ οἱ πρωτεύοντες καὶ οἱ φροντισταὶ τούτων ἐξορίζονται. ἐπίσης τοῖς αἱρετικοῖς καὶ τοῖς γόησι κολάζονται οἱ αὐτοὺς ὑποδεχόμενοι καὶ συγκαλύπτοντες[7].

24. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν[8].

25. Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων

---

[1] Phot. IX, 36. [2] Att. XXXV, 99. [3] Att. ibi. [4] Phot. IX, 36. [5] Bals. ad. Phot. IX, 36. [6] Bals. ad Phot. IX, 33. [7] Bals. ibi. [8] Proch. h. t. 11.

αὐτῷ χειροκοπείσθωσαν. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς, ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος εἴτε ἐργαστηριακὸς ὑπηρετήσας τῷ ἁμαρτήματι, καὶ ὁ τοιοῦτος χειροκοπείσθω[1].

26. *Περὶ κογχυλευτῶν, ἐν ᾧ καὶ περὶ ὀξυ[βάφων] διαλαμβάνει.* Ἐπειδὴ οἱ καθολικοὶ τῶν ἡμετέρων πραγμάτων, ἔτι μὴν καὶ οἱ βαφεῖς καὶ οἱ γυναικειάριοι πολλὰ διέφθειραν καὶ ἐκακούργησαν, τοῦτο δὲ γέγονεν ἐκ τοῦ γενέσθαι αὐτοὺς κατὰ δεσποτείαν, διὰ τοῦτο συνορῶμεν τοῦ λοιποῦ, μὴ γίνεσθαι οὕτω τινὰ, ἐπεὶ εἰς κεφαλὴν ὁ τοιοῦτος τιμωρηθήσεται[2].

27. Ἐὰν κογχυλευτὴς στρατεύσηται ἢ ἀξιώματος τύχῃ, οὐδὲν ἧττον τῇ οἰκείᾳ ἀποδοθήσεται τύχῃ. εἰ δὲ ὁμόεθνός τις παρ᾽ αὐτοῦ ἔλαβεν εἴδη τινὰ, ἀναδιδότω αὐτά[3].

28. Οὐδένα χρὴ παρὰ βασιλέως ἐξαιτεῖν [ἐπὶ τῷ ἐκτυποῦν] νούμμους. καὶ ὁ τούτου τετυχηκὼς μὴ μόνον τὸν καρπὸν τῆς ἰδίας αἰτήσεως ἀπολλύτω, ἀλλὰ καὶ τιμωρίαν, ἧς ἄξιος νομίζεται, ὑποδεχέσθω ὡς παραχαράκτης[4].

29. Ὁ συκοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται[5].

30. Εὐλόγως ὁ παῖς τὸν προδότην πατέρα καὶ ὁ πατὴρ τὸν προδότην υἱὸν *ἀναιρεῖ καὶ ἐπάθλων ἀξιοῦται[6].

31. Οἱ αὐτόμολοι καὶ οἱ τὰς ἡμῶν βουλὰς τοῖς πολεμίοις ἀπαγγέλλοντες καίονται ἢ φουρκίζονται[7].

32. Ὁπουδήποτε τοὺς αὐτομόλους εὑρισκομένους ἔξεστιν ὡς πολεμίους φονεύειν[8].

33. Οἱ ἐπίσημοι λησταὶ ἐν τοῖς τόποις, ἐν οἷς ἐπλημμέλησαν, φουρκίζονται, ἵνα διὰ θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις καὶ ἵνα γένηταί τις παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων[9].

34. Ἐάν τις εἰδὼς οἰκήματα ἐμπρήσῃ, ἢ σωρὸν σίτου πλησίον οἰκήματος κείμενον, ἐλεγχόμενος πυρὶ παραδίδοται· εἰ δὲ ἔξω πόλεως διαπράξεται, χειροκοπείσθω[10].

35. Οἱ δένδρον καὶ μάλιστα ἄμπελον τέμνοντες ὡς λησταὶ τιμωροῦνται. εἰ δὲ πολλοὶ τὸ αὐτὸ τέμωσι δένδρον, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον ἐνέχεται. εἰ δὲ πολλῶν δένδρον τομῇ,

---

[1] Proch. h. t. 14. [2] Syn. K, 20 ex Basil. LIV, 16, 2. [3] Syn. ib. ex Basil. l. l. 11. [4] Att. XXXV, 249. [5] Proch. h. t. 15. [6] Basil. XXI, 2, 11 schol. 3. [7] Basil. l. l. [8] Basil. l. l. [9] Proch. h. t. 16. [10] Proch. h. t. 18.

πᾶσι μία ἀγωγὴ καὶ μία ποινὴ ἁρμόζει· ἤτοι ἐξ ἀρνήσεως μὲν τοῦ διπλοῦ τοῦ τιμήματος, ἐξ ὁμολογίας δὲ τὸ ἁπλοῦν[1].

36. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ τὰς ἡμετέρας βουλὰς παραγγέλλοντες εἰς φοῦρκαν ἀναρτῶνται. καὶ οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν[2].

37. Ἡ τοῦ ἱεροσύλου ποινὴ ἀπὸ τῆς ποιότητος τοῦ προσώπου καὶ τοῦ ἁμαρτήματος καὶ τοῦ καιροῦ καὶ τῆς ἡλικίας καὶ τῆς φύσεως ἢ βαρυτέρα ἢ ἐλαφροτέρα ἐπιφέρεται. τινὲς γὰρ θηρίοις παραδίδονται, τινὲς καίονται, τινὲς φουρκίζονται. μεμετρημένη δὲ ποινή ἐστι τὸ παροδοθῆναι θηρίοις τὸν νυκτερινὸν ἱερόσυλον, ἡμερινὸν δὲ μέτριόν τι ἱεροσυλοῦντα μεταλλίζεσθαι, τὸν δὲ τίμιον δεπορτατεύεσθαι[3].

38. Οἱ ἱερόσυλοι κεφαλικῶς κολάζονται. ἱερόσυλοι δέ εἰσιν οἱ τοὺς δημοσίους ναοὺς κλέπτοντες· οἱ δὲ τὰ ἰδιωτικὰ ἱερὰ καὶ τοὺς ναοὺς μικροὺς ἀφυλάκτους ὄντας κλέπτοντες ἧττον μὲν τῶν ἱεροσύλων, πλέον δὲ τῶν κλεπτῶν τιμωροῦνται. ὁ δὲ ἐξωτικὸς ὑποκλέπτων τὰ ἱερὰ ὑπόκειται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. ὁ γὰρ τὴν αὐτῶν φυλακὴν πεπιστευμένος, κἂν ὑφέληταί τι ἐξ αὐτῶν, οὐχ ὑπόκειται τούτῳ τῷ νόμῳ[4].

39. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν[5].

40. Δεπορτατεύεται ὁ ἐμβαλὼν ἄνθρωπον κιβωτίῳ καὶ παραθέμενος αὐτὸν ἐν ναῷ, ἐὰν ἐκεῖνος ἐξιὼν τῆς κιβωτοῦ κλέψῃ τινὰ τοῦ ἱεροῦ[6].

41. Τὸ τῆς ἱεροσυλίας κατὰ κληρονόμων ἁρμόζει· περὶ γὰρ χρημάτων ὑφαιρεθέντων ἐστὶν ἐν αὐτῷ ἡ ζήτησις[7].

42. Ὁ ἐν θυσιαστηρίῳ ἁγίῳ εἰσιὼν ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, καὶ τῶν ἐν ναῷ τῶν ἱερῶν τι ἀφελόμενος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω. καὶ ὁ παρασκευάσας κατὰ δόλον γενέσθαι τὸ τοιοῦτον ὑπόκειται τῷ περὶ ἱεροσύλων νόμῳ[8].

43. Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας νόμῳ καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ ῥωμαϊκοῦ δήμου πλημμελήσας, καὶ ὁ παρασκευάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους, ἢ ἵνα ἔνοπλοι ἄνθρωποι κατὰ τῆς πόλεως ὦσιν, ἢ ἵνα τόποι καὶ ἱερὰ κατα-

[1] Att. XXXV, 33. [2] Proch. h. t. 17. 19. [3] Phot. II, 2. [4] Phot. l. l. [5] Proch. h. t. 57. [6] Phot. II, 2. [7] Phot. l. l. [8] Proch. h. t. 58.

σχεθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων, καὶ ὁ πρὸς τοὺς πολεμίους ἄγγελον ἢ γράμματα πέμψας ἢ σημεῖον αὐτοῖς δεδωκὼς ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὁ ὑπονοθεύσας ἢ ὁ ἐρεθίσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πόλεως, ὁ μετὰ διαδοχὴν [μὴ] ἀναχωρῶν τῆς ἐπαρχίας, καὶ ὁ καταλιμπάνων στρατόπεδον, καὶ ὁ ἰδιώτης τῆς πόλεως φεύγων πρὸς τοὺς πολεμίους, καὶ ὁ γράφων τὶ ἢ ὁ ἀναγνούς τι πλαστὸν ἐν χάρτῃ δημοσίῳ, καὶ ὁ τοὺς πολεμίους ἐρεθίζων ἢ παραδοὺς αὐτοῖς πολίτας, εἰς κεφαλὴν τιμωροῦνται[1].

44. Τῷ αὐτῷ νόμῳ ὑπόκειται καὶ ὁ ἐν πολέμῳ παραχωρῶν πολεμίοις, καὶ ὁ καταλαμβάνων ἀκρόπολιν, καὶ ὁ προδιδοὺς κάστρα, καὶ ὁ πολεμῶν παρὰ κέλευσιν βασιλέως ἢ στρατολογῶν, καὶ μὴ παραδιδοὺς τῷ διαδόχῳ αὐτοῦ τὸ στρατόπεδον, καὶ ὁ πρὸ διαδοχῆς ἀποστὰς, εἴτε πολιτικῶς εἴτε στρατιωτικῶς ἦρχε, καὶ ὁ ἰδιώτης περιποιῶν ἑαυτῷ πλαστὴν ἀρχὴν, καὶ φροντίσας τὶ ποιῆσαι τῶν προειρημένων, καὶ ὁ συνομόσας κατὰ τῆς πολιτείας καὶ παρασκευάσας γενέσθαι τὶ, καὶ ὁ ἐπιβουλεύσας στρατῷ ἢ τοῖς πολεμίοις αὐτὸν παραδοὺς, καὶ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ ῥωμαίους γενέσθαι τοὺς πολεμίους ἢ παρασκευάσας αὐτοὺς βοηθηθῆναι πλήθει ἢ ὅπλοις ἢ ἵπποις ἢ χρήμασιν ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ, ἢ τοὺς φίλους τῆς πολιτείας ἐχθροὺς ποιήσας, ἢ κωλύσας ἕτερον ἔθνος πειθαρχῆσαι τῇ πολιτεία, ἢ παρασκευάσας τοῖς ἐχθροῖς δοθῆναι ὁμήρους ἢ χρήματα ἢ ὑποζύγια, καὶ ὁ τὸν συνομολογήσαντα κατηγορούμενον τῶν δεσμῶν ἀπολύων. καὶ ὁ τὰς ἀνιερωθείσας στήλας καὶ εἰκόνας βασιλικὰς χωνεύων, ἤ τι πλημμελῶν εἰς αὐτὰς, ὑπόκειται τῷ περὶ καθοσιώσεως νόμῳ[2].

45. Κινοῦσιν αὐτὸν καὶ ἄτιμοι καὶ στρατιῶται καὶ ἀπελεύθεροι κατὰ πατρώνων, καὶ δοῦλοι κατὰ τῶν ἰδίων δεσποτῶν καὶ καθ᾽ ἑτέρων ἐξωτικῶν, καὶ γυναῖκες[3].

46. Σβέννυνται τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου, χωρὶς τοῦ περὶ καθοσιώσεως κατηγορουμένου ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας καὶ τῆς κατὰ βασιλέως ἐπιβουλῆς· ἐπὶ τούτων γὰρ ἐὰν μὴ καθαρισθῇ ἀπὸ τῶν κληρονόμων, δημεύεται ἡ κληρονομία. ἀπὸ δὲ τῶν λοιπῶν τοῦ νόμου κεφαλαίων τῇ τελευτῇ σβέννυται τὸ ἔγκλημα[4].

---

[1] Att. XXXV, 94. 95. [2] Att. cit. 96. 97. [3] Att. cit. 98. [4] Att. t. 100.

47. Ἐπὶ τῆς καθοσιώσεως καὶ οἱ ἐνάγοντες βασανίζονται εἰ μὴ φανεροὺς ἐλέγχους ἔχουσι· καὶ οἱ πρὸς τὴν κατηγορίαν αὐτοὺς κεκινηκότες· ὅπως ἂν πανταχόθεν τῆς ἀληθείας δεικνυμένης ἐξετασθῇ τὸ ἔγκλημα. πάντες γὰρ ἐπὶ τούτῳ τῷ ἐγκλήματι βασανίζονται[1].

48. Ἐάν τις συνομοσάμενος μετὰ στρατιωτῶν ἢ ἰδιωτῶν ἢ βαρβάρων φονεύσῃ ἰλλούστριον, ἢ ἁπλῶς οἱονδήποτε συγκλητικὸν ἢ στρατιώτην, καθοσιώσεως κρινέσθω, καὶ καθολικὴν δι᾿ αἵματος ὑπομενέτω τιμωρίαν μετὰ δημεύσεως. οἱ δὲ υἱοὶ αὐτοῦ ἄτιμοι ἔστωσαν καὶ μηδὲν κληρονομείτωσαν ἀπό τινος συγγενοῦς, ἢ τῶν ἀνιόντων ἢ ἄλλων συγγενῶν [ἢ] ἐξωτικῶν, ἢ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, μηδεμιᾷ ἐλπίδι τρεφόμενοι τοῦ τυχεῖν ποτε ἀξίας ἢ τῆς τυχούσης στρατείας. εἰ δέ τις ὑπὲρ αὐτῶν δεηθῇ βασιλέως ἢ προστῇ αὐτῶν, ὥστε αὐτοὺς συγχωρηθῆναι, ἀτιμούσθω· αἱ δὲ θυγατέρες τοῦ συνομοσαμένου μέχρι τρίτου ἢ ἡμίσεος μόνον λαμβανέτωσαν κατὰ τὸν φαλκίδιον νόμον ἐκ τῆς μητρῴας ὑποστάσεως εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου[2].

49. Οἱ ἡμαρτηκότες κοθοσίωσιν καὶ μετὰ θάνατον ἐνέχονται, καὶ δημεύεται ἡ οὐσία αὐτῶν, καὶ μετὰ τελευτὴν τοῦτο τὸ ἔγκλημα ἄρχεται κινεῖσθαι, καὶ ἡ μνήμη τοῦ τεθνηκότος καταδικάζεται, καὶ τὰ πράγματα αὐτοῦ ἐκ τῶν κληρονόμων λαμβάνονται. ἀφ᾿ οὗ γὰρ τὴν τοιαύτην ἔννοιαν ὑπεισῆλθον, ἐξ ἐκείνου τοῦ χρόνου διὰ τὴν ἔννοιαν ἄξιός ἐστι τιμωρίας[3].

50. Ὁ εὑρὼν φλυαρίαν ἐν χάρτῃ, εἴτε ἐσφραγισμένῳ εἴτε ἀσφραγίστῳ, μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτοῦ· ἀλλὰ διαῤῥηξάτω αὐτὸν ἢ καυσάτω. ὁ δὲ μὴ ποιήσας οὕτως κεφαλικῇ τιμωρίᾳ ὑποβληθήσεται. πᾶς γὰρ θαῤῥῶν ἅπερ ἐντάττει ἐν τῇ φλυαρίᾳ κατηγορείτω, γινώσκων ὅτι ἐὰν ἀποδείξῃ τιμῆς ἀξιοῦται· μὴ ἀποδείξας δὲ τιμωρεῖται. ὁ δὲ τοιοῦτος χάρτης τὴν καθ᾿ οὗ ἐτέθη ὑπόληψιν μὴ βλάψῃ[4].

51. Πᾶς ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον καὶ μὴ παραχρῆμα καίων, ἀλλὰ ἀναγινώσκων, ὑποκείσθω τιμωρίᾳ ἧτινι ὑπέκειτο καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν[5].

52. Ὁ βασιλεὺς παρέχων συγχώρησιν, τὴν σωματικὴν τιμω-

[1] Att. cit. 102. [2] Att. cit. 103. [3] Att. cit 104. [4] Bals. ad Phot. 36. [5] Balsamon l. l.

ρίαν ποιεῖ συγχωρηθῆναι· τὴν δε ἀτιμίαν, τὴν παρεχομένην κατὰ φύσιν τοῖς δημοσίοις ἐγκλήμασιν, οὐ συγχωρεῖ[1].

53. Πρεσβύτερος ἢ διάκονος χρηματικῶς ψευδομαρτυρῶν γ' ἐνιαυτοὺς τῆς ἱερωσύνης χωριζέσθω, συγκλητικὸς δὲ τῆς ἀξίας γυμνούμενος τιμωρείσθω γενόμενος καὶ ἄτιμος, ὁ δὲ κοσμικὸς λ' χρυσίου λίτρας διδότω τῷ δημοσίῳ[2].

54. Μηδενὶ τῶν δικαστῶν ἐξέστω δημεῦσαί τινα, εἰ μὴ εἰς τὰς βασιλικὰς ἀκοὰς ἀνενεχθῇ[3].

55. Ὁ κατηγορήσας τινὸς ἐγκληματικῶς εἴσω διετίας ὀφείλει πληροῦν τὴν ἰδίαν κατηγορίαν. εἰ δὲ ῥαθυμήσει καὶ ἐν τῇ τελευταίᾳ ἡμέρᾳ μὴ παραγένηται καὶ ὑπέρθηται, εἰς τὸ τέταρτον τῆς οὐσίας αὐτοῦ τιμωρείσθω, γενόμενος καὶ ἄτιμος ὡς συκοφάντης δηλονότι. χρὴ γὰρ τοὺς δικαστὰς μὴ παρέχειν εἰ μὴ τὰς ἀναγκαίας προθεσμίας. εἰ δὲ οἱ δικασταὶ ὑπέρθωνται, εἴκοσι λίτρας χρυσίου πρὸς τιμωρίαν ὑπόκεινται. ἡ δὲ χρηματικὴ δίκη διὰ τριετίας ὀφείλει τέμνεσθαι[4].

56. Μὴ ἐκτὸς κελεύσεως τοῦ βασιλέως τῶν ὡρισμένων δικαστῶν ἐξέστω δημεῦσαί τινα[5].

57. Θεσπίζομεν τοὺς ἐπὶ ἐγκλήματι κατηγορουμένους, ἐφ᾽ ᾧ οἱ νόμοι δημεύουσιν ἢ θάνατον ὁρίζουσιν, ἐὰν ἐλεγχθῶσι καὶ κατακριθῶσι, τὰς αὐτῶν περιουσίας μὴ γίνεσθαι κέρδος τοῖς ἄρχουσιν ἢ ταῖς αὐτῶν τάξεσιν, ἀλλὰ μηδὲ κατὰ τοὺς παλαιοὺς νόμους τῷ δημοσίῳ αὐτὰς προσκυροῦσθαι· ἀλλ᾽ εἰ μὲν ἔχοιεν κατιόντας, αὐτοὺς ἔχειν τὴν οὐσίαν, χωρὶς τῶν διὰ τοῦ τοιούτου ἁμαρτήματος αὐτοῖς προσγενομένων. εἰ δὲ μὴ ὕπεισι κατιόντες, ἀλλ᾽ ἀνιόντες ἄχρι τοῦ τρίτου βαθμοῦ, αὐτοὺς ἔχειν. εἰ δὲ γαμετὰς ἔχουσιν οἱ οὕτω κατακριθέντες, πᾶσι τρόποις κελεύομεν ταύτας καὶ τὴν προῖκα καὶ τὴν γαμικὴν δωρεὰν λαμβάνειν. εἰ δὲ δίχα προικὸς τοῖς τοιούτοις προσώποις συνῴκησαν, τὴν ἀπὸ τῶν ἡμετέρων νόμων ὁρισθεῖσαν μοῖραν ἐκ τῆς ὅλης οὐσίας τοῦ κατακριθέντος ταύτας λαμβάνειν, εἴτε τέκνα ἔχουσιν εἴτε καὶ μή. εἰ δὲ μηδένα τῶν προειρημένων ἔχει ὁ πλημμελήσας, τότε τῷ δημοσίῳ προσκυροῦσθαι τὴν ἐκείνου περιουσίαν. ἐπὶ μέντοι τοῖς καθοσιώσει κατακρινομένοις τοὺς παλαιοὺς νόμους φυλάττεσθαι[6].

58. Ἐπίσκοπος ἀπὸ συνόδου τελείας καθαιρεθεὶς, καὶ ποιήσας στασιῶδες διὰ τὸ πάλιν τὴν ἐπισκοπὴν ἀναλαβεῖν, ἀπὸ

---

[1] Att. XXXV, 252. [2] Cf. Att. III, 10. [3] Att. XXXV, 254. [4] Att. cit. 253. [5] Att. cit. 254. [6] Att. cit. 255.

ϱ' μιλίων ης ἐξεβλήθη πόλεως οἰκείτω, μηδὲ βασιλεῖ προσιών. κἂν τύχῃ ἀντιγράφων, ἄχρηστα ἔστω, καὶ ὁ ὑπερεκδικῶν αὐτοῦ ἀγανακτείσθω[1].

59. Οἱ μὴ πειθαρχοῦντες τῇ ἐξορίᾳ, ἀλλ' ἢ ἐν ἑτέροις εὑρισκόμενοι τόποις ἢ μὴ ἀπιόντες εἰς τὴν ἐξορίαν, ἀντὶ μὲν ἐξορίας προσκαίρου διηνεκῆ ὑφίστανται, ἀντὶ διηνεκοῦς ἐξορίας περιορισμὸν, ἀντὶ δὲ περιορισμοῦ κεφαλικὴν τιμωρίαν[2].

60. Ἐξορίας δὲ παραίτησιν μόνος ὁ βασιλεὺς ἐξ εὐλόγου δίδωσιν αἰτίας[3].

61. Τοῦ καταδικασθέντος εἰς δημόσιον ἔργον καὶ ἀποφυγόντος ὁ ὑπολιμπανόμενος τῇ ἐξορίᾳ χρόνος διπλασιάζεται, οὐ μὴν ὃν ἐποίησεν ἐν φυλακῇ. εἰ δὲ ὁ τοῦ χρόνου διπλασιασμὸς μέλλει τὴν δεκαετίαν ὑπερβαίνειν, ἢ διηνεκῶς ἐξορίαν καταδικάζεται ἢ εἰς ἔργον μετάλλου πέμπεται[4].

62. Τῇ πρώτῃ τῶν πασχαλίων ἡμερῶν καὶ μὴ βασιλικῆς ἰδικῆς ἐπὶ τούτῳ καταλαβούσης κελεύσεως πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν· εἰ μὴ ἄρα ἱερόσυλός ἐστιν ἢ μοιχὸς ἢ παρθένων ἅρπαξ ἢ τυμβωρύχος ἢ φαρμακὸς ἢ μονίταν πλαστὴν καταδεξάμενος ἢ φονεὺς ἢ πατροκτόνος ἢ συκοφάντης ἢ κατὰ βασιλέως ἢ πόλεως μηχανησάμενος[5].

63. Ὁ ποιῶν ἑλληνικὰς θυσίας ἢ τιμῶν εἴδωλα ἢ θυσιάζων ἢ λίβανον αὐτοῖς καίων ἐσχάτῃ ὑποβαλλέσθω τιμωρίᾳ. ὁμοίως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες αὐτῶν καὶ οἱ ὑπηρέται τῶν θυσιῶν[6].

64. Τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται· ὁ δὲ τοιοῦτος ξίφει τιμωρείσθω[7], καὶ ὁ τοῦτον προτρεψάμενος ἢ παρακλήσει ἢ μισθῷ ἐξορίᾳ καὶ δημεύσει ὑπόκειται.

65. Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξωσι, ξίφει τιμωρείσθωσαν[8].

66. Οἱ διὰ μαγείας τῇ σωτηρίᾳ τῶν ἀνθρώπων ἢ τῇ σωφροσύνῃ ἐπιβουλεύοντες τιμωροῦνται[9].

67. Ὁ ἐπιτηδευσάμενος γοητείαν ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς, ἢ κατὰ σωτηρίας ἀνθρώπων μηχανησάμενος, δημεύσει καὶ ἐξορίᾳ τιμωρείσθω[10].

68. Ὁ συνειδὼς τινα γόητα κατασχὼν αὐτὸν τῇ δημοσίᾳ

---

[1] Cod. I, 3, 14. [2] Basil. LX, 51, 4. [3] Bas. ibid. [4] Bas. ib. 8 th. 7. [5] Balsam. ad Phot. IX, 25. [6] Proch. h. t. 30. [7] Proch. h. t. 20. [8] Proch. h. t. 21. [9] Phot. IX, 25. [10] Bals. ad Phot. IX, 25.

ὄψει παραδιδότω. εἰ δέ τις συλλαβόμενος τοῦτον μὴ παραδώσει, ἐσχάτην ὑπομενέτω τιμωρίαν[1].

69. Μηδεὶς ἐρωτάτω μάντιν ἢ θύτην ἢ οἰωνοσκόπον, μήτε χρηματιζέτω χαλδαῖος ἢ μαθηματικὸς ἤ τις παραπλήσιος. ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀποτεμνέσθω[2].

70. Οἱ δοῦλοι ἢ ἀπελεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους[3] δερόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν[4].

71. Ἡ διάταξις ἀπαγορεύει, ἀμφοτέρας τὰς χεῖρας καὶ τοὺς πόδας τέμνεσθαι[5].

72. Ἐπεὶ δὲ τὸ τεῖχος θείου δικαίου ἐστὶν, ὡς φυλακτικὸν σωμάτων ἐμψύχων τε καὶ ἀψύχων, ἀποτρέπει ὁ νόμος τὸ γίνεσθαι βλάβην τινὰ ἐν αὐτῷ. ὁ οὖν διάτρησιν ποιῶν ἢ βάρος ἐπιθεὶς ἢ συνάπτων ἐν αὐτῷ τι, οἷον οἰκοδόμημα ἰδιωτικὸν, παρὰ κέλευσιν βασιλέως, ἢ ὑπερβαίνων δι᾽ αὐτοῦ καὶ μὴ διὰ τῆς πόρτης κεφαλικῶς τιμωρεῖται. καὶ ῥωμύλος τὶς ἀδελφὸς ὢν βασιλέως τῆς ῥώμης τολμήσας ὑπερπηδῆσαι τὸ τεῖχος τὴν κεφαλὴν ἀφῃρέθη[6].

73. Ὁ ὑβρίζων ἐπίσκοπον ἢ κληρικὸν ἐν ἁγίᾳ λειτουργίᾳ ἢ ἐν λιτῇ βασανίζεται καὶ ἐξορίζεται. ὁ δὲ ταράσσων τὰς θείας λειτουργίας ἢ τὰς ἁγίας λιτὰς καὶ κωλύων αὐτὰς μὴ γίνεσθαι κεφαλικῶς τιμωρεῖται. καὶ ὁ πολιτικὸς νόμος πάντα ὑβριστὴν ἀτιμοῦσθαι διορίζεται σὺν τῷ διδόναι καὶ χρηματικὴν ποινήν. νομίζω οὖν ὅτι τῇ ἀτιμίᾳ ἐπακολουθεῖ καὶ καθαίρεσις εἰς τοὺς ἱερωμένους[7].

74. Ὁ ἀνελὼν ἀλλότριον δοῦλον καὶ χρηματικῶς ἐνάγεται ὥστε τὴν ζημίαν πληρῶσαι, καὶ ἐγκληματικῶς ὑπὲρ τοῦ φόνου[8].

75. Ὁ τὸν φυγάδα δοῦλον ὑποδεξάμενος καὶ μέχρις ἡμερῶν κ′ μὴ ἀπαγγείλας δίδωσιν αὐτὸν μεθ᾽ ἑτέρου ψυχαρίου εἴτε κ′ νομίσματα. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται καὶ ἡ ποινή[9].

76. Ὁ δοῦλον ἀλλότριον ὑποφθείρας, ἢ χείρονα ποιήσας, ἢ συμβουλεύσας αὐτὸν κλέψαι, ἢ ῥεμβὸν ποιήσας ἢ φυγάδα ἢ ἄλλο τὶ, ἐνάγεται εἰς τὸ διπλοῦν τῆς μειώσεως τοῦ τιμήματος. τυχὸν ὄντα ἄξιον νομισμάτων λ′ ἠλάττωσε διὰ τῆς

---

[1] Proch. h. t. 13. [2] Phot. IX, 25 [3] Lips. δούλους. [4] Proch. h. t. 22. [5] Proch. h. t. 23. [6] Att. I, 2. [7] Att. III, 13. [8] Att. XXXV, 17. [9] Proch. h. t. 24.

ὑποφθορᾶς εἰς ιε', καὶ ἀπαιτεῖται τὰ ιε' τῆς μειώσεως εἰς τὸ διπλοῦν[1].

77. Ὁ δὲ ἀγνοῶν δοῦλον καὶ ὡς μισθωτὸν ἔχων οὐκ ἐστιν ἀνδραποδιστὴς, ἐνέχεται δὲ τῇ ποινῇ. καὶ ὁ συμβουλεύσας ἀλλότριον δοῦλον φυγεῖν ἢ κρύψας ἢ ἀγοράσας ἀγνοοῦντος ἢ ἄκοντος τοῦ δεσπότου. εἰ τάχα δὲ καὶ ἐγκληματικῶς κινεῖται, καὶ εἰς μέταλλον ἔχει τὴν τιμωρίαν, ἀλλὰ σήμερον εἰς τὸ διπλάσιον ἔχει τὴν ποινήν[2].

78. Ἐὰν τὸ ἐλεύθερον σῶμα ἀνδραποδισθῇ καὶ πραθῇ, οὐ γίνεται δοῦλον· ἀλλ' ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χειροκοπείσθω. ὁμοίως χειροκοπείσθω καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἢ ἀγοράσας ἢ δωρησάμενος, ἢ εἰς προῖκα δοὺς, ἢ καταλλάξας[3].

79. Καὶ ἡ ξς' νεαρὰ τοῦ φιλοσόφου βασιλέως κυροῦ Λέοντος ὁρίζει τὸν ἀνδραποδιστὴν μὴ κεφαλικὴν τιμωρίαν ὑφίστασθαι κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ σὺν τῇ ἀντιστροφῇ τοῦ δούλου διδόναι χάριν ποινῆς εἰς τὸ διπλάσιον τὴν διατίμησιν τῶν κλαπέντων παρὰ τοῦ δούλου, ἴσως καὶ παντὸς διαφέροντος τῷ δεσπότῃ, ἀλλὰ μὴν καὶ τὸν δοῦλον καὶ τὴν ἀποτίμησιν[4].

80. Ἐὰν ἐξενεχθῇ ἀπόφανσις κατὰ ἀπόντος τινὸς, ὁ δὲ γνοὺς μὴ ἐκκαλέσηται, οὐκέτι δύναται προφάσει τῆς ἰδίας ἀπουσίας τὴν ἀπόφανσιν ἀνατρέπειν[5].

81. Ἐάν τις ἐξ ἀνάγκης ἀπολειφθῇ, ἡ γενομένη κατ' αὐτοῦ ἀπόφανσις οὐκ ἰσχύει[6].

82. Ἀπὼν τις οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, ἀλλὰ γίνεται ἀναζητούμενος διὰ προγραμμάτων ἢ γραμμάτων γενομένων πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ῇ διάγει. ἀφ' οὗ δὲ γνῷ, τὸν ἐνιαυτὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθᾶραι. καὶ ἐὰν εἴσω τοῦ ἐνιαυτοῦ ἔλθῃ καὶ ἀσφαλίσηται ἢ ἀποθάνῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ[7].

83. Ἐὰν ἐπὶ εἴκοσι ἔτη μὴ κατάσχῃ ὁ δημόσιος τὰ ἀναζητούμενα πράγματα, ἐκβάλλεται τῇ παραγραφῇ. πᾶσα γὰρ δημοσία κίνησις τῇ εἰκοσαετίᾳ σβέννυται, εἰ μή τίς ἐστι ἰδικὴ παραγραφὴ, ὥσπερ τὸ μοιχικόν. ἐκεῖνο γὰρ διὰ πενταετίας σβέννυται[8].

---

[1] Att. XXXV, 20. [2] Att. cit. 176. [3] Att. cit. 177. [4] Nov. Leonis 66 ex Bals. ad c. 3 syn. Gangr. [5] Bas. IX, 1, 57. [6] Bas. ib. 62. [7] Att. XXXV, 178. [8] Att. cit. 179.

84. *Κατὰ τοῦ ἁρπάσαντος πρᾶγμα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως οἰκίας ἢ ναυαγίου, ἢ κατὰ τοῦ ὑποδεξαμένου κατὰ δόλον τὰ τοιαῦτα πράγματα, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον δίδοται ἡ ἀγωγὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν ἢ εἰς διπλοῦν ἢ εἰς τὸ ἁπλοῦν*[1].

85. *Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα*[2].

86. *Εἴσω ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται, οὐ μὴν τὸ διαφέρον*[3].

87. *Οἱ μὲν γὰρ ἅρπαγες σὺν τῇ ἀποδόσει τοῦ τετραπλοῦ καὶ ἀτιμοῦνται*[4].

88. *Ἔξεστι βίᾳ τὴν βίαν ἀπωθεῖσθαι. ὅθεν ἐὰν κατὰ φόβον ἐπερωτήσῃς τινὰ, καὶ ἀναγκάσω σὲ παραχρῆμα ποιῆσαι αὐτῷ ἀποχὴν, οὐκ ἐνέχομαί σοι*[5].

89. *Ὁ τὸ ἀλλότριον πρᾶγμα ἐῤῥιμένον λαμβάνων ἐπὶ τῷ κερδᾶναι, κἂν ἀγνοῇ τίνος ἐστὶν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, εἰ μὴ ἄρα ἀπρονόητον ὁ δεσπότης εἴασεν αὐτό· τότε γὰρ κἂν ὡς κλέπτων αὐτὸ ἔλαβεν, ἐπειδὴ ἐπαύσατο αὐτοῦ εἶναι, οὐχ ὑπόκειται. κλοπὴ γὰρ οὐ γίνεται μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου. εἰ δὲ τὸ μὴ ὂν ἀπρονόητον ἐνόμισεν, οὔκ ἐστι κλέπτης. εἰ δὲ μὴ ἦν ἀπρονόητον μήτε ἐνόμισεν, ἔλαβε δὲ ἐπὶ τῷ δοῦναι τῷ εὑρισκομένῳ δεσπότῃ, οὐχ ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρετρα λάβῃ*[6].

90. *Ἐάν τις ἀπόντος πρᾶγμα κατέσχε σχολάζων, οὐκ ἐνήγετο τὸ παλαιὸν ἢ τῷ περὶ βίας παραγγέλματι, ἢ τῷ ὅπερ βίᾳ ἢ λάθρα, τῇ τὰ ἴδια ἐκδικούσῃ ἀγωγῇ, ἐν ᾧ δεσπότης ἦν ὁ ἀπών. ἡμεῖς οὖν ὡς νόμον ὄντα βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῶς παραγγέλματι. γελοῖον γάρ ἐστι τὸ λέγειν, ὅτι ἐνόμιζεν ἴδιον τὸ ἀλλότριον. ὥσπερ οὖν καὶ ἐπὶ τῆς περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῆς εἴπομεν, ὅτι παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν κλοπὴν ἁμαρτάνει. ταῦτα δέ φαμεν, ἐὰν μὴ λ΄ ἔτη παρῆλθον ἐξ οὗ τῆς νομῆς ἐπελάβετο*[7].

91. *Τὰ δι᾽ ἀνάγκην παρὰ κανόνα νόμου δεχθέντα οὐχ ἕλκεται εἰς ὑπόδειγμα*[8].

92. *Ἐὰν κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ μέ τις, εἴσω ἐνιαυτοῦ εἰς τὸ διπλοῦν ἐνέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ*

---

[1] Proch. h. t. 25. [2] Bals. ad c. 8 Gregor. Neocaes. [3] Bals. l. l. [4] Bals. l. l. [5] Bas. X, 2, 12 th. 2. [6] Bals. ad c. 4 Gregor. Neocaes. [7] Bals. l. l. [8] Basil. II, 3, 162.

ἁπλοῦν. γίνεται θόρυβος ἀπὸ δέκα ἀνθρώπων ἢ καὶ πλειόνων. ἐνέχεται δὲ καὶ ὁ αἰτίαν παρασχὼν τοῦ θορύβου. καὶ διαφέρει τοῦτο πρὸς τὸ προλαβὸν διάταγμα, ὅτι ἐκεῖ μὲν κινεῖται περὶ ζημίας καὶ ἁρπαγῆς γενομένης παρὰ τῶν ἀθροισθέντων κατὰ δόλον ἀνθρώπων, ἢ μὴ ἀθροισθέντων, ἀλλ᾽ ἁπλῶς διακεχωρισμένως ἁρπασάντων· ἐνταῦθα δὲ περὶ τῆς ἐν θορύβῳ κατὰ δόλον συμβάσης ζημίας, ἤτοι συγκεχυμένης ζημίας ἢ ἀπωλείας, κἂν μὴ ἡ ἁρπαγὴ παρὰ προσώπων ὡρισμένων γέγονεν. ὅθεν ἐκεῖνο μὲν διὰ τὸ τραχὺ τῆς ἀναισχύντου ἁρπαγῆς εἰς τὸ τετραπλοῦν, τοῦτο δὲ εἰς τὸ διπλοῦν δίδοται[1].

93. Τὸ κατὰ βίαν ἢ φόβον γινόμενον οὐχ ἡγήσομαι κύριον[2].

94. Τὸ βίᾳ νεμόμενον καὶ τὸ ἁρπαγὲν οὐ δεσπόζεται, εἰ μὴ εἰς τὴν ἐξουσίαν τοῦ δεσπότου ἢ τοῦ κληρονόμου αὐτοῦ ὑποστρέψει. καὶ σημείωσαι θαυμαστὸν νόμιμον, ὅτι ὁ ἁρπάσας πρᾶγμα ἢ βίᾳ ἀφελόμενος, ἐὰν μὴ ἀποκαταστήσῃ τοῦτο, ἀνισχύρως αὐτὸ ἀγοράζει ἢ κατὰ δωρεὰν λαμβάνει ἀπὸ τοῦ δεσπότου ἢ διαλύσει παρακατέχει. δοκεῖ γὰρ ὁ δεσπότης τούτου ἔτι βιάζεσθαι, καὶ ἐξ ἀποτυχίας τοῦ ἰδίου πράγματος ἀτονῶν πρὸς τὸ συνάλλαγμα ἔρχεσθαι[3].

95. Τὸ κατ᾽ ὀργὴν ἢ θερμότητα λεγόμενον ἢ γινόμενον οὔκ ἐστι βίαιον, εἰ μὴ τοῖς αὐτοῖς ἐπιμείνῃ. ὅθεν ἡ μετ᾽ ὀλίγον ἐπιστρέψασα ἄνδρα οὔτε διαζευχθῆναι δοκεῖ[4].

96. Ὁ ἁρπάζων ἀλλοτρίαν δούλην πόρνην οὖσαν οὐκ ἐνέχεται ὡς ἀνδραποδιστὴς, ἤγουν μεταλλίζεται, ὡς ἐν τῷ βασιλικῷ κεῖται. ὁ γὰρ ἁρπάζων δούλην μὴ οὖσαν πόρνην μεταλλίζεται[5].

97. Τὸ διδόμενον πόρνῃ οὐκ ἀναδίδοται. ἐπειδὴ γάρ ἐστι πόρνη, οὔκ ἐστιν αἰσχρὸν τὸ λαβεῖν αὐτὴν, εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην[6].

98. Ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν οὔτε ὡς ἀνδραποδιστὴς οὔτε ὡς κλέπτης κατέχεται· οὐ γὰρ κλοπῆς, ἀλλ᾽ ἡδονῆς χάριν ἐποίησε τοῦτο· εἰ γὰρ θυρίδας τὶς κλάσει τῆς πόρνης, καὶ εἰσελθόντες ἕτεροι μὴ παρ᾽ αὐτοῦ εἰσαχθέντες κλέψουσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης[7].

---

[1] Att. XXXV, 54. [2] Bas. X, 2, 1. [3] Att. XXXV, 55. [4] Basil. II, 3, 48. [5] Bals. ad Phot. XIII, 5. [6] Phot. XIII, 5. [7] Phot. IX, 30.

99. Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην ἐσχάτως τιμωρεῖται[1].

100. Ὁ φθείρας διακόνισσαν ὑπεύθυνός ἐστι τῷ ξίφει, καὶ τὴν οὐσίαν αὐτοῦ λαμβάνει τὸ δημόσιον[2].

101. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενής ἐστιν ἢ δούλη ἢ ἀπελευθέρα, καὶ μάλιστα εἰ τῷ θεῷ εἰσι γυναῖκες καθιερωμέναι, κἂν τὴν ἰδίαν τὶς μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ᾽ ὅπλων ἤτοι ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν, οἱ δὲ συνυπουργήσαντες αὐτοῖς ἢ συνειδότες ἢ ἑκόντες ὑποδεξάμενοι [ἢ] οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι σφοδρῶς καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ ἢ συνειδότες καὶ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήτινα σπουδὴν εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν[3], εἰ καὶ αὐτὴ ἡ γυνὴ ἐπὶ τῇ ἁρπαγῇ συναινέσει. ζήτει καὶ λε΄ νεαρὰν τοῦ βασιλέως κυροῦ λέοντος τοῦ φιλοσόφου τιμωροῦσαν τὸν μετὰ ἁρπαγῆς βιασάμενον κόρην μὴ μόνον διὰ δημεύσεως, ἀλλὰ καὶ διὰ σωματικῆς ποινῆς, ὡσαύτως καὶ τοὺς συναραμένους αὐτῷ, καὶ διαλαμβάνουσαν ἄλλως τιμωρεῖσθαι τοὺς ἔνοπλον ἁρπαγὴν ποιησαμένους, καὶ ἄλλως τοὺς μὴ οὕτως ἀτακτήσαντας, τιμωρεῖσθαι δὲ καὶ τὸν πατέρα, ἐὰν καταδέξηται τὸ γεγονός[4].

102. Μὴ γαμείσθω τοίνυν ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν, ἀλλ᾽ εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῶν, περιορίζονται[5].

103. Ἡ ἁρπαγεῖσα κερδαίνει τοῦ ἁρπάσαντος πράγματα μὴ θελήσασα συζευχθῆναι αὐτῷ νομίμως. ἐπείτοιγε εἰ θελήσει τοῦτο, δημεύεται ἥ τε περιουσία ταύτης καὶ τοῦ ἅρπαγος καὶ τῶν συναιρομένων ἐπὶ τῷ κακῷ, εἴτε ἀλλότριοι εἴτε γονεῖς εἰσι τούτων[6].

104. Ἐάν τις οἰκειακὸς ἢ δοῦλος ἐγκληματικῶς κατηγορῇ τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω, ἐξῃρημένου τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦντος. καὶ ὁ ἀπελεύθερος ἔγκλημα ἐπιφέρων

---

1 Phot. ibid. 2 Phot. ibid. 3 Proch. h. t. 40. 4 Bals. c. 27 syn. Chalced. et ad c. 92 syn. Trull. 5 Bals. ad c. 92 syn. Trull. 6 Bals. cit.

τῷ πάτρωνι ἢ τῷ κληρονόμῳ αὐτοῦ, τὴν αὐτὴν ὑποφερέτω τιμωρίαν τοῖς δούλοις καὶ τοῖς οἰκειακοῖς[1].

105. *Τὴν ἁρπαγὴν τῆς βιασθείσης ἐκδικοῦσι γονεῖς καὶ ἀδελφοὶ καὶ ἐπίτροποι καὶ κουράτορες αὐτῆς, καὶ μάλιστα εἰ γεγάμηται ἢ μεμνήστευται. τότε γὰρ οὐχ ἁρπαγὴ, ἀλλὰ καὶ μοιχεία πλημμελεῖται*[2].

106. *Ἡ παροῦσα διάταξις βεβαιοῖ τὰς προειρημένας ποινὰς ἐν τῇ πρὸ αὐτῆς διατάξει. κελεύει γὰρ, ἵνα μὴ ἡ ἁρπαγεῖσα κόρη γαμηθῇ τῷ ταύτην ἁρπάσαντι, κἂν χήρα ἐστὶν ἢ κἂν ὁ πατὴρ αὐτῆς συναινῶν συγχωρῇ τὸ ἔγκλημα. εἰ δὲ τοῦτο ποιήσει, οὐ διαδέχεται αὐτὸν, κἂν οἱασδήποτε αἱρέσεως ἢ ἡλικίας ᾖ. ἐὰν γὰρ μὴ συναφθῇ αὐτῷ, τὴν οὐσίαν αὐτοῦ λήψεται*[3].

107. *Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται*[4].

108. *Οἱ μανιχαῖοι χριστιανοὶ γενόμενοι, μετὰ ταῦτα τὰ τῶν μανιχαίων διαπραττόμενοι, καὶ οἱ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. καὶ οἱ ἐν ἀξίαις ἢ στρατείαις ἢ συστήμασιν ὄντες ὀφείλουσιν φροντίζειν, μήτις αὐτῶν ἐστι τοιοῦτος· ἐπείτοιγε εἰ ἴσασιν αὐτὸν καὶ μὴ παραδιδοῦσι, κἂν ὀρθόδοξοι ὦσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται*[5].

109. *Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται, καὶ ὅτι οὐδεὶς αὐτοὺς κληρονομεῖ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, κἂν συγγενεῖς ὦσιν ὀρθόδοξοι, πλὴν παιδίων, ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτῶν. παῖδες γὰρ μόνοι ὀρθόδοξοι ὄντες κληρονομοῦσιν αὐτούς*[6].

110. *Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται*[7].

111. *Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν λογισμὸν ἢ περιτέμῃ χριστιανὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ*[8].

112. *Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, καὶ πάλιν ἑλληνίζοντες, ἐσχάτην τιμωρίαν ὀφείλουσι παθεῖν*[9].

113. *Οἱ ἀποστάντες ἐκ τῆς τῶν ὀρθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι, ἢ θύσαντες ἢ θῦσαί τινι ἐπαγγειλάμενοι, οὐ δύνανται διαθέσθαι ἢ δωρεῖσθαι· οὔτε ἐκ διαθήκης οὔτε*

---

[1] Proch. h. t. 41. [2] Att. XXXV, 243. [3] Att. cit. 244. [4] Proch. h. t. 27. [5] Proch. h. t. 28. [6] Proch. h. t. 29. [7] Proch. h. t. 31. [8] Proch. h. t. 32. [9] Proch. h. t. 33.

ἐξ ἀδιαθέτου λαμβάνειν τὶ δύνανται, ἀλλὰ πάντα τοῦ δημοσίου εἰσίν[1].

114. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδιδόσθω[2].

115. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καιέσθω[3].

116. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵτινες τῇ σωτηρίᾳ τῶν οἰκείων δεσποτῶν ἐπεβούλευσαν. κἀκεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι τῆς φωνῆς αὐτοῦ ἢ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς αἰσθόμενοι μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε ἐν ὁδῷ ἢ ἐν ἀγρῷ τοῦτο συνέβη[4].

117. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν κεφαλικῇ τιμωρίᾳ ὑπόκειται[5].

118. Ἰστέον δὲ, ὅτι ἡ κεφαλικὴ τιμωρία αὕτη ἐστίν· ὁ περιορισμὸς, ἡ τύφλωσις, ἡ ἐκτομὴ τῆς χειρὸς καὶ τὰ λοιπὰ, ὅσα καὶ ἐπιστροφῆς καιρὸν διδόασι τῷ τιμωρουμένῳ καὶ τοῦ ἐπταισμένου ἀπόστασιν διὰ τὸ ἐπὶ πολὺ τιμωρεῖσθαι, καὶ οὐχὶ τὸ ἀποτέμνεσθαι καὶ ἀποκεφαλίζεσθαι[6].

119. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, ἂν συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος. εἰ δέ τις ὡς εἰκὸς ὑποπτεύσει τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γυναικὸς ἐμπαῖξαι σωφροσύνῃ, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψοι ἐχούσας μαρτυρίαν ἀνδρῶν ἀξιοπίστων, καὶ μετὰ ταύτας τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας εὕροι αὐτὸν ἐντυγχάνοντα τῇ αὐτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τοῦ μοιχοῦ ἢν μετὰ τῆς αὐτοῦ γυναικὸς ἢ ἐν προπίναις[7] ἢ ἐν προαστείοις, ἐξεῖναι τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶ τὸν τοιοῦτον ἀνελεῖν, οὐδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. εἰ δὲ ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕροι μετὰ τῆς ἑαυτοῦ γαμετῆς διαλεγόμενον, ἢ ἐν ἐκκλησίαις, οὐκ ἐλάττους τριῶν μαρτύρων συγκαλούμενον ἀξιοπίστων, δι᾽ ὧν ἀποδεῖξαι δύναται, ὅτιπερ αὐτὸν μετὰ τῆς αὐτοῦ γαμετῆς εὗρε, τῷ ἄρχοντι παραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξετάζοντι· ἐκεῖνον δὲ ταῖς ἀληθείαις γινώσκοντα μετὰ τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας τῇ γυναικὶ τὸν τοιοῦτον συνευρεθέντα, τὸν μὲν τοιοῦτον ὡς ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσόντα, μηδεμιᾶς ἄλλης ζητουμένης ἀποδείξεως, τιμωρεῖσθαι· ἄδειαν δὲ εἶναι

---

[1] Proch. h. t. 34. [2] Proch. h. t. 35. [3] Proch. h. t. 36. [4] Proch. h. t. 37. [5] Proch. h. t. 38. [6] Bals. ad Phot. IX, 25. [7] Lips. προπύλαις.

τῷ ἀνδρὶ, ὡς ἂν βούληται, τῆς ἰδίας γυναικος κατηγορεῖν, καὶ κατὰ τοὺς νόμους τῷ ἐγκλήματι ἐπεξιέναι[1].

120. Τῇ πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν εἰς ἑκοῦσαν ἡμαρτηκότων. ἐὰν δέ τις βιασάμενος ἢ ἄῤῥενα ἢ γυναῖκα ἁμάρτῃ ἀκαθαρσίαν καὶ μίασμα, ἀπροσδιορίστως δύναται κατηγορεῖσθαι· οὗτος γὰρ καὶ φανερὰν βίαν ἥμαρτεν[2].

121. Μηδεὶς λαϊκὸς καὶ μάλιστα οἱ σκηνικοὶ καὶ αἱ πόρναι τὸ μοναχικὸν ἐμπαιζέτω σχῆμα· ἐπεὶ σωματικῶς τιμωρεῖται καὶ ἐξορίζεται[3].

122. Χριστιανὸς λαβὼν ἰουδαίαν γυναῖκα ἢ χριστιανὴν ἰουδαῖος ἐπὶ μοιχείᾳ κατηγορεῖται[4].

123. Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος καὶ μὴ ποιῶν ἐκμαρτυρίᾳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, ἢ παραιτούμενος ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν· δηλονότι ἐν ᾧ πόρον τοῦ ἰδίου σώματος οὐκ ἐποίησεν[5].

124. Ὁ λαβών τι ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς ἐνέχεται τῷ περὶ μοιχείας νόμῳ. καὶ ὁ διδοὺς ἐν εἰδήσει τὸν οἶκον αὐτοῦ ἐπὶ τῷ γενέσθαι ἐκεῖ μοιχείαν ἢ φθορὰν πρὸς ἄνδρα ἢ γυναῖκα πρὸς πορνείαν ὡς μοιχὸς τιμωρεῖται[6].

125. Λέγεται μὲν μοιχεία καὶ ἡ πρὸς παρθένον καὶ χήραν φθορά. κυρίως δὲ μοιχεία ἡ τῆς ὑπάνδρου ἐστὶν· φθορὰ δὲ τῆς παρθένου καὶ τῆς χήρας[7].

126. Ἐφεῖται τῷ πατρὶ οὐ μὴν τῷ ἀνδρὶ, πάντα μοιχὸν φονεύειν· πολλῷ δὲ μᾶλλον καὶ ἐνυβρίζειν. φονεύειν δὲ καὶ ἐν τῷ οἴκῳ, ἐν ᾧ μένει, κἂν μὴ συνοικῇ αὐτῷ ἡ θυγάτηρ, καὶ ἐν τῷ οἴκῳ τοῦ γαμβροῦ, ἐὰν ἐν αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας καταλάβοι αὐτόν. ἀλλαχοῦ δὲ μὴ φονεύειν, εἰ μὴ ἔνθα μένει, καὶ ἐν τῷ τοῦ γαμβροῦ, οὐ δύνανται δὲ καὶ ἐν τῷ ἰδίῳ οἴκῳ, ἔνθα μὴ μένει. ἅμα δὲ τοὺς δύο ὀφείλει φονεύειν, οὐ μὴν τὸν μὲν νῦν, τὴν δὲ μεθ᾽ ἡμέρας. εἰ δὲ ἐν ὅσῳ φονεύει τὸν μοιχὸν, ἔφυγεν ἡ θυγάτηρ αὐτοῦ μὴ προσποιησαμένου, καὶ ἐπιδιώξας ἐκράτησε μετά τινας ἡμέρας, παραχρῆμα δοκεῖ φονεύειν. τῷ δὲ ἀνδρὶ ἔξεστιν ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ φονεύειν τὸν μοιχὸν, ἀλλ᾽ οὐ πάντα· ἀλλὰ τὸν προαγωγὸν, καὶ τὸν ἐπιδειξάμενον πρώην παιγνικὴν τέχνην, ἢ τὸν ἐν σκηνῇ προσελ-

---

1 Proch. h. t. 42. 2 Proch. h. t. 26. 3 Phot. XI, 12. 4 Phot. XII, 13. 5 Att. XXXV, 105. 6 Att. cit. 107. 7 Att. cit. 109.

θόντα ἐπὶ τῷ ᾄσαι ἢ ὀρχήσασθαι καὶ τὸν ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθέντα καὶ μὴ ἀποκαταστάντα, καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς ἢ τῶν γονέων ἢ παίδων αὐτῶν, καὶ δοῦλον[1].

127. Ἐὰν ὁ ἐπίτροπος τὴν παρ' αὐτοῦ ἐπιτροπευομένην φθείρῃ, περιορίζεται, κἂν τὰ μάλιστα ἐκείνην τὴν τιμωρίαν ὀφείλῃ ἐπενεγκεῖν, ἥντινα τῷ ἁρπάσαντι οἱ νόμοι ἐπιτιθέασιν, ἤγουν εἰς ὁλόκληρον δημεύεσθαι τὴν περιουσίαν αὐτοῦ καὶ κατὰ τὴν προειρημένην τάξιν διαιρεῖσθαι, κινδύνῳ καθὼς προείπομεν τοῦ τε κόμητος τῆς ἰδικῆς περιουσίας καὶ τῶν κατὰ τόπον ἀρχόντων[2].

128. Ὁ ἐπίτροπος ἢ ὁ κουράτωρ ἀγαγόμενος τὴν νέαν πρὸ τοῦ κε' ἐνιαυτοῦ, μὴ παρὰ τοῦ πατρὸς αὐτῆς μνηστευθεῖσαν αὐτῷ ἢ ἀφορισθεῖσαν ἢ ἐν διαθήκῃ[3] ὀνομασθεῖσαν, οὔτε γάμον ποιεῖ, καὶ ὑπόκειται μοιχείᾳ[4].

129. Συνεστῶτος τοῦ γάμου κατηγορεῖν ἕτερος οὐ δύναται τῆς γυναικὸς, εἰ μὴ πρότερον τοῦ ἀνδρὸς ὡς προαγωγοῦ κατηγορήσει. τὴν μέντοι παρὰ τοῦ ἀνδρὸς καταλειφθεῖσαν κατηγορίαν ἀνανεοῦν ἕτερος οὐ δύναται[5].

130. Ἐπὶ τῇ τοιαύτῃ ἐξετάσει οὐ μόνον ἀλλότριοι δοῦλοι βασανίζονται διδομένου διπλοῦ τοῦ τιμήματος αὐτῶν, ἀλλὰ καὶ δοῦλοι τῶν κατηγορούντων καὶ κατηγορουμένων, ὅπως ἂν πανταχόθεν φανερωθῇ ἡ ἀλήθεια. καὶ γίνονται δημόσιοι οἱ [ἐξ]-ετασθέντες τῶν κατηγορουμένων καὶ τῶν κατηγορούντων, οὐ μὴν οἱ ἐξωτικοί[6].

131. Δύναται τὸ μοιχικὸν ἐν τῇ πενταετίᾳ κινεῖσθαι. μετὰ δὲ ταύτην ἐκβάλλεται τῇ παραγραφῇ. ψηφίζεται δὲ ἡ πενταετία ἀπὸ τοῦ καιροῦ τοῦ ἁμαρτήματος ἕως αἰτιάσεως[7].

132. Ἐὰν ὁ ἀνὴρ συσχῇ μοιχὸν, ὃν οὐκ ἐφεῖται φονεύειν ἢ οὐ θέλει, δύναται παρακρατεῖν αὐτὸν ἕως εἴκοσιν ὡρῶν συναπτῶν, καὶ μάρτυρας εἰσάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρῆσαι ὡς ἐν τῇ μοιχείᾳ κατεσχέθη. τὰ αὐτὰ δύναται καὶ ὁ πατὴρ ποιεῖν[8].

133. Ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος οὐκ εὐχερῶς πιστεύεται. πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ' ἑαυτοῦ πλάττεται[9].

---

[1] Att. cit. 114. [2] Att. cit. 241. [3] Cod. δίκῃ. [4] Att. cit. 110. [5] Att. cit. 115. [6] Att. cit. 116. [7] Att. cit. 117. [8] Att. cit. 118. [9] Att. cit. 184.

134. *Τὸν νόμον τὸν περὶ μοιχείας γυνὴ οὐ δύναται κινεῖν, οὐδὲ ἐὰν αὐτὴ λέγηται ἡ γυνὴ ἡμαρτῆσθαι, ὀφείλει πιστεύεσθαι· ὅπερ ἐστὶ καινόν. περὶ δὲ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστιν, οὔτε διαλύεσθαι. εἰ δὲ ἁμαρτήσει τὶς πρὸς ἐκείνην, πρὸς ἣν ἤδη πολλοὶ ἐπόρνευσαν, οὐ κατηγορεῖται περὶ μοιχείας. ἡ δὲ ἅπαξ ἁμαρτήσασα μοιχείαν, ἐὰν μετὰ ταῦτα γένηται γαμετὴ τοῦ μοιχεύσαντος αὐτὴν, οὐ σβέννυται τῷ προσχήματι τοῦ γάμου τοῦ μετὰ τὴν μοιχείαν γενομένου. εἰ καὶ τὰ μάλιστα τὸ τῆς μοιχείας ἔγκλημα μεταξὺ τῶν δημοσίων ἐκφέρεται, ὧν ἡ κατηγορία εἰς τὸ κοινὸν παρακεχώρηται· ἀλλ᾽ οὖν ἵνα μὴ τοῖς βουλομένοις ἐξείη χραίνειν τοὺς γάμους, τοῖς ἐγγίζουσι καὶ ἀναγκαίοις προσώποις μόνον ἀρέσκει προσφέρεσθαι τοῦ κατηγορεῖν τὴν εὐχέρειαν, ἤγουν πατρὶ, ἀδελφῷ, θείῳ πρὸς πατρὸς, καὶ θείῳ πρὸς μητρός· ἐξαιρέτως δὲ τῷ ἀνδρί*[1].

135. *Ἐπὶ τῷ τῆς μοιχείας ἐγκλήματι κατηγορουμένη γυνὴ οὐ δύναται εἰπεῖν τῷ ἀνδρὶ, τέως δός μοι τὴν προῖκα, ἀλλὰ ἀνακρίνεται τὸ ἔγκλημα τὸ περὶ τῆς μοιχείας, ὥστε μετὰ ταῦτα ζήτησιν γενέσθαι τῇ περὶ τῆς προικὸς ἀπαιτήσει*[2].

136. *Αἱ αἰσχραὶ ἐπερωτήσεις ἀνίσχυροί εἰσιν, ὡς ὅταν τὶς ὁμολογῇ φόνον ποιῆσαι ἢ ἱεροσυλίαν, οὔτε ἀγὼν ἐκ τῶν τοιούτων ἁρμόζει*[3].

137. *Ἐπερώτησις τῆς προαιρέσεως ἠρτημένη τοῦ ὁμολογοῦντος οὐκ ἔῤῥωται*[4].

138. *Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη δὲ καὶ τῆς πολιτείας, ἐν ᾗ κατοικεῖ, ἐκ πάσης τῆς οἰκείας περιουσίας ἐκπιπτέτω. ὁ μέντοι μοιχεύσας δοῦλος ξίφει τιμωρείσθω*[5].

139. *Γυνὴ μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξηται, τυπτέσθω καὶ κουρευέσθω, καὶ ὁ τοιοῦτος δοῦλος ὁμοίως, καὶ εἶθ᾽ οὕτως πιπρασκέσθω, καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω. εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθείη, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως παραφυλαττέσθω, τῆς χρήσεως μόνης παρ᾽ αὐτῇ μενούσης, καὶ ἡ τιμὴ δὲ τοῦ διαπραθέντος δούλου τοῖς παισὶ διδόσθω*[6].

---

[1] Att. cit. 119—123. [2] Att. cit. 124. [3] Bas. XLIII, 1, 25. 26. [4] Bas. XLIII, 1, 16. [5] Proch. h. t. 43. [6] Proch. h. t. 44.

140. *Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν, οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἐγκλήματι γεγονότες τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν*[1].

141. *Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὕτη κατεδικάσθη, οὔτε ὁ γάμος ἔῤῥωται, ἀλλ᾽ εἰ καὶ κληρονόμον αὐτὴν γράψω ἢ ἐμὲ ἐκείνη, δημεύεται ἡ κληρονομία. οὐδὲ στρατιωτικῶς τις διαθέμενος δύναται κληρονόμον γράψαι τὴν ἀπὸ φθορᾶς γνωσθεῖσαν καὶ σύγκοιτον αὐτοῦ γενομένην ἀλλὰ τοιούτου τινὸς συμβαίνοντος τῷ δημοσίῳ*[2]...

142. *Εἴ τις ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς προδοσίᾳ τῶν δικαστῶν ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ τὰς ἀπὸ τοῦ νόμου ποινὰς ἀποφύγοι, καὶ μετὰ ταῦτα εὑρεθείη τῇ γυναικὶ, περὶ ἧς κατηγορήθη, αἰσχρῶς συναναστρεφόμενος, ἢ εἰς γάμον λαμβάνων αὐτὴν, καὶ τοῦτο γένηται ζῶντος τοῦ ἀνδρὸς εἴτε μετὰ τὴν αὐτοῦ τελευτήν, οὐδὲ τὸν γάμον ἐῤῥῶσθαι κελεύομεν, ἀλλὰ καὶ τὸν τοιοῦτο πλημμελῆσαι τολμήσαντα, εἰ καὶ πρότερον διέφυγεν, ὅμως ἄδειαν διδόαμεν παντὶ δικαστῇ καὶ συνέχειν αὐτὸν καὶ μετὰ βασάνων ταῖς νομίμοις τιμωρίαις ὑποτιθέναι μηδὲ ἄλλης κατηγορίας ἢ ἀποδείξεως δεομένῳ. καὶ τὴν γυναῖκα σωφρονισθεῖσαν καὶ καρεῖσαν μοναστηρίῳ ἐμβληθῆναι κελεύομεν, κἀκεῖ μένειν ἐπὶ ὅλον τὸν χρόνον τῆς οἰκείας ζωῆς, τὴν ἑκατέρου δὲ περιουσίαν κατὰ τὴν προειρημένην τάξιν διαιρεῖσθαι, κινδύνῳ, καθὼς προείπομεν, τοῦ τε κόμητος τῆς ἰδικῆς περιουσίας καὶ τῶν κατὰ τόπον ἀρχόντων*[3].

143. *Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀνατρέποντες ἢ τὰ ὁροθέσια τῶν χωρῶν ἀφανίζοντες τυπτόμενοι διηνεκῶς ἐξοριζέσθωσαν ἐξστραορδίνως τιμωρούμενοι*[4].

144. *Ἐάν τις ἐν ἀλλοτρίῳ ἐδάφει οἰκείαις ὕλαις κατασκευάσῃ οἶκον, ὁ τοῦ ἐδάφους κύριος καὶ τοῦ οἰκήματος ἔστω δεσπότης, ὥστε οὖν καὶ τῆς ὕλης ἀπολαῦσαι καὶ τῆς δεσποτείας διηνεκῶς τοῦ ἐδάφους κύριον, μὴ δυναμένου κινεῖν περὶ τῆς τῶν ὑλῶν διατιμήσεως*[5].

145. *Ὁ ἐν ἀλλοτρίῳ ἐδάφει κτίζων ἢ σπείρων ἢ φυτεύων ἢ ἄλλο τὶ ἐργαζόμενος ἐκπιπτέτω τῆς δεσποτείας μηδὲ τὰ δαπανήματα λαμβάνων*[6].

146. *Ὁ ἐκ δικαστικῆς ψήφου ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδί-*

---

[1] Proch. h. t. 45. [2] Att. XXXV, 168. [3] Nov. 134. c. 12. [4] Cod. IX, 1, 2. [5] Leges rust. X, 5. [6] Leges rust. ib. 2.

κου ὅρκον ὑπέχων ἐπ' ἐκκλησίας τῶν ἀχράντων ἐφαπτόμενος εὐαγγελίων, ἐπιορκεῖν μετὰ ταῦτα ἐλεγχθεὶς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ ἐπὶ τῶν μαρτύρων[1].

147. Ἀδελφὸς κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν οὐ δύναται· ἐπείτοιγε καὶ οὐκ ἀκουσθήσεται, καὶ ἐξορίᾳ ὑποβληθήσεται[2].

148. Ὁ ἁρπάζων γῆν ἢ μετατιθεὶς ὅρια, διπλὴν τὴν ἁρπαγὴν ἀποδίδωσι[3].

149. Ἐὰν χωρὶς δικαστικῆς ἀποφάνσεως ἀφέληταί τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας· εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸς τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ[4].

150. Ἐὰν χρήσηταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τὸν ὁρισθέντα τόπον τοῦτον ἀπενέγκῃ καὶ πέμψῃ, τὴν ὡς εἰκὸς γενομένην ἐπ' αὐτῷ βλάβην ἢ θάνατον τὸν χρησάμενον ὁρᾶν, καὶ τὸ ἀζήμιον ποιεῖσθαι τῷ κυρίῳ τοῦ ἵππου[5].

151. Ὁ κεχρημένος ἵππῳ ἕως ὡρισμένου τόπου τινὸς, τὸν δὲ ὁρισθέντα τόπον τοῦτον ὑπερβιβάσας, τῆς ὡς εἰκὸς γενομένης αὐτῷ βλάβης ἢ τοῦ θανάτου αὐτὸς τὸν λόγον ὑπέχει, καὶ τὸ ἀζήμιον τῷ κυρίῳ τοῦ ἵππου περιποιεῖται. ἐὰν μέντοιγε ἐντὸς τοῦ ὁρισθέντος τόπου βλάβη ἐπιγένηται τῷ ἵππῳ ἢ θάνατος, ἀζήμιος ὁ κεχρημένος διατηρεῖται, εἰ μὴ ἄρα ἐξ ἀμελείας ἢ ἐξ ἐπιβουλῆς τὸ περὶ τὸν ἵππον εἰργάσατο πάθος[6].

152. Ὁ ἐναποκλείσας ἀλλότρια θρέμματα, καὶ τροφῆς ἐνδείᾳ διαφθείρας ἢ ἄλλως πως ἀνελὼν, εἰς τὸ διπλάσιον καταδικάζεται[7].

153. Κριῶν ἢ βοῶν ἢ ἵππων ἢ χοίρων ἢ ἄλλων τινῶν θρεμμάτων συνεληλυθότων, εἰ μὲν ὁ πρῶτος ἐπελθὼν τοῖς ἄλλοις ἀναιρεθῇ, ἀνεύθυνός ἐστιν ὁ τοῦ ἀνελόντος δεσπότης· εἰ δὲ ἀνέλῃ ὁ ἐπελθὼν, ὑπεύθυνος γίνεται ὁ δεσπότης τοῦ ἀνελόντος, καὶ ἢ ἐκδίδωσι τὸ ζῶον τῷ δεσπότῃ τοῦ ἀναιρεθέντος ἢ τὸ ἀζήμιον αὐτῷ περιποιεῖται[8].

154. Τοὺς ἐν φωσσάτῳ κλέπτοντας, εἰ μὲν ὅπλα, σφοδρῶς προστάττομεν τύπτεσθαι· εἰ δέ τι τῶν ὑποζυγίων ἢ ἡμιόνων, χειροκοπεῖσθαι[9].

155. Τοὺς ἐν οἱαδήποτε πολιτείᾳ κλέπτοντας, ἅπαξ μὲν

---

[1] Proch. h. t. 46. Proch. h. t. 47. [3] Proch. h. t. 48. [4] Proch. h. t. 49. [5] Ecl XVII, 7. [6] Proch. h. t. 50. [7] Proch. h. t. 51. [8] Proch. h. t. 52. [9] Proch. h. t. 53.

τοῦτο ποιοῦντας, θεσπίζομεν, εὐπόρους μὲν καὶ ἐλευθέρους ὑπάρχοντας, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ διπλῆν ποσότητα καταβαλεῖν τῷ τὴν κλοπὴν ὑπομείναντι· εἰ δὲ ἄποροι εἶεν οἱ τοῦτο διαπεπραχότες, τυπτόμενοι ἐξοριζέσθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἐπὶ κλοπῇ ἁλῶσι, χειροκοπείσθωσαν[1].

156. *Ἐάν τις ἀνάρχως δίκην ἔχων μετά τινος κόψῃ ἄμπελον ἢ ἄλλο τὸ οἱονοῦν δένδρον, χειροκοπείσθω*[2].

157. *Ἐὰν δοῦλος ἢ δούλη ἀγνοίᾳ τοῦ δεσπότου ἀλλότριον ὅρον δόλῳ ἀποκινήσῃ, κεφαλικῶς τιμωρείσθω*[3].

158. *Ὁ τοῦ κλέπτου δούλου δεσπότης ἢ τὸ ἀζήμιον τῷ τὴν κλοπὴν ὑποστάντι περιποιεῖται, ἢ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν δοῦλον εἰς τελείαν δεσποτείαν παραδίδωσι τῷ τὴν κλοπὴν ὑποστάντι*[4].

159. *Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες, ἅπαξ μὲν τοῦτο ποιοῦντες, τυπτέσθωσαν· ἐκ δευτέρου δὲ διαπραττόμενοι, ἐξοριζέσθωσαν· εἰ δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦτο κατατολμῶντες, χειροκοπείσθωσαν· τῆς ἀγέλης δηλονότι τῆς ἀπελαθείσης τῇ ἰδίᾳ δεσποτείᾳ παρ᾽ αὐτῶν ἀποκαθισταμένης*[5].

160. *Στρατιώτης ἁλοὺς ἐπὶ μοιχείᾳ καὶ καταδικασθεὶς ἀτιμοῦται τοσοῦτον, ὅτι ἡ περὶ μοιχείας ἀπόφανσις παύει αὐτὸν παραχρῆμα τῆς στρατείας*[6].

161. *Ὁ τῷ περὶ μοιχείας ἐγκλήματι ἢ ἑτέρῳ καταδικασθεὶς οὐ δύναται εἶναι στρατιώτης*[7].

162. *Οἱ παραχαράκται χειροκοπείσθωσαν*[8].

163. *Τοῖς ἀποκινηθεῖσιν ἐπὶ ἀτιμίᾳ στρατιώταις οὐκ ἔξεστι διάγειν οὔτε ἐν ῥώμῃ οὔτε ἔνθα ὁ βασιλεὺς διατρίβει. ὑποψία γάρ ἐστι περὶ αὐτοῦ, ἐπειδὴ στρατιώτης ἐστὶ, μήποτε διάγων ἐν ῥώμῃ βουλεύσηταί τι κατὰ βασιλέως, ἢ πολλάκις μακρόθεν ἱστάμενος καὶ τρώσας θανάτῳ παραδώσει τὸν βασιλέα τὸν ἀποστρατεύσαντα αὐτόν*[9].

164. *Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει. οἱ τυμβωρυχοῦντες καὶ γυμνοῦντες τὰ τῶν τελευτώντων σώματα, εἰ μὲν μεθ᾽ ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλων*[10].

---

[1] Proch. h. t 54. [2] Leges rust. VII, 3. [3] Dig. XLVII, 21, 3 §. 1. [4] Proch. h. t 55. [5] Proch. h. t. 56. [6] Bas. XXI, 2, 2 sch. 9. [7] Bas. ibid. [8] Ecl. XVII, 18. [9] Bas. l. l. sch. 10. 11. [10] Att. XXXV, 59. 60.

165. Ἐὰν ἀπὸ τάφου τὶς ἀφέληται λίθους ἢ κίονας ἢ μάρμαρα ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι λίτρας χρυσίου τῷ δημοσίῳ καταβαλλέτω. ἡ δὲ τιμωρία προστίθεται τῇ παλαιᾷ κολάσει. κατέχονται δὲ αὐτῇ καὶ οἱ τὰ σώματα ψηλαφῶντες. οὐ μόνον δὲ οἱ ἀπὸ τῶν τάφων, τουτέστιν ἐν ᾧ τὸ σῶμα ὑπόκειται, ἀλλὰ καὶ οἱ ἀπὸ σωροῦ ἤγουν ἀπὸ οἰκοδομήματος τοῦ ἐπικειμένου τῷ τάφῳ καὶ τοὺς κόσμους τοὺς τῷ τρικλίνῳ ἀφορισθέντας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι[1].

166. Ἐὰν ὁ τοῦ τόπου δεσπότης παρὰ κέλευσιν ἀρχιερέως ἢ βασιλέως ἐκβάλῃ τὸν ἐξ ἄλλου ταφέντα ἢ τὰ τεθέντα ὀστέα, τῇ περὶ ὕβρεως ἀγωγῇ ἐνάγεται[2].

167. Ἔξεστιν ἐξ εὐλόγου αἰτίας προσιέναι τῷ ἄρχοντι, καὶ μεταφέρειν ἐκεῖθεν εἰς ἕτερον τόπον τὸ ἀποκείμενον λείψανον παρενοχλούμενον[3].

168. Μηδεὶς ἀνθρώπινον σῶμα χωρὶς κελεύσεως βασιλικῆς μεταφερέτω εἰς ἕτερον τόπον[4].

169. Ἡ ποινὴ τοῦ δεπεκουλάτους περιορισμός ἐστι, καὶ ἐπάγει πάσης τῆς προτέρας καταστάσεως ἐναλλαγὴν, καὶ ἀπώλειαν τῆς οὐσίας[5].

170. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ ιβ' ἀλλακτῶν σωφρονιζέσθω· καὶ ὁ μὴ ἔχων, τῇ αὐτῇ δὲ ὑποπίπτων ἁμαρτίᾳ, διὰ ρ' ἀλλακτῶν σωφρονιζέσθω[6].

171. Ὁ γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω, ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ τὴν ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν πορνεύων δούλην, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης ὑπέρπυρα λϛ'. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθόσον εὐπορεῖ, κατὰ ἀναλογίαν τῶν λϛ' ὑπερπύρων παρεχέτω[7].

172. Οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην χριστοῦ ἐκκλησίαν ἐνυβρίζοντες, ῥινοκοπείσθωσαν σὺν αὐταῖς[8].

173. Ὁ τὴν ἰδίαν σύντεκνον ἢ ὀνόματι γάμου ἀγαγόμενος ἢ καὶ ἄλλως σαρκικῶς συμπλεκόμενος, ἅμα αὐτῇ ῥινοκοπεί-

[1] Att. cit. 61. 62. [2] Bals ad Phot. IX, 27. [3] Bals. cit. [4] Bals. cit. [5] Att. XXXV, 172. [6] Proch. h. t. 59. [7] Proch. h. t. 60. 61. [8] Proch. h. t. 62.

σθω, δηλονότι πρότερον ἀπ᾽ ἀλλήλων διϊστάμενοι. εἰ μέντοι εἰς ὕπανδρον σύντεκνον τοῦτο διαπράττοιτο, ἡ μὲν ποινὴ ὡσαύτως προβήσεται, πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν[1].

174. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ, καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω. ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν[2].

175. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων, ἢ ἑκατέρου προσώπου, οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς εἴη ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[3].

176. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ[4].

177. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἢ πρὸ τοῦ ιγ′ ἔτους ῥινοκοπείσθω, καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ κόρῃ[5].

178. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως, μετὰ ταύτην τὴν ποτνὴν καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ[6].

179. Δύο γαμετὰς οὐδεὶς δύναται ἔχειν. διὸ ὁ τοῦτο τολμῶν ποιεῖν τυπτέσθω, ἐκδιωκομένης τῆς ἐπεισάκτου μετὰ τῶν ὡς εἰκὸς ἐξ αὐτῆς τεχθέντων παίδων[7].

180. Οἱ αἱμομῖκται εἴτε γονεῖς πρὸς τέκνα εἴτε τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς ξίφει τιμωρείσθωσαν. οἱ δὲ κατ᾽ ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν ἢ εἰς δύο ἀδελφὰς ἢ [εἰς] μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα, οἱ τοιοῦτοι τυπτόμενοι ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς αὐτοὶ συνεφθάρησαν[8].

181. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ ἀλλὰ φάκτῳ προαιρέσεως, καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα. ἡ

[1] Proch. h. t. 63. [2] Proch. h. t. 64. [3] Proch. h. t. 65. [4] Proch. h. t. 66. [5] Proch. h. t. 67. [6] Proch. h. t. 68. [7] Epan. XL, 63. [8] Proch. h. t. 69.

δὲ ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν γαμετήν, συγγνωσθήσεται· γινώσκουσα δὲ ὡς μοιχαλὶς τιμωρεῖται[1].

182. Ἐὰν γυνὴ ἔγκυος γένηται, καὶ ἐπιβουλεύσῃ τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω[2].

183. Οἱ διδόντες ποτὸν διὰ τὸ ἐκτρῶσαι ἢ διὰ φίλτρον, εἰ καὶ μὴ διά τινα δόλον παράσχωσιν, ἐπειδὴ ὅλως κακοῦ παραδείγματός ἐστι τὸ γεγονὸς, εἰ μὲν εὐτελεῖς ὦσι, μεταλλίζονται· εἰ δὲ τιμιώτεροι, μετὰ μερικῆς δημεύσεως ῥελεγατεύονται. εἰ μέντοι ἐκ τοῦ διδομένου ποτοῦ τελευτήσει ὁ ἀνὴρ ἢ ἡ γυνὴ, τότε τῇ ἐσχάτῃ καθυποβάλλονται τιμωρίᾳ οἱ τὸν ποτὸν δεδωκότες[3].

184. Ἀπὸ δόγματος συγκλήτου ἐκελεύσθη γυνή τις ῥελεγατευθῆναι, ἥτις οὐκ ἐπὶ κακῷ μὲν, παράδειγμα δὲ κακὸν ὑποτιθεμένη δέδωκε γυναικί τινι φάρμακον ἐπὶ τὸ συλλαβεῖν, ἐξ οὗ φαρμάκου ἐτελεύτησεν ἡ γυνή[4].

185. Τὴν ἐπιβαλοῦσαν χεῖρα τῇ γαστρὶ καὶ ἀμβλώσασαν ὀφείλει μετὰ τοὺς ἐλέγχους ἐξορίζειν ὁ τῆς ἐπαρχίας ἡγούμενος[5].

186. Καὶ ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα κεφαλικῶς τιμωρεῖται· ἡ δὲ μετὰ [δια]ζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα προσκαίρως ἐξορίζεται[6].

187. Ὁ ἀνὴρ καὶ μετὰ τὴν διάλυσιν τῆς ἑαυτοῦ γυναικὸς ἐχθρὸς αὐτῆς ἐστιν[7].

188. Ὁ πόμα δεδωκὼς πρὸς φίλτρον ἢ ἀμβλωθρίδιον εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως· ἐσχάτη δὲ τιμωρία ἐπάγεται, ἐάν τις ἐκ τούτου τελευτήσῃ, κἂν χωρὶς δόλου τὸ ἀμβλωθρίδιον δέδωκεν[8].

189. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς ἢ ἀνεψιὸς εἰς τὴν τοῦ θείου γυναῖκα ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα ἢ θεῖος εἰς τὴν τοῦ ἀνεψιοῦ γυναῖκα πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν[9].

190. Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ πάσχων, ξίφει τιμωρείσθωσαν· εἰ μὴ ἄρα ὁ πεπονθὼς ἔλαττον ᾖ τῶν ιβ' χρόνων. τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας αὐτοῦ τοιαύτης αὐτὸν ἀπαλλάττει ποινῆς[10].

---

[1] Proch. h. t. 70. [2] Proch. h. t. 71. [3] Dig. XLVIII, 19, 38 §. 5. [4] Dig. XLVIII, 8, 3 §. 2. [5] Dig. XLVIII, 8, 8. [6] Phot. XIII, 10. [7] Non invenio. [8] Phot XIII, 10. [9] Proch. h. t. 72. [10] Proch. h. t. 73.

191. *Οἱ ἀλογευόμενοι ἤγουν οἱ κτηνοβάται καυλοκοπείσθωσαν*[1].

192. *Ὁ τὴν καλάμην τοῦ ἰδίου χωραφίου βουλόμενος καῦσαι ἐνέβαλε κατ᾽ αὐτῆς πῦρ, τὸ δὲ πῦρ ἀχθὲν τὰ ἀλλότρια κατέκαυσε χωράφια ἢ τὸν ἀλλότριον ἀμπελῶνα. δεῖ τὸν ἀκροατὴν ἐξετάζειν, καὶ εἰ μὲν ῥαθυμίᾳ ἢ ἀπειρίᾳ τοῦ ἀνάψαντος τὸ πῦρ ἀνῆψεν, εἰ μὴ παρεφυλάξατο δυνάμει τοῦ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας ὁ τοιοῦτος καὶ ῥαθυμήσας καταδικάζεται. εἰ δὲ πάντα μὲν ἐκεῖνος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαβέντα μετενώμησε τόπον, ἀνυπεύθυνος ὁ τὸ πῦρ ἀνάψας διατελεῖ, ὡς παρὰ γνώμην αὐτοῦ γενόμενον*[2].

193. *Ἐὰν ἀπό τινος τύχης οἶκος ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ συμπαρακείμενα ἐμπρήσῃ, οὐδὲν ὑπόκειται ὁ καταρχὰς ἐμπρησθείς. ὁ δὲ κατὰ δόλον καύσας οἶκόν τινος κεφαλικῶς τιμωρεῖται*[3].

194. *Ὁ οἰκίαν ἢ σωρὸν σίτου πλησιάζουσαν οἴκῳ καύσας ἐν εἰδήσει πυρίκαυστος γίνεται. εἰ δὲ ἔξω πόλεως τοῦτο διαπράξεται, χειροκοπείσθω. εἰ δὲ κατὰ ῥαθυμίαν συνέβη, εἰ μὲν ἰσχύει, τὴν ζημίαν ἀποθεραπεύει· εἰ δὲ μή, σωφρονίζεται μετρίως. οἰκία δὲ νοεῖται πᾶν εἶδος οἰκοδομήματος*[4].

195. *Οἱ ἐπίτηδες ἐν πόλει ποιοῦντες ἐμπρησμόν, εὐτελεῖς μὲν ὄντες, θηριομαχοῦσιν· ἔν τινι δὲ βαθμῷ ὄντες ἀποκεφαλίζονται*[5].

196. *Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱαδήποτε αἰτίᾳ δώσει ποτὸν, [εἴτε γυνὴ ἀνδρὶ] εἴτε ἀνὴρ γυναικὶ εἴτε δούλη δεσποίνῃ ἢ καὶ δούλη δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως. ἀσθενείᾳ περιπέσῃ ὁ τὸν ποτὸν ἐκπιὼν, καὶ συμβῇ ἐκ τούτου αὐτὸν καταῤῥεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω*[6].

197. *Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ ἐπὶ φιλίᾳ τῷ δοκεῖν ἀνθρώπων δημευόμενοι ἐξοριζέσθωσαν*[7].

198. *Οὔτε ἑπταέτης οὔτε μαινόμενος φονεύων ὑπόκειται τῷ θανάτῳ*[8].

199. *Ὁ μετὰ ξίφους πλήττων τινὰ, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω· εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσει, ὁ τὴν πληγὴν δεδωκὼς χειροκοπείσθω, ὅτι ὅλως δοῦναι μετὰ ξίφους ἐτόλμησεν*[9].

[1] Proch. h. t. 74. [2] Proch. h. t. 75. [3] Proch. h. t. 76. [4] Att. XXXV, 146. [5] Att. ib. 147. [6] Proch. h. t. 77. [7] Proch. h. t. 78. [8] Proch. h. t. 80. [9] Proch. h. t. 82.

200. *Μάχης μεταξύ τινων γενομένης, ἐὰν συμβῇ θάνατον προελθεῖν, τηρείτωσαν τὰ ὄργανα οἱ ἀκροαταὶ, δι᾽ ὧν ἐπράχθη ὁ θάνατος· καὶ εἰ εὕρωσι διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτισμάτων τὸν φόνον γεγενημένον, χειροκοπείσθωσαν· εἰ δὲ δι᾽ ἐλαφροτέρων τινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τυπτέτωσαν τοῦτον καὶ ἐξοριζέτωσαν*[1].

201. *Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς μόνης τύψῃ τὶς καὶ φονεύσῃ, τυπτόμενος ἐξοριζέσθω*[2].

202. *Ἐάν τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ, καὶ ἐκ τούτου συμβῇ ἐκεῖνον τελευτῆσαι, οὐ κατακρίνεται ὡς ἀνδροφόνος· εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν ἢ φαρμάκῳ ἀνεῖλειν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρεῖται*[3].

203. *Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται*[4].

205. *Ὥσπερ οἱ πατέρες δύνανται τοὺς ἑαυτῶν παῖδας πταίοντάς τι καὶ τὸν ἑαυτῶν βίον οὐκ ὀρθῶς μετιόντας ἐπιστρέφειν, οὕτω καὶ τοῖς συγγενέσιν ἐπιτρέπομεν σωφρονίζειν μεμετρημένως τὸν ἀφήλικα ἀτακτοῦντα καὶ διαβεβλημένως βιοῦντα. εἰ δὲ τραχύτερα εἴη τὰ πταίσματα καὶ αὐστηροτέρας δέονται διορθώσεως, τηνικαῦτα ἀρχικῆς ἀγανακτήσεως χώραν ἔχει τὸ πρᾶγμα*[5].

205. *Ὁ φόνον ἑκουσίως ποιήσας, οἵας ἂν εἴη ἡλικίας, ξίφει τιμωρείσθω. ὁ δὲ ἀκουσίως φονεύσας ἐξοριζέσθω*[6].

206. *Ὁ ῥίψας ἑαυτὸν ἐκ τοῦ τείχους καὶ φονεύσας τὸν εὑρεθέντα κάτωθεν οὐ κρίνεται φονεύς*[7].

207. *Ὁ φόνος ἀπὸ τῆς διαθέσεως σκοπεῖται, εἰ σκοπὸν ἔσχε φονεῦσαι. ὅθεν ἔστιν εὑρεῖν, ὅτι ὁ πλήξας μὲν, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται· καὶ ὁ φονεύσας οὐ τιμωρεῖται ὡς φονεὺς, εἰ μόνον ἠθέλησεν πλῆξαι*[8].

208. *Ἡ δὲ τοιαύτη διάθεσις σκοπεῖται ἀπὸ τοῦ πλήξαντος ὀργάνου. καὶ ἐστὶν ἐπὶ μὲν ἑκουσίου φόνου ἤγουν τοῦ ἐντίμου φονεύσαντος δεπορτάτον καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν τὸ ξίφει καὶ θηρίοις παραδοθῆναι· ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἤγουν ἀμέλειαν φονεύοντος πενταετὴς ἐξορία. καὶ τὸ παρασχεῖν αἰτίαν φόνου οὐδὲν διαφέρει τοῦ φονεῦσαι. καὶ ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρίνεται*[9].

---

[1] Proch. h. t. 83. [2] Proch. h. t. 84. [3] Proch. h. t. 85. [4] Proch. h. t. 81. [5] Att. XXXV, 247. [6] Proch. h. t. 79. 86. [7] Att. XXXV, 144. [8] Phot. IX, 26. [9] Phot. l. l.

209. Ὁ τὸ νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται[1].

210. Φονεύει τὸ τικτόμενον οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔσχεν[2].

211. Ἀλλὰ καὶ οἱ ῥίπτοντες τὰ βρέφη εἰς τὰ πρόθυρα τῶν ἐκκλησιῶν ὡς φονεῖς λογίζονται, κἂν παρ᾽ ἄλλων ζωογονῶνται[3].

212. Ἀκινδύνως τὶς φονεύει τὸν βιαζόμενον αὐτὸν, ἢ τοὺς αὐτῷ πρὸς ἀσέλγειαν ἐπιβουλεύοντας[4].

213. Ὁ ποιῶν θυσίας ἀπηγορευμένας τῷ περὶ φονέων νόμῳ ὑπόκειται[5].

214. Ἐάν τις εἰς ἄῤῥενα ἁμάρτῃ, καὶ ὁ ἁμαρτήσας καὶ ὁ ἁμαρτηθεὶς ξίφει ἀποτεμνέσθωσαν[6].

215. Οἱ φαρμακοὶ ἀξιωματικοὶ ὄντες δεπορτατεύονται· οἱ δὲ λοιποὶ εἰς κεφαλὴν τιμωροῦνται[7].

216. Ὁ ποιῶν φάρμακον διὰ τὸ φονεῦσαι ἄνθρωπον ἢ πιπράσκων ἢ ἔχων ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ. καὶ οἱ τὰ φίλτρα ποιοῦντες δημεύονται καὶ ἐξορίζονται. εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσει γυναικὶ συλληπτικὸν καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται[8].

217. Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τὴν ἰδίαν ζωὴν ἐκινδύνευεν, ἀνεύθυνός ἐστιν[9].

218. Ἡ ποινὴ ἡ κατὰ τῶν ἀνδροφόνων ἐπὶ μὲν τῶν ἐντίμων περιορισμός ἐστι καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν ξίφει καὶ θηρίοις ὑποβληθῆναι[10].

219. Τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται καὶ ὁ διὰ φόνον ἢ κλοπὴν μεθ᾽ ὅπλων περιϊὼν, καὶ ὁ ἀρχῆς ἢ δημοσίου δικαστηρίου προεστὼς καὶ σπουδάσας πλαστῶς κατηγορηθῆναί τινα καὶ ἀναιτίως καταδικασθῆναι[11]. καὶ ἡ τὰ ἀμβλωθρίδια διδοῦσα φάρμακα καὶ ἡ δεχομένη τὰ ἐμβρυοκτόνα δηλητήρια καὶ ὁ πημέντα προπετῶς διδοὺς φάρμακον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ βούβρωστιν ἢ μανδραγόραν ἢ κανθαρίδα[12].

220. Ἡ δὲ νεαρὰ τοῦ βασιλέως κυροῦ Βασιλείου πάντας τοὺς φόνον ποιήσαντας ἐκ μελέτης καὶ προβουλίου, ὁποίας ἂν καὶ εἶεν ἀξίας, ἀποθνήσκειν ἐθέσπισεν[13].

---

[1] Proch. h. t. 12. [2] Bals. ad c. 33 Basilii. [3] Bals. cit. [4] Att. XXXV, 140. [5] Phot. IX, 25. [6] Cod. IX, 9, 31. [7] Phot. IX, 25. [8] Phot. cit. [9] Proch. h. t. 39. [10] Att. XXXV, 142. [11] Att. cit. 141. [12] Phot. IX, 25. [13] Att. XXXV, 142.

221. Ἡ δὲ νεαρὰ τοῦ πορφυρογεννήτου βασιλέως κυροῦ κωνσταντίνου φησὶ περὶ τῶν φονευόντων καὶ προσφευγόντων τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἵνα ὁ ἑκουσίως φόνον ποιήσας κατὰ τὸ αὐτόματον καὶ θερμότητα καὶ ὀργὴν καὶ προσφυγὼν, μετὰ τὴν ἐπιτίμησιν τὴν ἐκκλησιαστικὴν καὶ τῆς οἰκείας ἔκπτωσιν [περιουσίας] ὑπομείνῃ, οὐ τῷ δημοσίῳ προσκυρουμένης, ἀλλ᾽ εἰ μὲν ὕπεστι γαμετὴ τήν τε προῖκα καὶ κέρδη πάντα τὰ οἰκεῖα λαμβάνειν [παίδων μὴ ὄντων·] εἰ δὲ ὕπεισι καὶ παῖδες τὴν χρῆσιν ἔχειν τῶν γαμικῶν κερδῶν, τῶν παίδων ἐκ τῆς ἄλλης περιουσίας τὸ τρίτον κληροδοτουμένων τοῦ ἀνδρός. καὶ ὁ φονεὺς εἰ βούλεται μονάσαι, λαμβάνει τὸ μοναστήριον τὸ τρίτον μέρος τῆς ἐκείνου περιουσίας, τῇ γυναικὶ καὶ τοῖς τέκνοις τοῦ τελευτήσαντος φυλαττομένου τοῦ λοιποῦ τρίτου μέρους· εἰ δὲ μὴ ὕπεισι παῖδες τῇ γυναικὶ, καὶ τοῖς ἀνιοῦσι τὸ τρίτον διαιρεῖται. γυναικὸς δὲ τὸν βίον προεξελθούσης καὶ παίδων ὄντων, τούτους φησὶ προτιμᾶσθαι τῶν ἀνιόντων. εἰ δὲ μήτε γυνὴ, μήτε παῖδες μήτε ἀνιόντες εἰσὶ τῷ ἀναιρεθέντι, τὸ τρίτον λαμβάνειν τοὺς ἄλλους ἐκ νόμων καλουμένους. εἰ δὲ [μὴ] προσέλθῃ πρὸς τὸν μονήρη βίον ὁ φονεὺς, οὐ τὸ τρίτον ἀλλὰ τὸ δίμοιρον τῆς ἐλευθέρας περιουσίας αὐτοῦ κατὰ τὴν εἰρημένην διάταξιν τὸ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρος, πρὸς τούτοις εἶναι αὐτὸν ἄτιμον καὶ μηδέποτε τὴν οἱανοῦν ἀρχὴν ἢ πολιτικὴν ἢ στρατιωτικὴν μεταχειρίζεσθαι, ἀλλ᾽ ἀειφυγίᾳ καταδικάζεσθαι. εἰ δὲ ὁ φόνος ἐκ μελέτης καὶ προβουλίας γέγονε, πάντως αὐτὸν πρὸς τοῖς ἄλλοις ἐπιτιμίοις καὶ εἰς τὸν μονήρη [βίον] καταναγκάζεσθαι. οἱ δὲ τῆς στρατείας αὐτοῦ τόποι ἀλλαχοῦ, φησι, μὴ παραπεμπέσθωσαν, εἰ μὴ εἰς τοὺς αὐτοῦ κληρονόμους. εἰ δὲ μὴ ὕπεισιν οὗτοι, ὁ τοὺς τόπους ἀπολαμβάνων ὀφείλει καὶ τῇ στρατείᾳ ὑπηρετεῖσθαι[1].

222. Νεαρὰ τοῦ βασιλέως κυροῦ μανουὴλ. — Περὶ δὲ φόνων ἑκουσίων ἐξεφωνήθη νεαρὰ κατὰ τὸν ἀπρίλιον μῆνα τῆς ιδ´ ἐπινεμήσεως τοῦ κρατίστου ἁγίου αὐτοκράτορος κυροῦ μανουὴλ τοῦ κομνηνοῦ καὶ ἔχε ταύτην ἐπὶ μνήμης οὕτω μετὰ τὸ προοίμιον διαλαμβάνουσαν· παρακελεύεται οὖν ἅπασι τοῖς ἐν θέμασι διαιτηταῖς, καὶ ταῖς ἐν αὐτοῖς οὔσαις στρατιωτικαῖς δυνάμεσι καὶ τοῖς τούτων στρατηγοῖς, ἔνθαπερ ἂν ἑκού-

---

[1] Attal. in Append. I, 12.

σιος φόνος γένηται καὶ τολμηθῇ τοιοῦτόν τι παράνομον, αὐτίκα πάντας διεγείρεσθαι πρὸς τὴν τοῦ φονέως κατάσχεσιν, καὶ δέσμιον αὐτὸν ἀποστέλλειν πρὸς τὴν βασίλειον περιωπὴν, ἢ ταύτης ἀπούσης πρὸς τὸν ἔπαρχον τῆς θεοφυλάκτου μεγαλοπόλεως, ὥστε εἰς δημοσίαν φυλακὴν εἰσάγεσθαι, καὶ τὰς σωματικὰς καὶ οὐσιακὰς κατά τε τοὺς νόμους καὶ τὴν τῶν νεαρῶν θεσπισμάτων δύναμιν καὶ ἑτέρας ὑποστῆναι κολάσεις· εἰδότων τούτων ἁπάντων, ὡς εἴ τις φωραθείη δυνάμενος κατασχεῖν τὸν φονέα καὶ μὴ τοῦτο ποιήσας, οὕτω μέλλει κατακριθῆναι ὡς κατὰ βασιλέως βουλευσάμενος. εἰ δ᾽ ἴσως διαλάθῃ τὶς καὶ προσφύγῃ τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, μετὰ τὸ προβῆναι τὰ ἐκκλησιαστικὰ ἐπ᾽ αὐτῷ ἐπιτίμια, κατὰ τὴν νομικὴν παρατήρησιν ἐνδημοῦντος μὲν τοῦ κρατοῦντος τῇ βασιλευούσῃ τῶν πόλεων, παρ᾽ αὐτοῦ ἀποσταλήσεται εἰς τὸ θέμα ὃ ἂν ἐπικρίνῃ, ὥστε τὸν χρόνον τῆς ὅλης αὐτοῦ ζωῆς ἐκεῖσε διαβιβάζειν, καὶ μὴ ἐκεῖθεν ἀποδιδράσκειν, ὥστε ἐπανατρέχειν ἔνθα τὸ τοῦ φόνου μῦσος εἰργάσατο· ἀποδημοῦντος δὲ ἴσως τοῦ βασιλέως παρὰ τοῦ ἐπάρχου (ὡς εἴρηται) εἴς τινα τῶν ποῤῥωτέρω χωρῶν ἐξορισθήσεται καὶ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκεῖσε διανύσει. ἐὰν δέ γε μὴ μόνον ἑκουσίως, ἀλλὰ καὶ ἐκ μελέτης τὸν φόνον εἰργάσατο, οὐκ ἀναγκασθήσεται κατὰ τὴν προτέραν βασιλικὴν διάταξιν ἀποκαρῆναι. εἰ γὰρ τὸν ἑκουσίως τῇ ἀποκάρσει προστρέχοντα οὐκ ἀπεντεῦθεν ἡ κανονικὴ ἀκρίβεια εἰς εὐχὴν παραδέχεται, ἀλλὰ καιρὸν αὐτῷ τὸν ἀρκοῦντα ἐπιμετρήσασα καὶ δι᾽ αὐτοῦ τὸ τῆς γνώμης ἐκείνου βέβαιον εἴτε ἀπαγὲς βασανίσασα, εἴπερ εὑρήσει τὸν ἄνθρωπον τῇ ἐξ ἀρχῆς προσθέσει στοιχοῦντα καὶ τῷ μοναχικῷ πολιτεύματι καὶ τῇ νεκρώσει τοῦ σώματος ἀόκνως ἑαυτὸν παρασκευάζοντα, ἔκτοτε καὶ τὴν τοῦ ἀγαθοῦ ἔργου αὐτῷ προσεπιφέρει συμπλήρωσιν εἰς τὴν μοναχικὴν παραδεξαμένη πολιτείαν τε καὶ κατάστασιν· πῶς οὐκ ἂν εἴη ἄλογον καὶ τοῖς πνευματικοῖς νόμοις ἀπᾷδον, ἀναγκαστικῶς ἀποκείρεσθαί τινα, καὶ ταῦτα φονέα, ὃν μέχρι τοσούτου θεὸς ἐγκατέλιπεν, ὥστε καὶ ἀδελφικῷ χρανθῆναι τὰς χεῖρας αἵματι; δέος γὰρ, μήπως ἀκουσίῳ προαιρέσει τὸν ἀγγελικὸν βίον ὑπελθὼν καὶ βίᾳ τοῦτον καταδεξάμενος, εἰς ἐμπαιγμὸν τῷ φρικώδει χρήσηται σχήματι· πεφύκασι γὰρ οἱ τῶν ἀνθρώπων κουφότεροι εἰς ἀπόνοιαν ἐμπεσόντες, καὶ ταῖς χειρίσταις καὶ παραβολωτέραις ἐπιτολμᾷν πράξεσιν. ἀντὶ τοίνυν τῆς ἀποκάρσεως νομοθετεῖ ἡ βασιλεία μου, τὸν πεπλημμεληκότα φόνον μεμελετημένον ἑκούσιον ἐν

φυλακῇ παρ᾽ ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ διάγειν, καὶ μηδέποτε ἐκεῖθεν ἐξάγεσθαι, μηδ᾽ ἀπὸ βασιλικῆς ἴσως προστάξεως κατὰ λήθην πορίζομένης· ἐπὶ δὲ ταῖς περιουσίαις αὐτῶν γίνεσθαι, καθὼς ὁ προμνημονευθεὶς διετάξατο. ἐπεὶ δὲ οἱ πλείους τῶν φονέων ἐκ μελέτης καὶ διασκέψεως τοὺς φόνους κατεργαζόμενοι, ἔπειτα τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσελθόντες, οὐχ ὡς γέγονε παρ᾽ αὐτῶν ὁ φόνος, ἀλλὰ πρὸς τὸ οἰκεῖον συμφέρον ποιοῦνται τὴν ἐξομολόγησιν τὴν ἀλήθειαν παρακρύπτοντες· παρακελεύεται ἡ βασιλεία μου γραφὴν γίνεσθαι τοῦ κατὰ καιροὺς ἁγιωτάτου πατριάρχου μετ᾽ ἐπιτιμίου πρὸς τὸν κατὰ τὴν χώραν ἀρχιερέα καὶ τὸν ὑπ᾽ αὐτὸν κλῆρον, ἀλλὰ μὴν καὶ τὸν τοῦ θέματος διαιτητὴν, καὶ καθὼς ἂν μάθοι γενέσθαι τὸν φόνον ἀπὸ τῆς ἐκείνων ἀντιγραφῆς, οὕτω ποιεῖσθαι καὶ τὴν ἐπεξέλευσιν· καὶ μὴ τὸν ἐκ μελέτης φονεύοντα διὰ τὴν ψευδῆ αὐτοῦ ἐξαγορείαν τὰς τοῦ κατὰ τύχην καὶ ἀπροόπτως τῷ τοιούτῳ περιπεσόντος ἐγκλήματι δέχεσθαι ποινὰς καὶ τὰ ἐπιτίμια. εἴ τις μέντοι τῶν φονέων τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσφυγὼν, καὶ ἢ τῇ ἀειφυγίᾳ κατακριθεὶς ἢ δέσμιος εἶναι καὶ ἐν φυλακῇ ἐγκεκλεῖσθαι παρ᾽ ὅλην αὐτοῦ τὴν ζωὴν, εὑρέθη ἀναιτίως ἐμπεριπατῶν ἔνθα τὸν φόνον ἐτόλμησε, δέσμιος παρὰ τοῦ κατὰ χώραν πράκτορος ἀποσταλήσεται εἰς τὴν βασιλείαν μου· καὶ ὅσα δὲ τότε παρευρεθῶσιν αὐτοῦ πράγματα, εἰς κέρδος ἔσται τῷ πράκτορι καὶ τῷ τὸν φονέα καταμηνύσαντι ὡς παρ᾽ αὐτῶν μεριζόμενα. μελήσει δὲ πάντως καὶ τοῖς ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τῶν τοιούτων διαιτηταῖς, μετὰ τῆς προσηκούσης κανονικῆς αὐστηρίας τὰ φονικὰ κολάζειν ἐγκλήματα, καὶ μὴ τοὺς χρόνους ὡς ἔτυχε συντέμνειν, μηδὲ ἐφ᾽ οἷς οὐ χρὴ πλέον τοῦ εἰκότος φιλανθρωπεύεσθαι. ἴσα μέντοι τοῦ παρόντος διατάγματος τῆς βασιλείας μου, ὑπογραφέντα παρὰ τῶν προϊσταμένων τῶν δικαστηρίων, ἀποσταλέντα ταῖς κατὰ χώραν ἐκκλησίαις ἀποτεθήσεται· ὥστε πάντας εἴδησιν ἔχειν τῶν διωρισμένων, ὡς ἂν ποιῶσι κατὰ τὴν τούτων περίληψιν. εἴπερ μέντοι ὁ τὸν μεμελετημένον φόνον ἐργασάμενος ἑκουσίως ἕλοιτο τὴν ἀπόκαρσιν, οὐκ ἀδοκιμάστως τοῖς μοναχοῖς ἐγκαταλεγήσεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ ἐξετάσεως, τὸν ἀρκοῦντα χρόνον κατὰ τὰς κανονικὰς διατάξεις βασανιζόμενος. τῷ μέντοι μοναστηρίῳ καὶ ἄκων προσμένειν ἀναγκασθήσεται παρ᾽ ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, μηδέποτε τούτου ἐξέρχεσθαι συγχωρούμενος. πάντως δὲ τὸ μοναστήριον ἐν ἑτέρᾳ ἔσται ἐπαρ-

χία, καὶ οὐκ ἐν ἐκείνῃ τῇ γῇ, ἣ τὸ τοῦ θανόντος αἷμα χανοῦσα κακῶς ὑπεδέξατο[1].

223. Τοῦ φιλοσοφωτάτου βασιλέως κυροῦ λέοντος. — Εἴ τις ζημιώσει τινὰ ἐν τοῖς ὀφθαλμοῖς, εἰ μὲν τὸν ἕνα, καὶ αὐτὸς ζημιωθήτω τῷ ἑνὶ, τὴν ἴσην δίκην ὑπέχων· εἰ δὲ τοὺς δύο, ἐπεὶ οὐδὲν ὄφελος ἐὰν καὶ ὁ κακοῦργος τῶν δύο ὀφθαλμῶν στερηθῇ, κελεύομεν ἵνα τοῦ μὲν ἑνὸς ὀφθαλμοῦ στέρησιν ὑπομείνῃ ὁ κακοῦργος, ὡς ἂν εἰς σημεῖον ὑπάρχῃ τοῦ οἰκείου δράματος, ἀφαιρῆται δὲ καὶ δίμοιρον τῆς οὐσίας, διδόμενον εἰς παραμυθίαν τῷ ἐκτυφλωθέντι[2].

224. Οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ πραιδεῦσαι ἐοίκασι τοῖς λησταῖς· καὶ ἐὰν τοῦτο ποιῶσι μετὰ σιδήρου, καὶ πολλάκις καὶ ἐν ταῖς ὁδοῖς, εἰς κεφαλὴν τιμωροῦνται. οἱ δὲ λοιποὶ ἐξορίζονται ἢ περιορίζονται ἢ φουλκίζονται[3].

225. Οὐ χρὴ τὸν ἄρχοντα πείθεσθαι ταῖς τῶν δημοτῶν βοαῖς, ὅτε βούλονται ἢ τὸν ὑπεύθυνον ἀπολυθῆναι ἢ τὸν ἀνεύθυνον τιμωρηθῆναι. ἀλλὰ μηδὲ προχείρως ὁ ἄρχων τιμωρίαν κεφαλικὴν ἐκφερέτω, εἰ μὴ πρῶτον ὁ ἐναγόμενος διὰ τῆς οἰκείας ὁμολογίας ἢ διὰ τῆς τῶν μαρτύρων ἐρωτήσεως οὕτως ἐλεγχθῇ, ὥστε σχεδὸν μηδὲ ἑαυτῷ δύνασθαι ἐναντιοῦσθαι[4].

226. Περὶ πορνοβοσκῶν. — Κεφ. α' τί. λη' τοῦ ξ' βι. τῶν βασιλικῶν λέγον· ἐὰν πατὴρ θυγατέρα ἢ δεσπότης δούλην πορνοβοσκῇ, ἀπολυέτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν. προστίθησι δὲ τὸ κεφ. διὰ ἐπισκόπου καὶ τοῦ ἄρχοντος αὐτὰς βοηθεῖσθαι. καὶ ὅτι ἐὰν ἀνθίστανται πρὸς τοῦτο ὁ πατὴρ ἢ ὁ δεσπότης, δημεύονται καὶ ἐξορίζονται[5].

227. Καὶ τὸ β' κεφ. τοὺς μὲν εὐτελεῖς πορνοβοσκοὺς ὁμοίως τιμωρεῖ, τοὺς δὲ στρατείαν ἔχοντας δημεύεσθαι. τὸ μέντοι ιγ' κεφ. τοῦ αὐτοῦ τί. καὶ βι. ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος, μεγάλως κολάζεται τοὺς σὺν τέχνῃ καὶ δόλῳ καὶ ἀνάγκῃ τινὰς εἰς τὴν τοιαύτην ἀσέλγειαν ἔχοντας καὶ ἐμπορευομένους ταῦτα. ζήτει καὶ τὴν σα'[6] νεαρὰν τοῦ φιλοσόφου βασιλέως[7].

228. Περὶ τοῦ μὴ εἶναι ἰδιωτικὴν φυλακήν. — Κελεύομεν μὴ εἶναι ἰδιωτικὰς φυλακὰς, τοὺς δὲ τοῦτο πράττοντας ὑποκεῖσθαι καὶ ἐπιτιμίῳ καὶ ἐν τῇ δημοσίᾳ διάγειν φυ-

---

[1] Bals. ad c. 8. Basilii. [2] Att. in App. [3] Att. XXXV, 208. [4] Bas. LX, 51, 49. [5] Bals. ad c. 86 syn. Trull. [6] Lege να'. [7] Bals. l. l.

λακῇ τοσαύτας ἡμέρας, ὁσασδήποτ᾽ ἂν γέγονεν ὁ ἐγκλεισθεὶς ἐν τῇ γενομένῃ παρ᾽ αὐτοῦ φυλακῇ, ὁποίας ἂν εἴη τύχης ἢ ἀξίας. ἐκπίπτειν δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτῷ κατὰ τῶν ἐγκλεισθέντων προνοίᾳ τοῦ ἄρχοντος καὶ τοῦ ἐπισκόπου. εἰ δὲ ῥαθυμήσει ὁ ἄρχων, ὑφίσταται κίνδυνον καὶ περὶ τὴν οὐσίαν καὶ περὶ τὴν σωτηρίαν[1].

229. Γυνὴ μήτε ὑπὲρ χρηματικῆς αἰτίας μήτε ὑπὲρ δημοσίων χρεῶν εἰς φυλακὴν ἐμβαλλέσθω, ἢ ἀνδράσι παραδιδόσθω· ἀλλὰ κατὰ νόμους κρινέσθω ἐπὶ τῇ κινουμένῃ κατ᾽ αὐτῆς ὑποθέσει. εἰ ἐναπόκλειστος γένηται, ὁ ἄρχων, εἰ μὲν μείζων ἐστὶν, εἴκοσι χρυσίου λίτρας· εἰ δὲ ἥττων, δέκα ἀπαιτείσθω· καὶ οἱ ὑπουργήσαντες ταξεῶται ἐμβασάνως τιμωρείσθωσαν καὶ ἐξοριζέσθωσαν. εἰ δὲ βαρύ ἐστιν ἔγκλημα τὸ κατ᾽ αὐτῆς κινούμενον, εἰς μοναστήριον γυναικεῖον ἢ ἀσκητήριον παραδιδόσθω, καὶ ἀνδράσι μὴ καταπιστευέσθω, ἵνα μὴ ἐκ τῆς τοιαύτης αἰτίας ἡ σωφροσύνη αὐτῆς ἐνυβρίζηται[2].

230. Οἱ ἀποφυγόντες τὴν φυλακὴν εἴτε κλάσαντες αὐτὴν, ἢ τοῖς λοιποῖς συμπνεύσαντες, κεφαλικῶς κολάζονται. εἰ δὲ κατὰ ῥαθυμίαν τῶν φυλάκων ἀπέφυγον, μετριώτερον τιμωροῦνται[3].

231. Ἐὰν συμπνεύσαντες οἱ δέσμιοι ῥήξωσι τὰ δεσμὰ καὶ τὴν φυλακὴν καὶ ἀποφύγωσιν, εἴτε ἀνεύθυνοι ἦσαν, τιμωροῦνται· εἴτε ὑπεύθυνοι, πλέον κολάζονται, εἰ καὶ μὴ τὸ ἔγκλημα ἀπῄτει, ἐφ᾽ ᾧ συνεσχέθησαν. οἱ δὲ τὴν συσκευὴν διελέγξαντες ἀπολύονται[4].

232. Ὁ κατασχεθεὶς μὴ ἐπὶ πολὺν χρόνον μενέτω ἐν τῇ φυλακῇ. χρὴ γὰρ αὐτὸν ἢ συντόμως ἀπολυθῆναι ἢ συντόμως τιμωρηθῆναι. κελεύομεν οὖν τὸν ὑπομνηματογράφον, ἀφ᾽ οὗ ἐμβληθῇ τις ἐν τῇ φυλακῇ, καθ᾽ ἑκάστην ἡμέραν ἕως λ' ἡμερῶν προσφέρειν τῷ ἄρχοντι τὴν γνῶσιν τῶν ἐγκεκλεισμένων, ἐν ᾗ δεῖ περιέχεσθαι καὶ τὴν ποιότητα τῶν ἁμαρτημάτων. εἰ δὲ μὴ ταῦτα γένηται, ἡ μὲν τάξις κ' λίτραις χρυσίου προστιμηθήσεται, ὁ δὲ ἄρχων ἐκπίπτων τῆς ἀξίας ι' χρυσίου λίτρας τοῖς ἡμετέροις εἰσάξει θησαυροῖς[5].

233. Οὐδένα χρὴ ἐμβάλλεσθαι ἐν φυλακῇ χωρὶς κελεύσεως τῶν μεγάλων ἀρχόντων τῆς βασιλίδος πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις χωρὶς τῆς ταύτας ἰθυνόντων ἢ τῶν κατὰ τόπους ἐκδίκων.

---

[1] Basil. LX, 35, 2. [2] Att. XXXV, 240. [3] Basil. LX, 35, 4. — Caeterum §§. 230—234 in aliis desunt. [4] Basil. ib. 13. [5] Basil. ib. 21.

χρὴ δὲ τὸν ἐπίσκοπον κατὰ τετράδα καὶ παρασκευὴν ἐπισκέπτεσθαι διατί ἐνεβλήθησαν. καὶ εἰ μὲν δοῦλοί εἰσιν, εἴσω κ΄ ἡμερῶν ἐκβάλλεσθαι αὐτοὺς ἢ σωφρονιζομένους ἢ τοῖς δεσπόταις παραδιδομένους, ἢ ἐὰν μὴ φαίνηται ὁ δεσπότης ἀπολύειν αὐτούς. εἰ δὲ ἐλεύθεροί εἰσιν ἐπὶ ἀταξίᾳ κατεχόμενοι, παραχρῆμα κρίνειν αὐτοὺς, ἢ ἐὰν περὶ ἀλλοίας δήποτε αἰτίας, παρασχεῖν αὐτοὺς ἐγγύας. εἰ δὲ μὴ ἔχουσιν ἐγγυητὰς, εἰ μὲν ἐγκλήματι κατέχονται χωρὶς φόνου, ἐν τάχει αὐτοὺς κρίνεσθαι· εἰ δὲ κεφαλικόν ἐστι τὸ ἔγκλημα, εἴσω λ΄ ἡμερῶν· ἐὰν δὲ χρεία πλείονος ὑπερθέσεως, μηδαμοῦ παρέχοντος αἰτίαν τοῦ ἐγκεκλεισμένου, δοθῆναι αὐτὸν ἐπὶ ἐξωμοσίᾳ, ἵνα ἡ ψῆφος γένηται κατ᾽ αὐτοῦ ἐὰν ἀπολειφθῇ. εἰ δὲ φόνου ἐστὶν, εἰ μὲν ἀπὸ ἀναφορᾶς[1] δημοσιευόντων, εἴσω ς΄ μηνῶν κρίνεσθαι, εἰδότων τῶν δημοσιευόντων, ὅτι ἐὰν ψεύσωνται τῇ αὐτῇ ὑποκείσονται τιμωρίᾳ. εἰ δέ τις ἐγγραψάμενος αἴτιος ἐγένετο τῆς ἐνοχῆς, δίδοσθαι αὐτὸν ὑπὸ ἐγγύας, ἢ ἐὰν μὴ εὐπορῇ ἐγγυητῶν μεῖναι μὲν ἐν τῷ δεσμωτηρίῳ, τέμνεσθαι δὲ τὴν δίκην ἐντὸς ἐνιαυτοῦ. προλήψεως δὲ περὶ αὐτοῦ γενομένης ὡς ὑπευθύνου, εἶναι αὐτὸν ἐν τῇ φρουρᾷ, ἕως ὅτε περαιωθῇ ἡ δίκη. εἰ δὲ ἤδη ψῆφος γέγονε περὶ τῶν ἐγκεκλεισμένων, ἐκβιβάζεσθαι αὐτὴν, εἴτε σωματική ἐστιν εἴτε χρηματική[2].

234. Μὴ ἐν οἱᾳδήποτε πόλει μήτε ἐν ἀγροῖς ἔστωσαν ἰδιωτικαὶ φυλακαὶ ἢ ἐν οἴκοις. ἀλλὰ φροντιζέτωσαν τούτου καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἐὰν δὲ ῥᾳθυμήσωσιν, ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ οἱ πρῶτοι δὲ τῆς τάξεως τῷ αὐτῷ ἐγκλήματι ἐνεχέσθωσαν, εἰ μὴ εὐθέως ἅμα ἔγνωσαν ἀνήγαγον τῷ ἄρχοντι. καὶ αὐτοὶ δὲ οἱ ἡμαρτηκότες ὑποκείσθωσαν τῷ περὶ καθοσιώσεως δικαστηρίῳ[3].

235. *Περὶ εὐνουχιζόντων.* — Ὁ πολιτικὸς νόμος τοὺς ἑαυτοὺς ἢ ἑτέρους εὐνουχίζοντας διαφόρως τιμωρεῖται, ποτὲ μὲν κεφαλικῶς ποτὲ δὲ δημεύσει καὶ ἐξορίᾳ ποτὲ δὲ ταυτοπαθείᾳ. καθόλου γὰρ ἐν τῇ πολιτείᾳ ἡμῶν οὐδένα συγχωρεῖ εὐνουχίζεσθαι, ἀλλὰ παρὰ βαρβάροις μόνους βαρβάρους. εἰ δέ τις παρ᾽ ἡμῖν εὐνουχισθῇ, ἐλευθεροῦται εἴπερ ἦν δοῦλος, κἂν διὰ νόσον εὐνουχισθῇ. ὡς βι. δ΄ τοῦ κῶδ. τί. μβ΄ διατ. β΄ καὶ βι. μη΄ τί. η΄ διατ. γ΄. ε΄. ς΄. ια΄ καὶ ἐν τῷ περὶ τῶν εὐνουχιζόντων τῆς ρμβ΄ νεαρᾶς θεσπίσματι[4].

---

[1] Cod. νεαρᾶς. [2] Bas. cit. 22. [3] Bas. LX, 55, 1. [4] Phot. I, 14.

236. Ἡ α' βαὶ β' διάτ. τοῦ μβ' τοῦ δ' βι. τοῦ κώδ. ἐτέθησαν ἐν βι. τῶν βασιλικῶν ιθ' τί. α' κεφ. πζ', ὃ καὶ ἔχει οὕτως· ἡ διάταξις κελεύει ὥστε μηδένα ῥωμαῖον εὐνουχίζεσθαι, μηδὲ ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους ἀγοράζειν μηδένα τῶν εὐνουχισθέντων ῥωμαίων. ἀλλὰ καὶ τὸν εὐνουχίσαντα καὶ αὐτὸν τὸν ἀγοράσαντα καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα αὐτοῦ τὸ συμβόλαιον καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τὶ ὑπὲρ τούτου τιμωρεῖσθαι. τὰ δὲ βάρβαρα ἀνδράποδα τὰ εὐνουχιζόμενα ἔξωθεν τοῦ ῥωμαϊκοῦ ἐδάφους ἔξεστι πᾶσι τοῖς ἐμπόροις καὶ ἀγοράζειν καὶ πιπράσκειν. ἀνάγνωθι καὶ νεαρὰν μβ' τοῦ ἰουστινιανοῦ, ἥτις καὶ ἔχει οὕτως· θεσπίζομεν τοὺς ἐν οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας εὐνουχίζειν τολμῶντας ἢ τολμήσοντας οἱονδήποτε πρόσωπον, εἰ μὲν ἄνδρες εἶεν οἱ τοῦτο τολμήσαντες ἢ καὶ τολμῶντες, ταὐτὸ τοῦτο παθεῖν, ὃ πεποιήκασι, καὶ εἰ περισωθεῖεν, τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι διὰ τοῦ κατὰ καιρὸν τὴν ἐνδοξοτάτην ἀνύοντος ἀρχὴν, κἀκείνους ἐν γύψῳ πέμπεσθαι, ὀφείλοντας τὸν ἅπαντα τῆς ζωῆς χρόνον ἐκεῖ εἶναι. εἰ δὲ γυναῖκες εἶεν αἱ τοῦτο ποιήσασαι, καὶ ταύτας τιμωρεῖσθαι, καὶ τὰ πράγματα αὐτῶν διὰ τοῦ κατὰ καιρὸν τὴν αὐτὴν ἀνύοντος ἀρχὴν τῷ δημοσίῳ προσκυροῦσθαι, καὶ εἰς ἐξορίαν πέμπεσθαι· ἵνα ἐξ ἧς ἐνόμισαν ἢ ἐνόησαν ἀσεβείας κέρδος ἑαυταῖς περιποιεῖν, ἐξ αὐτῆς τιμωρίαν καὶ ἔκπτωσιν τῶν ἰδίων πραγμάτων ὑποστῶσι. τοὺς μέντοι ἐπιτάξαντας καὶ ἐπὶ τούτῳ πρόσωπα παραδεδωκότας, ἢ καὶ οἴκους ἢ τόπον τινὰ ἐπὶ τούτῳ παρασχομένους εἴτε παρέχοντας, εἴτε ἄνδρες εἶεν εἴτε γυναῖκες, τὰς αὐτὰς κελεύομεν ὑποστῆναι τιμωρίας, ὡς συνίστορας γενομένους τῆς ἀδίκου ταύτης πράξεως. αὐτοὺς δὲ τοὺς εὐνουχισθέντας ἐχρῆν μὲν ἀπὸ παλαιοτέρων χρόνων· πλὴν κελεύομεν, τοὺς ἀπὸ τῆς δεκάτης ἐπινεμήσεως τοῦ νῦν ἐπελθόντος κύκλου εὐνουχισθέντας παρ' οὑτινοσοῦν ἐν τόποις τῆς ἡμετέρας πολιτείας ἐλευθέρους εἶναι, καὶ κατὰ μηδένα τρόπον ἢ οἱονδήποτε εἶδος συναλλάγματος εἰς δουλείαν καθέλκεσθαι, μηδὲ συμβόλαιον ἐπ' αὐτοῖς ἀγοραῖον ἢ ἰδιόχειρον καθ' οἱονδήποτε τρόπον ἢ κατὰ περίνοιαν γινόμενον ἢ γενησόμενον κρατεῖν. ἀλλὰ καὶ πάντας τοὺς τοιούτοις συναλλάγμασι τὸ λοιπὸν ὑπουργοῦντας τὰς ἀνωτέρω εἰρημένας ὑποστῆναι κελεύομεν ποινάς. εἰ μέντοι διὰ πάθος συμβῇ δοῦλον εὐνουχισθῆναι, κἀκεῖνον κελεύομεν τῆς ἐλευθερίας τυγχάνειν. οἱ γὰρ ἐξ ἀρχῆς ὄντες ἐλεύθεροι, πάθει ὡς

εἰκὸς τοιούτῳ περιπίπτοντες, ἑαυτῶν ἔχουσιν ἐξουσίαν, ἣν ἂν θέλωσι θεραπείαν ἑαυτοῖς προσάγειν. τοὺς εὐνουχισθέντας τοίνυν ἀπὸ τοῦ μνημονευθέντος χρόνου ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ παρ' οἱῳδήποτε προσώπῳ ὄντας κελεύομεν ἀναζητηθῆναι καὶ ἐλευθέρους εἶναι, καὶ μηδέποτε εἰς δουλείαν τούτους καθέλκεσθαι. εἰ μέντοι θαῤῥήσουσί τινες ἐξ αὐτῶν τῶν εὐνουχισθέντων τινὰς μετὰ τὸν παρόντα ἡμῶν ἐπισχεῖν νόμον, δεδόαμεν ἄδειαν καὶ τοῖς εὐνουχισθεῖσιν αὐτοῖς, ὡς ἅπαξ ἐλευθερίας ἐκ τοῦ παρόντος ἡμῶν τυχοῦσι νόμου, ἐνταῦθα μὲν τῇ τε βασιλείᾳ προσιέναι, τῷ τε κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ, καὶ τοῖς ἐνδοξοτάτοις ἄρχουσιν, ἐφ' ᾧ προνοίᾳ πάντως τῶν ἡμετέρων ἀρχόντων, καὶ κινδύνῳ τῶν πειθομένων αὐτοῖς τάξεων, εἴτε ἐν κωνσταντινουπόλει εἴτε ἐν ἑτέρῳ οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας τούτους ἐκδικεῖσθαι, καὶ φυλάττεσθαι τὴν ἐκ τοῦ παρόντος ἡμῶν νόμου δεδομένην αὐτοῖς ἐλευθερίαν. παριδεῖν γὰρ φόνους τοσούτους γινομένους κατὰ πρόφασιν τῶν τοιαῦτα τολμώντων ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ οὐδαμῶς ἀνεχόμεθα. εἰ γὰρ βάρβαροι ἀκούσαντες τῶν ἡμετέρων περὶ τούτων παραγγελμάτων ταῦτα ἐφύλαξαν, πῶς ἂν ἡμεῖς συγχωρήσωμεν μετὰ τοσαύτας τῶν πρὸ ἡμῶν βεβασιλευκότων νομοθεσίας τοιοῦτόν τι ἁμαρτάνεσθαι, ἢ καὶ ἀνεκδίκητον τῇ ἡμετέρᾳ πολιτείᾳ καταλιμπάνεσθαι[1];

237. *Περὶ ἀρνήσεως ὑπογραφῆς.* — Ἀνάγνωθι κεφ. οε' τοῦ α' τί. τοῦ κβ' βι. τῶν βασιλικῶν καὶ κεφ. α' τοῦ γ' τί. τοῦ αὐτοῦ βι. καὶ τὸ ξ' κεφ. τοῦ α' τί. τοῦ κγ' βι. καὶ μαθήσῃ, ὅπως ποτὲ μὲν δι' ἀντιγράφων ποτὲ δὲ διὰ μαρτύρων ὀμνυόντων ἐλέγχεται ὁ ἀρνούμενος τὴν οἰκείαν ὑπογραφὴν, καὶ ὅτι μετὰ ἔλεγχον ὁ κατακριθεὶς ἀναγκάζεται ποιῆσαι τῷ ἀντιδίκῳ μὴ μόνον τὸ ἱκανὸν τοῦ περιεχομένου ποσοῦ ἐν τῷ ἐγγράφῳ, ἀλλὰ καὶ ἕτερον τοσοῦτον. ἡ δὲ β' νεαρὰ τουῦ βασιλέως κυροῦ *λέοντος τοῦ σοφοῦ* διορίζεται, πᾶν ἔγγραφον, ἐν ᾧ ἐπιγέγραπται ὁ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ τύπος διὰ χειρὸς τοῦ συνθεμένου αὐτὸ, ἔχειν τὸ ἰσχυρὸν καὶ ἀμετάπτωτον, καὶ εἰ μή ἐστι κατησφαλισμένον διὰ προστίμου. καὶ ἀνάγνωθι τὴν τοιαύτην νεαράν. τοῦτο δὲ καὶ εἰς ἐπισκόπους καὶ λοιποὺς ἱερωμένους κρατήσει εἰς χρηματικὰς ὑποθέσεις[2].

238. *Περὶ δωροδοκηθέντος δικαστοῦ.* — Φησὶ τὸ γ' κεφ. τοῦ μγ' τί. τοῦ ξ' βι. ταῦτα· ὁ ἄρχων λαμβάνων χρή-

[1] Bals. ad Phot. l. l. [2] Bals. ad. c. 13 syn. Carthag.

ματα ἐπὶ τῷ δικάσαι ἢ ψηφίσασθαι ἢ ἐπὶ τῷ ποιῆσαί τι πλέον ἢ ἧττον τοῦ ἰδίου ὀφφικίου καὶ οἱ σύνεδροι τῶν ἀρχόντων ὑπόκεινται τῷ νόμῳ[1].

239. Καὶ τὸ γ' θέμα τοῦ ζ' κεφ. τοῦ δ'τί. τοῦ ζ' βι. ὅπερ ἐστὶ μέρος τῆς ρκδ' ἰουστινιανείου νεαρᾶς λέγον οὕτως· εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴποι δεδωκέναι τὶ ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείποι, καὶ τοῦτο ἀποδείξοι, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω, ὁ δὲ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν παρὰ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι τὴν ἀρχὴν ἣν ἔχει ἐφ' ἑκατέρου τοῦ θέματος ἀπολλύτω. εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς οἰκείας ὑπομενέτω περιουσίας, καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. εἰ δὲ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι' αὐτοῦ, οὐδὲ δι' ἄλλου προσώπου ἢ ἔλαβέ τι ἢ ὑπόσχεσιν ἔσχε, καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου αὐτὸς μὲν ἐλεύθερος ἔστω, ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης, ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαινείσθω. εἰ δὲ [τὸ] παρὰ τοῦ δικαζομένου φανερωθὲν πρόσωπον τὸν μνημονευθέντα παραιτήσεται ὅρκον, τοῦτο μὲν ἐπὶ ταῖς ἐγκληματικαῖς, τοῦτο δὲ ἐπὶ ταῖς χρηματικαῖς αἰτίαις, ταῖς μνημονευθείσαις ὑποκείσθω ποιναῖς. εἰ δέ τις τῶν δικαζομένων ὀμόσει μὴ δεδωκέναι ἢ ἐπαγγείλασθαι, εἰ ἐντὸς τεσσάρων μηνῶν μετὰ τὸ προενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων δειχθῇ δοθέν τι ἢ ὑποσχεθέν, αἱ εἰρημέναι ποιναὶ κατά τε τῶν διδόντων, κατά τε τῶν λαμβανόντων χώραν ἕξουσι. καὶ ταῦτα μὲν ὅταν κατὰ χρῆσιν ἤγουν διὰ λῆψιν νομισμάτων ἢ προσπάθειαν ἢ ἔχθραν ἡ ψῆφος ἐνεχθῇ· τῆς γὰρ αὐτῆς δυνάμεώς εἰσι τὰ τρία. ἐὰν δὲ μὴ διὰ τοιαύτην αἰτίαν, ἀλλὰ κατὰ ἀπειρίαν ἀποφαίνηται, τί γενήσεται[2];

---

[1] Bals. ad c. 15 syn. Carthag. [2] Bals. l. l.

240. *Οἱ ἄρχοντες ἤτοι οἱ προκαθέμενοι τῶν δικαστηρίων οὐκ ἀναγκάζονται ἀκριβῶς εἰδέναι τοὺς νόμους, ὡς ἐφ᾽ ἑτέραις μεγάλαις δουλείαις ἐνασχολούμενοι· καὶ διὰ τοῦτο ἐξ ἀπειρίας ἀποφαινόμενοι συγγινώσκονται. οἱ δὲ σύνεδροι τούτων παρανόμως ἀποφαινόμενοι κολάζονται. φησὶ γὰρ ὁ νόμος ἐν βι. ζ' τί. γ'. κεφ. κδ'· τὸν δόλον ἐπιζητοῦμεν τοῦ ἄρχοντος· ἐὰν γὰρ ἀπειρίᾳ τοῦ συνέδρου ἄλλως ψηφισθῇ, ὁ ἄρχων οὐκ ἀδικεῖται, ἀλλ᾽ ὁ σύμπονος. καὶ ὁ λογισμὸς εὔλογος. οἱ μὲν γὰρ ἄρχοντες δι᾽ ἣν εἴρηται αἰτίαν οὐκ αἰτιῶνται, οἱ δὲ κριταὶ, τοῦ δικάζειν καὶ μόνον ἔργον ἔχοντες, ἐὰν παρανομήσωσιν, ἐλέγχονται ὡς δόλον ποιήσαντες κατὰ τὸν νόμον τὸν λέγοντα· ἡ ἀπειρία ἔοικε τῇ ἀμελείᾳ. δόλον τὶς ποιεῖ μὴ εἰδὼς ἀκριβῶς ὃ ἐπαγγέλλεται εἰδέναι. καὶ ταῦτα περὶ τῶν πολιτικῶν δικαστῶν*[1].

241. *Περὶ τῶν προσφευγόντων τῇ ἁγιωτάτῃ τοῦ θεοῦ ἐκκλησίᾳ. — Ἀνάγνωθι κεφ. ιγ' τοῦ α' τί. τοῦ ε' βι. λέγον· Θεσπίζομεν, μὴ ἐξέστω τινὶ τοὺς πρόσφυγας τῆς οἱασδήποτε τύχης ὄντας ἐκ τῆς ἁγίας ἐκκλησίας τῆς ὀρθοδόξου πίστεως ἐκτὸς ταύτης τῆς βασιλίδος πόλεως ἐξεοῦν. εἴ τινες δὲ τοιοῦτόν τι μηχανήσασθαι τολμήσουσι ποιῆσαι, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβαλλέσθωσαν. ἀλλὰ μηδὲ τούτους οὕτω κατέχεσθαι ἐν ταῖς σεβασμίαις ἐκκλησίαις ἢ συσφίγγεσθαι, ἵνα αὐτόθεν ἢ τροφίμων ἢ πραγμάτων ἢ ἐνδυμάτων ἢ ἡσυχίας ἢ ὕπνου κωλύωνται*[2].

242. *Καὶ τὸ ια' κεφ. λέγει· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ πρόσφυγες, τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασιν ἢ αὐλαῖς ἢ στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. ὅπλοις δὲ μὴ ἀσφαλιζέσθωσαν ἑαυτοὺς, ἀλλὰ ἀποτιθέτωσαν ταῦτα, ἐκβαλλόμενοι κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν*[3].

243. *Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προσφυγόντα ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ πρόσφυγος δηλοποιείτω τῷ ἱερεῖ, καὶ παρ᾽ αὐτοῦ μετ᾽ ἀσφαλειῶν λαμβανέτω τὸν προσφυγόντα τοῦ νομίμως ζητηθῆναι καὶ ἐκδικηθῆναι τὰ κατ᾽ αὐτόν*[4].

244. *Εἰ δέ τις δοκιμάσει χειρὶ ἀπ᾽ ἐκκλησίας ἐπαρεῖν τὸν οἱονδήποτε πρόσφυγα, ὁ τοιοῦτος διὰ ιβ' ἀλλακτῶν σω-*

---

[1] Bals l. l. [2] Bals. ad c. 64 syn. Carthag. [3] Bals. cit. [4] Ecl. XVII, 1.

φροντιζέσθω, καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ αὐτοῦ πρόσφυγος ζητείσθω κεφάλαιον[1].

245. Καὶ κεφ. ιβ'. Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος ἀποθάνῃ, ἀνεύθυνος ὁ ἐπελθὼν ἔσται δεσπότης[2].

246. Ἀνάγνωθι καὶ τὸ γ' θέμα τοῦ ιγ' κεφ. τοῦ αὐτοῦ τί. λέγον παρὰ τοῖς προσφόροις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας, οὐχὶ παρὰ τῇ ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι[3].

247. Καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφ. Μεταξὺ δὲ τούτων τοῖς θεοσεβεστάτοις οἰκονόμοις εἴτε τοῖς ἐκδίκοις τῆς ἐκκλησίας φροντίδα καὶ σπουδὴν προσήκει ἔχειν, ὅπως ἑκάστου τῶν ἔνδον τῆς ἐκκλησίας προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀνυπερθέτως ἐκζητῶσιν. ἔπειτα δὲ οἱ ἄρχοντες ἢ ἐκεῖνοι, πρὸς οὓς τὰ πράγματα καὶ τὰ πρόσωπα ἀνήκουσι, ταῦτα μανθάνοντες τῇ ἐπιτηδείᾳ εὐθύτητι ἐπιμελέστερον ἑαυτοῖς τὰ ἁρμόζοντα διατυπούτωσαν[4].

248. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀποσπάσας τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω διηνεκῶς[5].

249. Νομοθεσία τοῦ Ἰουστινιανοῦ περὶ τῶν προσφύγων. — Εἴ τις τῶν ἐκ θεοῦ τετιμημένων τῇ μεγάλῃ τῆς ἀρχιερωσύνης τιμῇ προδῷ τινα τῶν προσφύγων τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, κἂν τῶν ἀλλοτρίων ὑπάρχῃ, ἢ αὐτὸς δι' ἑαυτοῦ προδήλως ἢ τῇ τούτου ὑποβολῇ ἄλλος ἀντ' αὐτοῦ, ὁ τοιοῦτος οἷος ἂν καὶ εἴη κακώσεσιν ὑποβαλλέσθω, αἷς καὶ ὁ πρόσφυξ ὑπεβλήθη παρὰ τοῦ λαβόντος αὐτὸν, τῆς ἰδίας πρότερον στερούμενος ἀρχιερωσύνης. καὶ εἴ τις δὲ τῶν μεγάλων δυνάμεων καὶ ἀρχικὴν ὑπενδυομένων ἐξουσίαν τολμήσειεν ἀποσπάσαι βίᾳ ἀπὸ τῆς ἀρχιερατικῆς χειρὸς τὸν αὐτὸν πρόσφυγα καὶ τῶν ἀδύτων ἐξελκῦσαι τῆς ἐκκλησίας, ἐν ᾗ προσέφυγεν, ἢ αὐτὸς δι' ἑαυτοῦ ἢ διὰ τοὺς ὑπὸ χεῖρα, καὶ οὗτος τὴν ζώνην τῆς ἰδίας ἀρχῆς ἀφαιρούμενος καὶ μαστιγούσθω καὶ κακούσθω, καὶ δημευέσθω ἅπασα ἡ οὐσία αὐτοῦ. οὐ γὰρ ανεχόμεθα τοιοῦτόν τι κατατολμᾶσθαι τὸ σύνολον ἐν πάσῃ τῇ ὑπὸ ῥωμαίους ἀρχῇ καὶ τῇ χριστιανικωτάτῃ καταστάσει.

---

[1] Ecl. ibi. [2] Bals. ad c. 64 syn. Carthag. [3] Bals. l. l. [4] Bals. l. l. [5] Proch. b. t. 7.

τοῦτο γὰρ τῶν ἐθνῶν μόνον ἐστὶ καὶ τῶν ἔξω νόμου ὄντων, καὶ μηδὲ τῶν τὴν οἰκείαν φύσιν αἰδουμένων, ἀλλὰ καὶ αὐτῶν δὴ τῶν αἱμοβόρων θηρίων θηριωδεστέρων πάντως καὶ ἀτιθασσεστέρων τυγχανόντων, χαιρόντων καταφαγεῖν τὸ ὁμόφυλον σῶμα τῆς θείας διαπλάσεως, καὶ βεβηλοτέρων ἀποδεικνυμένων καὶ αὐτοῦ δὴ τοῦ μισητοῦ ἰούδα τοῦ προδότου καὶ βδελυκτοῦ.

250. Περὶ δαιμονιζομένων. — Ἐὰν ἄνηβος ἢ νέος μανῇ, εἰ μὲν ἔχει κηδεμόνα, μένει ὑπ᾽ αὐτῷ. εἰ δὲ μὴ, λαμβάνει ὡς ἄνηβος ἢ νέος, οὐ μὴν ὡς μεμηνὼς, κουράτορα, ἕως οὗ ἐστιν ἀφήλιξ[1].

251. Εἴρηται ἐν βι. ε΄ τοῦ κώδ. τί. ο΄ διατ. δ΄ ὅτι ἐὰν γυνὴ μαίνηται αὐτεξουσία οὖσα, μόνος ὁ ἀνὴρ δύναται πέμπειν ῥεπούδιον τουτέστι διαζύγιον. ἐν δὲ τῇ κβ΄ διατ. τοῦ γ΄ τί. τοῦ κδ΄ βι. φησὶν, ὅτι ἐὰν εἷς τῶν συνοικούντων μανῇ, αὐτὸς μὲν οὐ δύναται στέλλειν διαίσιον· εἰ δὲ φορητή ἐστιν ἡ μανία, εἴτε διηνεκὴς εἴτε ἐκ διαλειμμάτων, οὐκ ὀφείλει ὁ νήφων τῷ μαινομένῳ στέλλειν ῥεπούδιον. εἰ δὲ στείλῃ, ὑποπίπτει τοῖς ἐπιτιμίοις τῆς ἀλόγου διαζεύξεως. εἰ δὲ ἀνύποιστός ἐστιν ἡ μανία, καὶ οὐκ ἐστιν ἐλπὶς ἀνανήψεως, ἔξεστι διὰ τὸν ἐντεῦθεν φόβον καὶ τὴν ἐπιθυμίαν τοῦ παιδοποιεῖν ῥεπουδίῳ λύειν τὸν γάμον μηδετέρου ζημιουμένου. εἰ μέντοι μὴ λύῃ τὸν γάμον, ἀλλὰ περιφρονῇ αὐτὴν, ἀναγκάζεται παρὰ τοῦ ἄρχοντος τρέφειν αὐτὴν καὶ φροντίζειν τῆς ἰατρείας αὐτῆς καὶ μηδὲν παραλείπειν τῶν ἀνδρὶ πρεπόντων πρὸς τὸ ποσὸν τῆς προικός. εἰ δὲ σκορπίζει τὴν προῖκα, μεσεγγυᾶται ἐφ᾽ ᾧ τὴν γυναῖκα καὶ τὴν φαμιλίαν αὐτῆς ἀξίαν σχεῖν ἐντεῦθεν παραμυθίαν φυλαττομένων τῶν ἐξ ἀρχῆς συμφώνων[2].

252. Καὶ βι. κη΄ τί. β΄ κεφ. κβ΄ οὕτως ἔχον ἀπαραλλάκτως[3].

253. Αἱ μέντοι ρ΄ καὶ ρα΄ νεαραὶ τοῦ φιλοσόφου βασιλέως κυροῦ λέοντος διορίζονται, τὸν μὲν ἄνδρα καρτερεῖν ἐπὶ τριετίᾳ καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ τῆς μανείσης γυναικὸς αὐτοῦ συζυγίαν, τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς, εἰ μὴ πενταετία παρέλθῃ. ἀνάγνωθι καὶ τὴν νεαρὰν τοῦ βασιλέως κυροῦ νικηφόρου τοῦ βοτανειάτου περὶ μανέντων ὁμοζύγων τὰ αὐτὰ διαλεγομένην[4].

[1] Dig. XXVI, 1, 3 pr. [2] Phot. XIII, 30. [3] Bals. ad Phot. l. l.
[4] Bals. cit. — Paris. 1368 in margine adscriptum habet Novellae Athanasii c. 1 (Coll. V. Nov. 26.)

Τίτλος μ΄. Περὶ σκύλων, ἐν ᾧ καὶ περὶ ἐκκλήτου ἱερωμένων, μοναχῶν, κοσμικῶν, καὶ περὶ τῶν πεπονθότων ἀπόφανσιν καὶ ἀποκαθισταμένων, καὶ περὶ αἱρετῶν δικαστῶν[1]. *ἔτι τε περὶ δικαιοσύνης νόμου καὶ μακρᾶς συνηθείας καὶ*[2] *περὶ ἀγνοίας νόμου ἢ φάκτου καὶ τίνες βοηθοῦνται ἐξ αὐτῆς. περὶ τῶν ἀπράκτων ἡμερῶν. περὶ δικαιοσύνης νόμων καὶ περὶ ῥημάτων σημασίας καὶ περὶ διαφόρων κανόνων. περὶ συνηγόρων καὶ περὶ ἐντολῆς.*

1. *Περὶ σκύλων.* — *Οἱ κατὰ πολεμίων τρόπαιον στήσαντες, σκύλων τινῶν ὡς εἰκὸς εὑρισκομένων, τοῦ ἕκτου μέρους μόνου ἀφαιρουμένου τῷ δημοσίῳ, ἐξ ἴσης μοίρας οἵ τε ἄρχοντες καὶ οἱ ἀρχόμενοι τὸ ὑπόλοιπον ἅπαν τῶν ἐκεῖσε εὑρισκομένων εἰδῶν καὶ πραγμάτων πάντες μεριζέτωσαν. ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί τινες ἐκ τῶν αὐτῶν ἀρχόντων διαφερόντως ἀνδρισάμενοι, ὁ στρατηγὸς ἐκ τοῦ εἰρημένου μέρους τοῦ δημοσίου ἄδειαν ἐχέτω φιλοτιμεῖσθαι αὐτούς. κατὰ δὲ τὴν μερίδα τοῦ ἐν τῷ πολέμῳ εὑρισκομένου καὶ ὁ ἐν τοῖς τούλδοις φύλαξ καταλειπόμενος λήψεται*[3].

2. *Περὶ ἐκκλήτου ἱερωμένων μοναχῶν κοσμικῶν, περί τε τῶν πεπονθότων ἀπόφανσιν καὶ ἀποκαθισταμένων καὶ περὶ αἱρετῶν δικαστῶν. Τὴν ἀδικίαν τοῦ ἄρχοντος ἐπανορθοῦται ἡ ἔκκλητος. δίδοται δὲ ἡ ἔκκλητος, ὅταν εἷς τῶν δικασαμένων ὑπολαμβάνῃ ἀδικεῖσθαι. καὶ τὸ μὲν παλαιὸν ὁ τοιοῦτος εἶχεν ἄδειαν ἐν αὐτῷ τῷ δικαστηρίῳ λέγειν, ὅτι ἐκκαλοῦμαι, καὶ τηνικαῦτα ἐπεῖχεν ὁ δικαστὴς τὴν ἐκβίβασιν ἄχρις ἡμερῶν δέκα. καὶ εἰ μὲν ἐξήγαγεν ἔκκλητον τῶν δέκα ἡμερῶν ἔσωθεν, ἀνεψηλαφᾶτο ἡ ἀπόφανσις. καὶ εἰ μὲν εὑρέθη δικαία, μᾶλλον ἐβεβαιοῦτο· εἰ δὲ ἄδικος, ἐπηνορθοῦτο. εἰ δὲ ἔσωθεν τῶν δέκα ἡμερῶν οὐκ ἐξήνεγκε τὴν ἔκκλητον, ἐγίνετο μὲν ἡ ἐκβίβασις τῆς ὑπο-*

---

[1] Verba: *καὶ κ. τ. πεπονθ.* — *δικαστῶν* Paris 1351. A post *συνηθείας* collocat. [2] Idem verba *καὶ π. ἀγνοίας* usque ad finem omittit. [3] Proch. XL, 1.

θέσεως, εἶτα πάλιν ἐνεκκλητεύετο, καὶ ἐκαλεῖτο οὐχὶ ἔκκλητος, ἀλλ' ἔφεσις ἤτοι ἀναψηλάφησις. διὰ γὰρ τοῦτο οὐδὲ κατὰ ἐπάρχου πραιτωρίων, ὡς ὑπεροχὴν ἔχοντος μεγάλην ἐδίδοτο ἔκκλητος· οἷον, οὐκ ἠδύνατό τις λέγειν ἐπὶ δικαστηρίου, ὅτι ἐκκαλοῦμαι κατὰ τῆς ἀποφάνσεώς σου, διὰ τὸ ὑπερέχον τῆς ἀξίας αὐτοῦ· ἀλλ' ἐδέετο τοῦ βασιλέως καὶ ἀνεψηλαφᾶτο ἡ κρίσις αὐτοῦ παρὰ τῶν ὁρισθέντων δικαστῶν. γίνεται δὲ καὶ νῦν οὕτως ἐπὶ τῶν λοιπῶν δικαστῶν. καὶ ὁ οἰόμενος βεβλάφθαι ἐξ ἀποφάνσεως δικαστοῦ, κἂν [μὴ] εἴπῃ ἐκκαλοῦμαι, προσέρχεται τῷ βασιλεῖ καὶ ἀναδιδάσκει τὴν ὑπόθεσιν διὰ δεητικοῦ· καὶ προστάττει ὁ βασιλεὺς δικασταῖς ἑτέροις, καὶ ζητοῦσιν ἐφετικῶς, ἤγουν διερευνῶσι καὶ ψηλαφῶσι τὴν κρίσιν τοῦ δικαστοῦ. καὶ εἰ μὲν εὕρωσιν αὐτὴν δικαίαν, ἐπικυροῦσιν· εἰ δὲ ἄδικον, ἐπανορθοῦσιν αὐτήν· τοῦτο δὲ ἐντὸς διετίας ἄρχεται καὶ τελειοῦται τὴν σήμερον. μετὰ δὲ τὴν διετίαν οὐκέτι γίνεται ἀναψηλάφησις, εἰ μὴ ἔσωθεν αὐτοῦ ἐκκλητεύσαντος τοῦ βλαπτομένου, δώσει τὴν αἰτίαν τῆς ὑπερθέσεως ὁ δικαστὴς καὶ ὁ δικαιωθεὶς ἀντίδικος[1].

3. *Οὐ δεῖ τοὺς δικαστὰς ἢ κωλύειν ἢ ὑβρίζειν τοὺς ἐκκαλουμένους, εἰ γάρ τι τοιοῦτον γένηται, προσέρχονται τῷ βασιλεῖ*[2].

4. *Σημείωσαι ὅτι τῷ περὶ βίας δημοσίῳ ἐγκλήματι ὑπόκεινται οἱ ὑβρίζοντες δικασταὶ τοὺς ἐκκαλουμένους καὶ ἀτιμοῦνται*[3].

5. *Καὶ χωρὶς ἐκκλήτου ἄχρηστος ἡ ἀπόφανσις ἡ ἀπὸ πλασιῶν δικαιωμάτων γενομένη*[4].

6. *Γίνωσκε δὲ ὅτι ἐστὶ* νεαρὰ *τῶν εὐσεβῶν βασιλέων* ἡρακλείου καὶ κωνσταντίνου *διοριζομένη, μήτε ἐπίσκοπον μήτε κληρικὸν μήτε μοναχὸν χρηματικῆς ἢ ἐγκληματικῆς χάριν αἰτίας παρὰ πολιτικῷ ἢ στρατιωτικῷ ἐνάγεσθαι ἄρχοντι, ἀλλὰ παρὰ μόνοις τοῖς ἰδίοις ἐπισκόποις ἢ μητροπολίταις ἢ πατριάρχαις*[5].

7. *Τὰ αὐτὰ διορίζεται καὶ τὸ κατὰ τὸν ἰούλιον μῆνα τῆς δ' ἰνδ. τοῦ ͵ϛφπθ' ἔτους ἀπολυθὲν* χρυσόβουλλον *τοῦ ἀοιδίμου βασιλέως κυροῦ* ἀλεξίου τοῦ κομνηνοῦ *προστιθέμενον ταῦτα ῥητῶς· εἰ δὲ μερισμὸς ἐν τοῖς διαμαχομένοις ἐστὶ καὶ ὁ μὲν τῆς κοσμικῆς φαίνεται καταστάσεως, ὁ δὲ τῷ θείῳ κλήρῳ ἐγκατείλεκται, ὁ ἐνάγων τηνικαῦτα τῷ φόρῳ τοῦ ἐνα-*

---

[1] Mich. Attal. XXXVI, 1 sqq. [2] Basil. IX, 1, 24. [3] Schol. ad Bas. l. l. esse videtur. [4] Bas. IX, 3, 103. [5] Bals. ad Phot. IX, 1.

γομένου ἐξ ἅπαντος ὑποκείσεται καὶ ἕκαστος εἰς τὸ πρόσφορον δικαστήριον ἐλεύσεται, εἰ μήπω πολλάκις τὶς τῶν ἀπαντώντων[1] τὸ βασιλικὸν δικαστήριον ἐπιζητοίη. τότε γὰρ σχολαζόντων ἁπάντων ἡ βασιλικὴ μεγαλειότης διαιτήσει τῇ δίκῃ καὶ τεμεῖ τὸ ἀμφίβολον[2].

8. Τοῦ δὲ τοιούτου χρυσοβούλλου ἡ περικοπὴ ἡ διοριζομένη, προσδέχεσθαι πάντας τοὺς ἑλκομένους εἰς δικαστήριον οἱονδηποτοῦν καὶ ζητοῦντας τοῦ βασιλικοῦ βήματος τὴν ἀκρόασιν, ἐσχόλασεν ἀπὸ μεταγενεστέρας προστάξεως τοῦ αὐτοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἀπολυθείσης κατὰ μῆνα μάϊον τῆς γ' ἐπινεμήσεως καὶ διοριζομένης ταῦτα ῥητῶς μετὰ τὸ προοίμιον· διορίζεται οὖν πᾶσιν ὑμῖν τοῖς τῶν δικαστηρίων προεστῶσιν ἡ βασιλεία μου, μηκέτι τὶ ἀπὸ τοῦδε προσέχειν οἱαδήτινι γραφῇ κωλυούσῃ τινὰ τῶν δικαστῶν τὴν ἐπ' αὐτοῦ καταπεμφθεῖσαν δίκην γυμνάζειν, κἂν διὰ κινναβάρεως ὑποσεσημασμένη τυγχάνῃ κἂν τὴν κηρόβουλλον σφραγίδα φέρηται· ἀλλὰ μετὰ τὴν λιβέλλου δόσιν, εἰ μὲν ἐντὸς κ' ἡμερῶν τῆς διασκέψεως ὁ ἐπὶ τὸ δικαστήριον ἑλκόμενος λύσιν τῆς βασιλείας ἡμῶν πορίσεται καὶ ἕτερον δικαστὴν τῷ ἐφ' ὃν πρότερον παρεπέμφθη ἡ δίκη παραζευγνύουσαν· συνιέναι τοὺς ὁρισθέντας κατὰ ταὐτὸν δικαστὰς καὶ τὴν τομὴν ἐπάγειν τοῖς ἀμφιβόλοις ἔννομον. εἰ δ' ὁ τῶν κ' ἡμερῶν παραδράμῃ χρόνος, μήτε συνδικαστὴν ἕτερον παραδέχεσθαι, ὅτι καὶ τῷ νόμῳ τοῦτο δοκεῖ, μήτε μὴν προφάσει τοῦ ἐπὶ τὸ τῆς βασιλείας μου βῆμα ὁρισθῆναι ἴσως ἐσύστερον τὴν δίκην γενέσθαι εἰσαγώγιμον ἐμποδίζεσθαι ὅλως εἰς τὴν διάγνωσιν, ἀλλὰ τέμνειν τὴν καταπεμφθεῖσαν τούτῳ ἀμφιβολίαν κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν, μὴ ἀποκλειομένου πάντως τῷ δικαζομένῳ τοῦ τῆς ἐκκλήτου δικαστηρίου, εἴπερ βεβλάφθαι οἴεται. καὶ τοῦτο πάντες ὑμεῖς γινώσκοντες οἱ δικάζοντες σπεύδετε τὰς ἀνατεθειμένας ὑμῖν δίκας τηρεῖν, καὶ τέλος ταύταις ἐπάγειν ἔννομον. οὐ βούλεται γὰρ ἡ βασιλεία μου μετὰ τὸ παραπεμφθῆναι ὅλως τινὶ τῶν δικαστῶν ὑπόθεσιν κατὰ πρόσταξιν αὐτῆς ἐξ οἱασδήτινος μεταγενεστέρας γραφῆς, ἐπιτρεπούσης εἰς τὴν βασιλείαν μου εἰσαχθῆναι τὴν δίκην, τὴν διάγνωσιν ἐμποδίζεσθαι· ἀλλὰ προβαίνειν ταύτην ἕως τέλους ἀνυποστόλως παρὰ τῷ αὐτῷ δικαστῇ ἢ τοῖς (ὡς ἀνωτέρω εἴρηται) συνδιδομένοις τούτῳ συνδικασταῖς, ἐντὸς δηλαδὴ τῆς τῶν κ' ἡμερῶν διασκέ-

---

[1] Lips. ἀπάντων. [2] Bals. l. c.

ψεως. μετὰ δὲ τὴν τῆς δίκης περαίωσιν τῷ ἀδικηθῆναι ἴσως οἰομένῳ ἐπ᾽ ἀδείας εἶναι, ἕτερον ἐπικαλέσασθαι κατ᾽ ἔκκλητον δικαστήριον ἢ τὴν τοῦ κράτους ἡμῶν ζητῆσαι ἀκρόασιν[1].

9. Ἡ προφανῶς γενομένη παράνομος ψῆφος ἤτοι ἀπόφανσις καὶ χωρὶς ἐκκλήτου ἄκυρός ἐστι, καὶ ἐντὸς τριακονταετίας οὕτως εὑρισκομένη ἀκυροῦται καὶ οὐ κρατεῖ[2].

10. Ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφανσις οὐκ ἔχει ἔκκλητον, εἴτε δικαία εἴτε ἄδικός ἐστιν, ἀλλ᾽ ἐμμένειν αὐτῇ δεῖ[3].

11. Μὴ χρείαν ἐχέτω ἐκκλήτου ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφανσις[4].

12. Οἱ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ[5].

13. Καὶ ἀνάγνωθι περὶ τούτου βι. ζ′ τί. β′ κεφ. κζ′ θεμ. γ′. Φανερᾶς ἔχθρας παραπεσούσης μεταξὺ τοῦ αἱρετοῦ δικαστοῦ καὶ τοῦ δικαζομένου καὶ διαμαρτυρηθεὶς μὴ ψηφίσασθαι μηδενὸς ἀναγκάζοντος ἐψηφίσατο. εἰ καὶ τὰ μάλιστα οι δυνατὸν ἐκκαλεῖσθαι, ὅμως ἐν τάξει ἐκκλήτου διὰ τῆς τοῦ δόλου παραγραφῆς ἀναψηλαφᾶται ἡ τοῦ αἱρετοῦ δικαστοῦ ψῆφος[6].

14. Τὸ αἱρετὸν δικαστήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδ᾽ ἀναψηλαφᾶται ὑφ᾽ ἑτέρου, οὐδ᾽ ἐπανακρίνεται ὑφ᾽ ἑαυτοῦ[7].

15. Ἐὰν πλανηθῇ ὁ αἱρετὸς δικαστὴς ἐν τῷ ψηφίζεσθαι, οὐ διορθοῦται τὴν ψῆφον. ψηφισάμενος γὰρ πέπαυται τοῦ εἶναι δικαστής[8].

16. Τὸ αἱρετὸν δικαστήριον ἔοικε προσφόρῳ δικαστηρίῳ καὶ ἀνήκει πρὸς τὸ περατοῦσθαι τὰς δίκας[9].

17. Αἱρετὸς δικαστής ἐστιν ὁ δικαστοῦ τάξιν ἀναδεξάμενος καὶ ἐπαγγειλάμενος ψήφῳ τεμεῖν τὸ φιλονεικούμενον, οὐ μὴν ὁ παρεμβαλὼν ἐφ᾽ ᾧ συμβουλῇ τὴν δίκην ἀπαλλάξαι[10].

18. Οὐκ ὀφείλουσι πειθαρχεῖν τῷ αἱρετῷ δικαστῇ οἱ δικαζόμενοι ἄσχημόν τι προστάσσοντι[11].

19. Ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφανσις οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται[12].

20. Ἐὰν ἐξ ἴσων δικαστῶν ἐναντίαι γένωνται ψῆφοι, οὐκ ἔρρωνται[13].

---

[1] Bals. l. c. [2] Mich. Attal. XXXVI, 4. [3] Bas. VII, 2, 27 th. 3. [4] Basil. VII, 2, 53. [5] Bas. VII, 2, 19. [6] In edit. Heimb. est Basil. VII, 2, 32 th. 13. [7] Non invenio. Cf. tamen Harm. I, 4, 53. [8] Bas. VII, 2, 20. [9] Bas. VII. 2, 1. [10] Bas. VII, 2, 12 th. 4. [11] Bas. VII, 2, 21 th. 7. [12] Non invenio. Sed cf. Harm. I, 4. 56. [13] Ad hoc et quod sequitur caput cf. infra c. 72. 73.

21. Εἰ ἐκ τριῶν δικαστῶν ὁ εἷς ἄπεστιν, οἱ δύο οὐ δικάζουσιν, εἰ δὲ παρόντες διαφωνοῦσιν, ὀφείλουσιν ἕκαστος τὴν ἰδίαν γνώμην ἐγγράφως ποιεῖν. ἐντεῦθεν τοῦ νόμου θεσπίζοντος, ἵνα μὴ τῷ πλήθει ἀλλὰ τῷ δικαίως λέγοντι προσέχωμέν τε καὶ προστιθώμεθα.

22. Περὶ δικαιοσύνης νόμου καὶ μακρᾶς συνηθείας καὶ περὶ ἀγνοίας νόμου ἢ φάκτου καὶ τίνες βοηθοῦνται ἐξ αὐτῆς. — Ὁ νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται. ἐστὶ γὰρ νόμος τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου. διαιρεῖται δὲ εἰς τὸ δημόσιον, ὅπερ πρὸς τὴν ῥωμαϊκὴν κατάστασιν βλέπει, καὶ ἰδιωτικόν, ὅπερ πρὸς τὴν καθέκαστον ἀνήκει χρησιμότητα. καὶ τὸ μὲν δημόσιον τὴν πολιτείαν ὁρᾷ, καὶ συνίσταται ἐν ἱερεῦσι καὶ ἄρχουσι· τὸ δὲ ἰδιωτικὸν πρὸς τὸ ἑκάστου χρήσιμον. καὶ σύγκειται ἢ ἀπὸ φυσικοῦ νόμου ἢ ἐθνικοῦ ἢ πολιτικοῦ. φυσικὸς μέν ἐστι νόμος, ᾧτινι ζῶα πάντα καὶ οὐκ ἄνθρωποι μόνοι κέχρηνται· ὡς ἡ τοῦ ἄῤῥενος καὶ ἡ τοῦ θήλεος συνάφεια καὶ ὁ τοκετὸς καὶ ἡ ἀναγωγὴ τῶν παίδων. ἐθνικὸς δὲ νόμος ἐστὶν ἡ περὶ τὸ θεῖον θρησκεία καὶ τὸ πείθεσθαι γονεῦσι καὶ τιμᾷν πατρίδα, καὶ τὸ ἀπωθεῖσθαι τὴν ἐπιφερομένην βίαν ἢ ὕβριν. ὅσα γάρ τις εἰς φυλακὴν τοῦ ἰδίου σώματος ποιεῖ, νομίμως ποιεῖ. ἀλλὰ καὶ τὴν ἐλευθερίαν ὁ ἐθνικὸς εἰσηγήσατο νόμος· πάντας γὰρ ἐξ ἀρχῆς [ἡ φύσις] ἐλευθέρους προήγαγε. καὶ τὰ συναλλάγματα καὶ αἱ ἐνοχαὶ πάντα σχεδὸν τοῦ ἐθνικοῦ ἐστι· τινὰ δὲ καὶ ὁ πολιτικὸς ἐφεῦρεν, ὡς τὴν παραγωγὴν τὴν παρατιθεῖσαν παλαιὸν χρέος εἰς καινὸν καὶ τὴν περὶ ἐμφυτεύσεως. τὸ δὲ πολιτικὸν νόμιμον οὔτε τελείως ἀπᾴδει τοῦ φυσικοῦ καὶ ἐθνικοῦ, οὔτε τελείως αὐτοῖς ἕπεται. καὶ ἐστὶν ἢ ἐγγράφως ἢ ἀγράφως. εἰσήχθη ἀπὸ τῆς δυοδεκαδέλτου ἢ τῶν τοῦ δήμου δογμάτων ἢ βασιλικῶν δογμάτων ἢ τῆς σοφίας τῶν σοφῶν. ἐστὶ δὲ καὶ ἕτερον νόμιμον πολιτικόν, ὅπερ ἑκάστη πόλις ἑαυτῇ ὁρίζει καὶ ἐστὶν αὐτῆς ἰδικόν. πᾶς γὰρ νόμος ἢ ἀπὸ συναινέσεως νόμου ἐτέθη ἢ ἀνάγκης, ἢ ἀπὸ συνηθείας ἐβεβαιώθη. πᾶς δε νόμος συνίσταται ἢ ἐπὶ τῷ κτᾶσθαι καὶ γίνεσθαι δεσπότην τινὰ ἢ ἐπὶ τῷ φυλάττειν τὸ ἤδη κτηθὲν ἢ ἐπὶ τῷ ἐκποιεῖν. σπουδάζεται μὲν γὰρ ἡμῖν εἰδέναι πῶς δύναταί τις τοῦ δέοντος πράγματος γενέσθαι δεσπότης ἢ πῶς αὖθις φυλάξει τὸ διαφέρον αὐτῷ πρᾶγμα ἢ δίκαιον[1].

---

[1] Cf. Basil. II, 1, 1—7. 9. 48. 49.

23. Ἐρώτησις. Τί ἐστι δίκαιον; Ἀπόκρισις. Δίκαιόν ἐστι σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον. δίκαιον δὲ λέγεται τὸ ἀεὶ καλὸν καὶ δίκαιον, ὡς τὸ φυσικὸν νόμιμον λέγεται δίκαιον καὶ τὸ πᾶσι τοῖς ἐν πόλει ἢ τοῖς πλείοσι χρήσιμον ὄν, ὡς τὸ πολιτικὸν δίκαιον. λέγεται δίκαιον καὶ ἡ τοῦ ἄρχοντος ψῆφος, κἂν παράνομος εἴη, καὶ ὁ τόπος, ἐν ᾧ δικαιοδοτεῖ σωζομένης τῆς μεγαλειότητος τῆς ἀρχῆς καὶ τοῦ ἔθους τῶν πατρῴων. λέγεται δίκαιον καὶ ἐπὶ συγγενείας ἢ ἀγχιστείας. τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως εἰσάγεσθαι δεῖ. οὐδὲ ἀπὸ τῶν δυναμένων ὡς ἐνὶ συμβῆναι θέματι. παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δὶς συμβαῖνον καὶ οὐκ ἀξιοῦσι περὶ αὐτοῦ νομοθετῆσαι[1].

24. Ἀρετὴ νόμου καὶ δύναμις τὸ κελεύειν τρέφεσθαι παρὰ τῶν πατέρων τοὺς παῖδας καὶ τοὺς πατέρας παρὰ τῶν παίδων· τὸ κωλύειν γίνεσθαι φόνους ἁρπαγὰς ἢ ἕτερόν τι πλημμέλημα· τὸ ἐπιτρέπειν τισὶ διατίθεσθαι καὶ συναλλάσσειν· τὸ τιμωρεῖσθαι τοὺς ἡμαρτηκότας[2].

25. Οὐ περὶ τοῦ καθ᾽ ἕκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται[3].

26. Καὶ ἡ σύγκλητος νομοθετεῖ[4].

27. Ἐκ τῶν ὁμοίων τέμνεσθαι δεῖ τὰ περὶ ὧν οὐ κεῖται νόμος. τὸ δὲ παρὰ κανόνας εἰσδεχθὲν οὐχ ἕλκεται εἰς ὑπόδειγμα. οὔτε φυλάττομεν ἐπὶ τοῖς παρὰ κανόνας εἰσδεχθεῖσι τὸν λογισμὸν τοῦ νόμου[5].

28. Τὰ ἐν πρώτοις νομοθετούμενα τὸν βασιλέα δεῖ ἑρμηνεύειν[6].

29. Τὸ νόμιμον διαιρεῖται εἰς δύο, εἰς τὸ πούβλικον καὶ εἰς τὸ πριβάτον. πούβλικόν ἐστι νόμιμον τὸ εἰς σύστασιν τῆς πολιτείας συντεῖνον. ἐστὶ δὲ ἐν ἱερεῦσι καὶ ἄρχουσι. τὸ δὲ πριβάτον διαιρεῖται πάλιν εἰς ἐθνικὸν εἰς φυσικὸν καὶ εἰς πολιτικόν. καὶ ἐστὶ τὸ φυσικὸν νόμιμον τὸ πάντων ἀνθρώπων κοινόν, οἷον ὁ φυσικὸς λογισμός, ἡ περὶ θεοῦ θρησκεία, τὸ γονεῦσι καὶ πατρίδι πείθεσθαι[7].

30. Οἱ προγενέστεροι νόμοι καὶ εἰς τοὺς μεταγενεστέρους ἕλκονται. ὅθεν κρατοῦσιν ἐπὶ τῶν ὁμοίων προσώπων τε καὶ

[1] Basil. II, 1, 10—12. 15. 16. 17. [2] Bas. ib. 18. [3] Bas. ib. 19. [4] Bas. ib. 20. [5] Bas. ib. 23—25. [6] Bas. ib. 22. [7] Bas. ib. 1.

πραγμάτων. καὶ οἱ μεταγενέστεροι ἕλκονται πρὸς τοὺς προγενεστέρους, εἰ μὴ ἐναντίοι ὦσιν[1].

31. *Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ. εἰ δὲ μὴ εὑρίσκεται, τότε τὸ νόμιμον, ᾧτινι ἡ ῥώμη κέχρηται, φυλάττειν δεῖ*[2].

32. *Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος*[3].

33. *Ὥσπερ ἡ θέσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι' ἐγγράφου γίνεται νόμου ἢ δι' ἀγράφου, τουτέστι δι' ἀχρησίας*[4].

34. *Τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη*[5].

35. *Καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα καὶ ἐπὶ πολλοὺς ἐνιαυτοὺς φυλαχθέντα οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν, ὡς τοσοῦτον δοκιμασθέντα ὥστε μὴ δεηθῆναι ἐγγράφου*[6].

36. *Τὸ μὴ μετὰ λογισμοῦ εἰσενεχθὲν, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις*[7].

37. *Ἐν τῇ τῶν νόμων ἑρμηνεύσει τῇ συνηθείᾳ δεῖ προσέχειν τῆς πόλεως, καὶ ὅπως ἐπὶ τῶν ὁμοίων διὰ παντὸς ἐψηφίσθη*[8].

38. *Ὁ ἄρχων ὃ εὕροι συχνάζον ἐν τῇ πόλει ἐπί τινος πράγματος, φυλάξει αὐτό. καὶ γὰρ ἡ συνήθεια ἡ προλαβοῦσα καὶ ὁ λογισμὸς ὁ εἰσάγων αὐτὴν φυλακτέα εἰσὶ, καὶ οὐκ ἐῶσί τι παρὰ τὴν μακρὰν συνήθειαν γίνεσθαι*[9].

39. *Τῆς συνηθείας καὶ τῆς χρήσεως ἡ αὐθεντία οὐκ ἐπὶ τοσοῦτον ἰσχύει, ὡς καὶ τὸν νόμον καὶ τὸν λογισμὸν ὑπερνικᾷν*[10].

40. *Ἡ μακρὰ συνήθεια καὶ δοκιμασθεῖσα τάξιν ἔχει νόμου. καὶ ὅτι τὰ δοθέντα ὀφφικίοις ἢ πόλεσιν ἢ πρωτεύουσιν ἢ συστήμασιν ἰσχυρά ἐστι καὶ βέβαια εἰς τὸ διηνεκὲς ἰσχύοντα*[11].

41. *Ἡ διάταξις κελεύει μηκέτι τὸν δικαστὴν ἀκολουθεῖν ἑτέρᾳ ψήφῳ γεγενημένῃ, ἀλλὰ σκοπεῖν τί κατὰ νόμους ἀκόλουθον καὶ οὕτως ἀποφαίνεσθαι*[12].

---

[1] Bas. ib. 36—38. [2] Bas. ib. 41 th. 1. [3] Bas. ib. 42. [4] Bas. ib. 41. th. 3. [5] Bas. ib. 43. [6] Bas. ib. 44. 45. [7] Bas. ib. 47. [8] Bas. ib. 46. [9] Bas. ib. 50. [10] Bas. ib. 51. [11] Bas. ib. 52. [12] Bas. IX, 1, 80.

42. [*Ἔτι περὶ τῶν πεπονθότων ἀπόφανσιν, καὶ ἀποκαθισταμένων*][1]. — Ἐὰν τῆς ποινῆς παραχωρηθείσης τοῦ περιορισμοῦ καὶ ἡ οὐσία τοῦ καταδικασθέντος μείνῃ παρὰ τῷ δημοσίῳ, οὐχ ὑπόκειται τοῖς πρὸ τοῦ ἁμαρτήματος δανεισταῖς· εἰ δὲ μετὰ τῆς ἀξίας καὶ τὴν οὐσίαν ἔλαβεν, ἰσχυρῶς ἐνάγεται.

43. Ὁ κεφαλικῇ τιμωρίᾳ περιπεσὼν καὶ δημευθεὶς, καὶ μετὰ ταῦτα ἀποκατασταθεὶς, εἰ μὲν ἔλαβε πρᾶγμα ῥητὸν ἀπὸ τῆς οὐσίας αὐτοῦ, οὐκ ἐνάγεται παρὰ τῶν δανειστῶν· ἐὰν δὲ μέρος τῆς οὐσίας ἔλαβε, τυχὸν τρίτον ἢ τέταρτον ἢ ἥμισυ, πρὸς ἀναλογίαν τοῦ μέρους παρὰ τῶν ἰδίων δανειστῶν ἐνάγεται. ἐὰν δὲ ὡς χρεώστης δημοσίων πραγμάτων δημευθῇ, οὐκ ἀπόλλυνται αἱ ἀγωγαὶ τῶν δανειστῶν αὐτοῦ, ἀλλ' ἐνέχεται καὶ αὐτὸς καὶ οἱ ἐγγυηταί.

44. Ἐάν τις περιορισθεὶς καὶ ἀποκαταστὰς ὕστερον ἐπαναλαβὼν τὴν οὐσίαν αὐτοῦ μὴ βούληται ἐναχθῆναι παρὰ τῶν δανειστῶν, παρὰ τοὺς νόμους ποιεῖ.

45. *Περὶ ἀγνοίας νόμου ἢ φάκτου καὶ τίνες βοηθοῦνται ἐξ αὐτῆς.* — Ἡ ἄγνοια νόμου ἢ φάκτου ἐστίν. ἐὰν γὰρ ἀγνοήσῃ τελευτῆσαι τὸν συγγενῆ αὐτοῦ, οὐ τρέχει ὁ χρόνος τῆς διακατοχῆς· εἰ δὲ γινώσκει μὲν αὐτὸν τελευτῆσαι, ἢ καὶ τυχὸν διαθέσθαι εἰς αὐτὸν, ἀγνοεῖ δὲ ἐξ ἀδιαθέτου ἁρμόζειν αὐτῷ τὴν ἐκ διαθήκης διακατοχὴν, τρέχει ὁ χρόνος· περὶ γὰρ τὸν νόμον πλανᾶται. ταὐτόν ἐστι, κἂν ὁμοπάτριος ἀδελφὸς νομίζῃ προτιμᾶσθαι αὐτοῦ τὴν μητέρα[2].

46. Ἐπὶ παντὸς πράγματος προτιμάσθω τῆς ἀκριβείας τὸ δίκαιον[3].

47. Τῆς ἀκριβείας τῶν νόμων ὁ δικαστὴς φροντιζέτω μὴ τοῖς παρανόμως ῥηθεῖσι παρὰ βασιλέως προσέχων[4].

48. Πάντες οἱ ἄρχοντες καὶ οἱ θεῖοι δικασταὶ συντόμως τὰς δίκας τεμνέτωσαν[5].

49. *Περὶ τῶν ἀπράκτων ἡμερῶν*[6]. — Ἡ [ε'] διάταξις τοῦ ιβ' τί. τοῦ γ' βι. τοῦ κώδ. φησὶν, ὅτι ἐν ταῖς προλαβούσαις τοῦ πάσχα μ' ἡμέραις πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει. καὶ ἡ ς' διάτ. ὅτι ἄπρακτοί εἰσιν αἱ πρὸ

---

[1] Lips. hanc rubricam capiti 41 praeponit. — Capita 42—44 sumta sunt ex Mich. Attal. XXXV, 256—258. [2] Bas. II, 4, 1. [3] Bas. VII, 6, 8. [4] Bas. VII, 6, 11. [5] Bas. ib. 12. [6] Cap. 49. 50 sumta sunt ex Phot. Nomoc. VII. 1 et comm. Balsamonis.

τοῦ πάσχα ζʹ ἡμέραι, καὶ αἱ μετὰ τὸ πάσχα ζʹ, καὶ ἡ τοῦ χριστοῦ γέννων, καὶ τῶν θεοφανίων, καὶ ἡ τοῦ πάθους τῶν ἀποστόλων, καὶ ἡ κυριακή. καὶ ἐν ταῖς τοιαύταις ἡμέραις τοῦ πάσχα οὔτε χρέος ἰδιωτικὸν ἢ δημόσιον ἀπαιτεῖται. ἡ δὲ ζʹ διάτ. ἐπιτρέπει ἐν ταῖς αὐταῖς ιεʹ ἡμέραις ἐλευθερίας καὶ ἐμαγκιπατίωνας πράττεσθαι καὶ τὰ ἐπ᾽ αὐταῖς ὑπομνήματα συνίστασθαι. ἡ δὲ ηʹ διάτ. φησὶν, ὅτι καὶ ἐν τῇ μʹ καὶ ἐν ταῖς ἡμέραις τοῦ πάσχα βασανίζονται οἱ λησταὶ, ἐφ᾽ ᾧ καὶ τοὺς συνίστορας ἐξειπεῖν· καὶ διαφερόντως οἱ ἴσαυροι. ἡ δὲ γʹ διάτ. τοῦ δʹ τί. τοῦ αʹ βι. τοῦ κώδ. φησὶν, ὅτι ἐν ταῖς ἡμέραις τοῦ πάσχα οὐδεὶς ἐγκλείεται ἢ δεσμεῖται, πλὴν μοιχοῦ καὶ αἰσχρουργοῦ καὶ ἅρπαγος καὶ τυμβωρύχου καὶ γόητος καὶ παραχαράκτου καὶ φονέως καὶ πατροκτόνου καὶ τυράννου. πάντες οὗτοι πάντοτε ἀπολαμβάνουσιν. ἅπαξ δὲ μόνον οἱ λοιποὶ συγγινώσκονται. ἀνάγν. καὶ τὴν κατὰ τὸν μάρτιον μῆνα τῆς ιδʹ ἰνδ. τοῦ ͵ϛχοδʹ ἔτους ἀπολυθεῖσαν νεαρὰν τοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ τάδε κατὰ ῥῆμα μετὰ τὸ προοίμιον διαλαμβάνουσαν·

50. *Θεσπίζομεν οὖν ἐκείνας εἶναι τῶν ἡμερῶν ἀπράκτους, ἃς ἐν τῇ παρούσῃ διατάξει ῥητῶς ἀπαριθμησόμεθα. καί τινας μὲν αὐτῶν τὸ πάντῃ ἄπρακτον ἔχειν, ὡς μηδαμῶς δι᾽ ὅλου τοῦ αὐτῶν διαστήματος συνίστασθαι δικαστήριον, εἰ μὴ βασιλεὺς ἴσως οἰκονομίας τρόπῳ ἢ ἀνάγκῃ (ὁποῖα πολλάκις τὸ περιπετὲς τῶν πραγμάτων νεανιεύεται) θελήσει καθίσαι καὶ ἐν αὐταῖς δικαστήριον. τινὰς δὲ ἀπὸ μέρους ἄγειν τῶν δικαστηρίων σχολὴν, ὡς οἷον ἕωθεν μέχρι καὶ εἰς αὐτὸν τὸν τῆς λειτουργίας καιρὸν, ἵνα τοῖς δικασταῖς ἐξείῃ προσανέχειν εὐχῇ καὶ τῇ περὶ τὸ θεῖον δοξολογίᾳ, καὶ μετὰ τὴν θείαν δοξολογίαν ἤγουν ἱεροτελεστίαν ἐπιμελεῖσθαι καὶ τῆς δικαιοσύνης, καὶ τοῖς ἄδικα πεπονθόσιν ἐπαρήγειν κατὰ τὴν τῶν νόμων ἰσχύν. οἱ μέντοι οὕτω μετὰ τὴν θείαν λειτουργίαν ἐπιτετραμμένοι δικάζειν ἐν τοῖς γινομένοις παρ᾽ αὐτῶν σημειώμασι μεμνήσονται τοῦ καιροῦ, καθ᾽ ὃν τὰ σημειώματα πράττονται. καὶ δὴ πρῶτον περὶ τῶν τελείως ἀπράκτων διαληπτέον. τοίνυν ἡ κατὰ τὴν ηʹ τοῦ σεπτεμβρίου μηνὸς γενέθλιος ἡμέρα τῆς παναχράντου δεσποίνης καὶ θεομήτορος ἄπρακτός ἐστιν. ὡσαύτως καὶ ἡ ιδʹ, τῇ ὑψώσει τετιμημένη τοῦ ζωοφόρου σταυροῦ. καὶ ἡ κϛʹ, διὰ τὴν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου μετάστασιν. ἡ ϛʹ τοῦ ὀκτωβρίου, διὰ τὸ τὴν μνήμην ἐν αὐτῇ τελεῖσθαι τοῦ ἁγίου ἀποστόλου θωμᾶ.*

ἡ θ', διὰ τὸν τοῦ ἀλφαίου ἰάκωβον τὸν ἀπόστολον. καὶ ἡ ιη' διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν λουκᾶν. καὶ ἡ ιγ' τοῦ νοεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ ἡ μνήμη τοῦ χρυσοστόμου πατρὸς τελεῖται. ἡ ιδ', ὅτι ἐν αὐτῇ ὁ ἀπόστολος φίλιππος ἑορτάζεται. ἡ ις', ὅτι ὁ εὐαγγελιστὴς καὶ ἀπόστολος ματθαῖος τιμᾶται. ἡ κα', ὅτι τὰ εἰς τὸν ναὸν εἰσόδια τῆς θεομήτορος ἐν ταύτῃ πανηγυρίζεται. καὶ ἡ λ', ὅτι ὁ ἀπόστολος ἀνδρέας ἐν αὐτῇ ἑορτάζεται. ἡ θ' τοῦ δεκεμβρίου, ὡς τῆς συλλήψεως ἐν αὐτῇ τελουμένης τῆς ὑπεραγίας μητρὸς τοῦ θεοῦ ἡμῶν. ἡ κ' μέχρι καὶ αὐτῆς τῆς ς' τοῦ ἰανουαρίου, ὡς ἐν αὐταῖς ἑορταζομένων τῶν γενεθλίων καὶ τοῦ βαπτίσματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. ἡ ιη' τοῦ ἰανουαρίου, διὰ τοὺς θείους πατέρας καὶ διδασκάλους ἀθανάσιον καὶ κύριλλον. ἡ κε' διὰ τὴν μνήμην τοῦ μεγάλου πατρὸς γρηγορίου τοῦ θεολόγου. ἡ β' τοῦ φεβρουαρίου, διὰ τὴν τοῦ σωτῆρος ὑπαντήν. καὶ ἡ γ', διὰ τὴν τῆς μνήμης τοῦ θεοδόχου συμεὼν τελετήν. ἡ κε' τοῦ μαρτίου, διὰ τὸν τῆς θεομήτορος εὐαγγελισμόν. αἱ πασχάλιοι τῶν ἡμερῶν, ἀπ' αὐτῆς τῆς τοῦ λαζάρου ἐγέρσεως μέχρι καὶ ἐς αὐτὴν τὴν μετὰ τὸ ἅγιον πάσχα ὀγδόην. ἡ κε' τοῦ ἀπριλλίου, διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν μάρκον. καὶ ἡ λ', διὰ τὸν ἀπόστολον ἰάκωβον, τὸν τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ ἀδελφόν. ἡ η' τοῦ μαΐου, διὰ τὴν μνήμην τοῦ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου. ἡ ι', διὰ τὴν τοῦ ἀποστόλου σίμωνος τοῦ ζηλωτοῦ. ἡ κα', διὰ τὴν μνήμην τῶν ἁγίων καὶ ἰσαποστόλων μεγάλων βασιλέων κωνσταντίνου καὶ ἑλένης. ἡ ια' τοῦ ἰουνίου, διὰ τὸν ἀπόστολον βαρθολομαῖον. ἡ ιθ', διὰ τὸν ἀπόστολον ἰούδαν, τὸν ἀδελφὸν τοῦ κυρίου. ἡ κδ', διὰ τὸ τοῦ προδρόμου γενέθλιον. ἡ κθ', διὰ τὴν ἐπὶ τοῖς κορυφαίοις τῶν ἀποστόλων πέτρῳ καὶ παύλῳ πανήγυριν. καὶ ἡ λ', διὰ τὴν ἐπὶ τοῖς δώδεκα. ἡ κε' τοῦ ἰουλίου, διὰ τὴν τῆς ἁγίας ἄννης τῆς μητρὸς τῆς θεοτόκου κοίμησιν. ἡ ς' τοῦ αὐγούστου, διὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ μεταμόρφωσιν. ἡ θ', διὰ τὴν μνήμην τοῦ ἁγίου ἀποστόλου ματθίου. ἡ ιε', διὰ τὴν ὑπερένδοξον τῆς ἁγίας θεοτόκου μετάστασιν. ἡ κ', διὰ τὴν μνήμην τοῦ ἁγίου ἀποστόλου θαδδαίου. ἡ κδ', διὰ τὴν τοῦ ἀποστόλου βαρθολομαίου. καὶ ἡ κθ', διὰ τὴν τοῦ τιμίου προδρόμου ἀποτομήν. ταύταις ὡς τέλεον ἀπράκτοι συνεξετασθήσονται καὶ αἱ μεσότητες τῆς τεσσαρακονθημέρου νηστείας, καὶ τῆς πεντηκοστῆς, καὶ ἡ τοῦ σωτῆρος ἀνάληψις, καὶ ἡ πᾶσαι τῶν ἐν τῷ ἐνιαυτῷ ἡμερῶν κυριώνυμαι· ὡς ἐν

αὐταῖς ἀποκεκλεῖσθαι πᾶσαν πάροδον εἰς τὸ δικαστήριον, καὶ μηδέν τι μηδένα τῶν δικάζειν λαχόντων δικαστικὸν διαπράττεσθαι. αἵ γε μὴν τῶν δικαστηρίων ἀπὸ μέρους σχολάζουσαι, καὶ μὴ καθ' ὁλόκληρον (ὡς προειλήφαμεν) ἀπρακτήσουσαι, εἶεν ἂν αὗται. ἡ ς' τοῦ σεπτεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ τὸ ἐν χώναις τοῦ ἀρχιστρατήγου μιχαὴλ θαῦμα τερατουργεῖται. ἡ κγ' τοῦ ὀκτωβρίου, ὅτι τὴν μνήμην τοῦ ἀδελφοθέου ἰακώβου τελοῦμεν. ἡ κς', ὅτι τὸν μέγαν μάρτυρα καὶ μυροβλύτην δημήτριον ἑορτάζομεν. ἡ α' τοῦ νοεμβρίου, διὰ τὸ τοὺς θαυματουργοὺς καὶ ἀναργύρους κοσμᾶν καὶ δαμιανὸν ἑορτάζεσθαι. ἡ η', διὰ τὸ τὴν σύναξιν τῶν ἀσωμάτων τελεῖσθαι. καὶ ἡ κη', διὰ τὸ τὸν ὁσιομάρτυρα στέφανον τὸν νέον πανηγυρίζεσθαι. ἡ δ' τοῦ δεκεμβρίου, διὰ τὴν καλλιμάρτυρα βαρβάρην. ἡ ς', διὰ τὸν ἐν θαύμασι περιώνυμον καὶ μυροβλύτην νικόλαον. ἡ ι' τοῦ ἰανουαρίου, διὰ τὸν νύσσης θεῖον γρηγόριον. ἡ ις', διὰ τὴν προσκύνησιν τῆς τιμίας τοῦ κορυφαίου τῶν ἀποστόλων πέτρου ἁλύσεως. ἡ ιθ', διὰ τὴν ἀνακομιδὴν τοῦ τιμίου νεκροῦ τοῦ θεολόγου γρηγορίου. καὶ ἡ κζ', διὰ τὴν ἀνακομιδὴν τοῦ σεβασμίου λειψάνου τοῦ χρυσοστόμου. ἡ η' τοῦ φεβρουαρίου, διὰ τὸν μεγαλομάρτυρα στρατηλάτην θεόδωρον. καὶ ἡ ιζ', διὰ τὸν ἀθλοφόρον θεόδωρον τὸν τήρωνα. ἡ θ' τοῦ μαρτίου, ὡς τῆς μνήμης τελουμένης τῶν ἁγίων μαρτύρων τοῦ χριστοῦ μ'. ἡ κγ' τοῦ ἀπριλλίου, ὡς τοῦ μεγαλομάρτυρος γεωργίου τιμωμένου. ἡ β' τοῦ μαΐου, διὰ τὸν μέγαν ἀθανάσιον. ἡ η' τοῦ ἰουνίου, διὰ τὸν μεγαλομάρτυρα θεόδωρον τὸν στρατηλάτην. ἡ θ', διὰ τὸν ὅσιον πατέρα ἡμῶν κύριλλον ἀλεξανδρείας. καὶ ἡ κζ', διὰ τὸν ὅσιον καὶ θαυματουργὸν σαμψών. ἡ α' τοῦ ἰουλίου, ὅτι ἐν αὐτῇ τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων τὴν μνήμην τελοῦμεν. ἡ η', ὅτι τὸν μεγαλομάρτυρα προκόπιον ἑορτάζομεν. ἡ ια', ὅτι τὴν καλλιμάρτυρα εὐφημίαν πανηγυρίζομεν. ἡ κ', ὅτι τὸν προφήτην ἠλιοὺ τιμῶμεν. ἡ κζ', ὅτι τὸν θαυματουργὸν καὶ ἀθλοφόρον παντελεήμονα ἑορτάζομεν. καὶ ἡ λα' τοῦ αὐγούστου διὰ τὴν τῆς τιμίας ζώνης τῆς ἀχράντου θεοτόκου κατάθεσιν. αὗται δὲ πῶς μὲν ἄπρακτοι, πῶς δὲ ἔμπρακτοι, εἴρηται. τὰς μέντοι διὰ γέννησιν βασιλικὴν ἢ ἀναγόρευσιν τῶν ἡμερῶν σχολαζούσας, καὶ ταύτας τῆς ἐμπράκτοις ἐγκρίνει ἡ βασιλεία μου, ἀφ' ἑαυτῆς ἀρχομένη τοῦ παρόντος θεσμοθετήματος, καὶ ἐν οἷς αὐτὴ διαπράξοιτο διδάσκουσα τοὺς λοιπούς. οὐχ οὕτως γὰρ ὁ τῆς παρούσης διατάξεως λόγος πείσει τοὺς αὐτῷ προσανέχοντας, ὡς ἡ παρὰ

τῆς βασιλείας μου πρᾶξις· αὐτὰς γὰρ τὰς ἡμέρας, ἐν αἷς ἡ βασιλεία μου καὶ εἰς τὸν τῇδε βίον προῆκται, καὶ εἰς βασιλείαν θεοῦ προνοίᾳ ἀνῆκται, ἐμπράκτους εἶναι θεσπίζει, καὶ μηδεμίαν ἐκεχειρίαν ἐν ταύταις ἄγειν τὰ δικαστήρια. πᾶσαι μέντοι αἱ παρὰ τὰς ἄνω καταγραφείσας ἡμέρας τοῦ χρόνου καὶ ἔμπρακτοι ἔσονται, καὶ δικαστήρια ἐν αὐταῖς γενήσονται, καὶ ἐκβιβασμοὶ ἀκολούθως ταῖς δικαστικαῖς ἀποφάνσεσι. πέπεισμαι δὲ, ὅτι καὶ θεῷ φίλον ἔσται τὸ παρὸν τῆς βασιλείας μου θεσμοθέτημα· ταλανίζων γὰρ τοὺς φαρισαίους ὁ κύριος καὶ αὐτοῦ τοῦ ἐλέους τὴν κρίσιν προέταξεν.

51. Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης οὐδεὶς ἀναγκάζεται δικάζεσθαι[1].

52. Ἐν ταῖς ἀφωρισμέναις ἡμέραις εἰς τὴν τοῦ θεοῦ τιμὴν οὐ χρὴ θέαν ἐπιτελεῖσθαι· οὐδὲ ἀπαιτήσεις ἐν αὐταῖς προβαίνειν· ὅθεν καὶ ἡ κυριακὴ οὕτω τιμάσθω, ὥστε μηδένα προβαίνειν ἐκβιβασμὸν ἐν αὐτῇ, μηδὲ ὑπόμνησιν, μηδὲ ἐγγύων ἀπαίτησιν· σιωπᾶν δὲ καὶ τοὺς ταξεώτας καὶ τοὺς δικολόγους, μηδὲ τοὺς κήρυκας κεχρῆσθαι τῇ συνήθει φωνῇ, μήτε δικάζεσθαί τινα· σύμφωνα δὲ καὶ διαλύσεις ἐν κυριακῇ ποιεῖν ἔξεστι· μηδὲ ἱππικὸν ἢ κυνήγιον ἐπιτελείσθω ἐν κυριακῇ, κἂν εἰ συμβῇ τὴν γενεθλιακὴν ἡμέραν τοῦ βασιλέως ἢ καθ᾿ ἣν ἀνηγορεύθη εἰς κυριακὴν ἀπαντῆσαι· ὁ δὲ ταῦτα παραβαίνων ἄρχων ἢ ταξεώτης τῆς ζώνης ἐκπιπτέτω καὶ δημευέσθω[2].

53. *Περὶ δικαιοσύνης νόμων καὶ περὶ ῥημάτων σημασίας καὶ περὶ διαφόρων κανόνων.* — Νόμος ἐστὶ τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου. καὶ ἕτερος ὅρος· κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα, ἑκουσίων ἁμαρτημάτων καὶ ἀκουσίων ἐπιστροφὴ καὶ σωφρονισμὸς, πόλεως συνθήκη κοινή· ἐστὶ δὲ καὶ θεῖον εὕρημα καὶ εὐεργέτημα[3].

54. Παράγγελμα τοῦ νόμου τὸ κοσμίως καὶ εὐσχημόνως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν[4].

55. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι ἐν ἐξουσίᾳ ἰδίᾳ[5].

56. Σοφία δὲ νόμου τὸ εἰδέναι τὰ θεῖα καὶ τὰ ἀνθρώπινα πράγματα, τὸ δίκαιον καὶ τὸ ἄδικον[6].

---

[1] Bas. VII, 17, 1. — Caeterum haec et quae sequuntur capita pleraque non ex ipsis Basilicis sed ex Appendice Michaelis Attalensis desumta sunt. [2] Bas. ib. 27. [3] Bas. II, 1, 1. 13. [4] Bas. ib. 10. [5] Epanag. I, 3. [6] Bas. II, 1, 10.

57. *Εἰδέναι δὲ νόμους ἐστὶν, οὐ τὸ γινώσκειν τὰ ῥήματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν*[1].

58. *Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν τοῦ βασιλέως. ἐν γὰρ τοῖς ἀμφιβόλοις τὴν φιλόκαλον ἀγάπην προσιέμεθα*[2].

59. *Μεῖζον μέρος τῆς ἡμέρας ἐστὶν αἱ πρῶται ς' ὧραι, οὐ μὴν αἱ ὕστεραι*[3].

60. *Δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον*[4].

61. *Σοφία δικαιοσύνης τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα*[5].

62. *Δύο εἴδη τεράτων εἰσίν· ἓν μὲν, ὁσάκις τὶς παρὰ φύσιν τίκτεται τρισὶ χερσὶ τυχὸν ἢ ποσὶν ἢ ἄλλῳ τινὶ μέρει τοῦ σώματος ἐναντίως τῇ φύσει πεπλασμένῳ. ἕτερον δὲ, ὅταν τὶ τερατῶδές ἐστι, ἅπερ οἱ ἕλληνες φάσματα καλοῦσι*[6].

63. *Τῷ ὀνόματι των χρημάτων οὐ μόνα τὰ χρήματα, ἀλλὰ πάντα κινητὰ καὶ ἀκίνητα καὶ σωματικὰ καὶ δίκαια δηλοῦνται*[7].

64. *Αἱ γυναῖκες πάντων τῶν πολιτικῶν καὶ τῶν δημοσίων ὀφφικίων κωλύονται, καὶ διὰ τοῦτο οὐ δικάζουσιν, οὐκ ἄρχουσιν, οὐ συνηγοροῦσιν, οὐ παρεμβάλλουσιν ὑπὲρ ἄλλων, οὐ γίνονται φροντισταί. ἀλλὰ καὶ οἱ ἄνηβοι πάντων τῶν πολιτικῶν [καὶ] δημοσίων κωλύονται*[8].

65. *Ἐκείνου ἐστὶ τὸ μὴ θέλειν, τοῦ δυναμένου ἐθέλειν*[9].

66. *Πλέον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν*[10].

67. *Ἐν τοῖς ἀμφιβόλοις νικάτω τὸ φιλάνθρωπον*[11].

68. *Ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ νεμόμενος*[12].

69. *Οὐ δοκεῖ ἄπαις τελευτᾷν ὁ καταλιπὼν ἔγκυον γαμετήν*[13].

70. *Κανονικῶς ἡ τοῦ φάκτου ἄγνοια οὐδένα βλάπτει, [ἡ δὲ τοῦ νόμου πάντας βλάπτει], πλὴν τῶν ἀφηλίκων, καὶ ἔν τισι τῶν γυναικῶν, ἔνθα ἐστὶν ἁμάρτημα. ἀλλὰ νόμου ἄγνοια. ἡ φάκτου καὶ ἀνδράσι καὶ γυναιξὶ βοηθεῖ ἐπὶ κέρδους καὶ ζημίας, ἡ δὲ τοῦ νόμου ἐπὶ μὲν κέρδους οὐδὲ γυναιξὶ βοηθεῖ, ἐπὶ δὲ ζημίας οὐδένα βλάπτει θέλοντα τὸ ἴδιον ἀπαιτῆσαι*[14].

71. *Ἄκοντι εὐεργεσία οὐ δίδοται*[15].

---

[1] Bas. ib. 27. [2] Bas. ib. 28. 29. Epanag. II, 8. [3] Bas. II, 2, 2 th. 2. [4] Bas. II, 1, 10. [5] Epanag. I, 6. [6] Bas. II, 2, 36. [7] Bas. II, 2, 214. [8] Bas. II, 3, 2. [9] Bas. ib. 3. [10] Bas. II, 3, 122. [11] Bas. ib. 56. [12] Bas. ib. 128. [13] Bas. ib. 187. [13] Bas. II, 4, 8. 9. [15] Bas. II, 3, 69.

72. Ἐὰν ἐξ ἴσων δικαστῶν ἐναντίαι γίνονται ψῆφοι, ἐπὶ μὲν ἐλευθερίας τὰ ὑπὲρ αὐτῆς κρατεῖ· ἐπὶ δὲ τῶν ἄλλων, κἂν ἐγκλήματα ὦσι, τὰ ὑπὲρ τοῦ φεύγοντος· εἰς δὲ εἰ διαφόρους ποσότητας κατεδίκασαν, ἡ ἐλάττων κρατεῖ[1].

73. Εἰ ἐκ τριῶν δικαστῶν ὁ εἷς ἄπεστιν, οὐ δικάζουσιν οἱ δύο· εἰ δὲ παρόντες διαφωνοῦσιν, ἡ τῶν δύο ψῆφος νικᾷ. νόμος δὲ νεώτερος ἐθέσπισεν, ἵνα ἐὰν διαφωνήσωσιν οἱ δικασταί, ἕκαστος τὴν ἰδίαν γνώμην ἐγγράφως ποιῇ· ἐντεῦθεν διορισάμενος, ἵνα μὴ τῷ πλήθει, ἀλλὰ τῷ δικαίως λέγοντι προσέχωμεν καὶ προστιθώμεθα[2].

74. Οἱ στρατιωτικοὶ ἄρχοντες δικαζέτωσαν τοῖς στρατιώταις ἐπὶ στρατιωτικαῖς καὶ μόναις αἰτίαις[3].

75. Οὐ δίδοται δικαστής, ὃν ὀνομαστὶ τὸ ἓν μέρος αἰτήσει, εἰ μὴ βασιλεὺς ἰδικῶς ἐπιτρέψει[4].

76. Ἡ διάταξις κελεύει ἐξουσίαν ἔχειν τὸν δικαστὴν ἕνεκεν συμβολαίων ἢ προσώπων συμβαλλομένων τῇ δίκῃ παρέχειν δικαζομένοις προθεσμίαν· εἰ μὲν ἐν αὐτῇ τῇ ἐπαρχίᾳ, καθ' ἣν ἡ δίκη λέγεται, φασὶ ταῦτα τυγχάνειν, μὴ περαιτέρω τριῶν μηνῶν προθεσμίαν παρεχέτω· εἰ δὲ ἐν ἑτέρᾳ ὑπάρχει, ἓξ μῆνες λόγῳ προθεσμίας παρασχεθήσονται· εἰ δὲ ἀπὼν εἴη, ἐννέα μηνῶν ἐκχωρείσθω διάστημα[5].

77. Μόνας διηνεκεῖς ποιείτω τὰς ἀγωγὰς ἡ τοῦ βασιλέως ἀντιγραφή[6].

78. Ἀργείτω πᾶσα οἱαδήποτε πρὸς τὸν τυχόντα δικαστὴν ἀντιγραφὴ γενικῷ παλαιουμένη νόμῳ ἢ τὸν δημόσιον καταβλάπτουσα[7].

79. Ὁ βασιλεὺς τοῖς νόμοις οὐχ ὑπόκειται, τουτέστιν ἐὰν ἁμαρτήσῃ, οὐ κολάζεται. ἡ αὐγούστα δὲ ὑπόκειται· δίδωσι δὲ [αὐτῇ] ὁ βασιλεὺς τὰ ἑαυτοῦ προνόμια. οὐ δεῖ δὲ δικάζειν ἢ ἀποκρίνεσθαι ἀπὸ προκομιδῆς μέρους νόμου[8].

80. Αἱ μεταγενέστεραι διατάξεις ἰσχυρότεραί εἰσι τῶν προτέρων. καὶ κατὰ βασιλέως οἱ γενικοὶ κρατείτωσαν νόμοι· καὶ πᾶσα παράνομος ἐκβαλλέσθω ἀντιγραφή. τὰ δὲ παρὰ βασιλέως διὰ κρίσεως παρισταμένων τῶν δύο μερῶν ἀποφανθέντα οὐ δέεται ὅλως τῆς ἑτέρων ἀναψηλαφήσεως ἢ ἐξετάσεως[9].

81. Βασιλέως ἀκροωμένου οὐκ ἔξεστιν αἰτεῖν προθεσμίαν,

---

[1] Bas. IX, 3, 38. [2] Bas. ib. 39. [3] Bas. VII, 6, 15. [4] Bas. VII, 5, 46. [5] Bas. VII, 17, 11. [6] Bas. III, 5, 10. [7] Bas. III, 5, 19. [8] Bas. II, 6, 1 et 1, 34. [9] Bas. ib. 5. 9.

ἐπειδὴ ἐμπαράσκευοι ὀφείλουσιν εἶναι οἱ παρὰ τῷ βασιλεῖ διαγινωσκόμενοι[1].

82. Περὶ συνηγόρων[2]. — Ὁ δι' ἀπληστίαν τῷ οἰκείῳ συνθέμενος πρόσφυγι, ὥστε φανερὰν τῆς δίκης μοῖραν μετὰ νίκην λαβεῖν, καὶ ἐπιμείνας, τοῦ συνηγορεῖν ἐκβαλλέσθω.

83. Ἡ διάταξίς φησι, μηδέποτε τὸν αὐτὸν καὶ δικολογεῖν καὶ δικάζειν· μηδὲ ἐξεῖναι τῷ δικολόγῳ τὸν αὐτοῦ διάδικον ἢ φανερῶς ἢ λαθραίως ὑβρίσαι. ἐὰν δὲ ὑβρίσῃ, ἀτιμούσθω.

84. Ἀλλὰ μηδὲ σύμφωνον ἢ συνάλλαγμα περὶ τῆς δίκης ἢ τοῦ μισθοῦ ποιεῖσθαι.

85. Τοὺς δὲ δικολόγους τοὺς δυναμένους λαμβάνειν μισθὸν μετ' εὐχαριστίας δέχεσθαι τοὺς ἑκουσίως καὶ μόνους φερομένους μισθούς.

86. Ἀξιωματικοὺς δὲ μὴ κατά τινα τρόπον ἐπὶ μισθῷ συνηγορεῖν. εἰ δὲ βούλονται συνηγορεῖν, ἐπὶ αὐξήσει καὶ μόνῃ τῶν ἰδίων ἐπαίνων τοῦτο ποιείτωσαν. συνήγοροι δὲ καθ' ἕκαστον δικαστήριον ὑπῆρχον ἀφωρισμένοι τὸ παλαιόν, ἵνα προσεδρευόντων αὐτῶν αἱ δίκαι παρέρχωνται. ἑκατὸν πεντήκοντα παρηκολούθουν τῷ ἐπάρχῳ τῶν πραιτωρίων· ὡσαύτως καὶ τῷ ἐπάρχῳ τῆς πόλεως.

87. Ὅσα παρὰ τῶν δικαζομένων ἢ τῶν συνηγόρων παραλιμπάνεται, παρὰ τῶν δικαζόντων ταῦτα ἀναπληρούσθωσαν[3].

88. Ἐντολή ἐστιν, ὅταν τὶς ἀξιώσῃ τινὰ ἀγοράσαι πρᾶγμα εἰς πρόσωπον αὐτοῦ ἢ μισθώσασθαι ἢ ἄλλο τὶ ποιῆσαι. καὶ ὁ καταδεξάμενος τὴν ἐντολήν, εἰ μὴ τελειώσῃ αὐτὴν ἢ παρὰ τὴν ἐντολὴν πράξῃ, ἐνάγεται εἰς τὸ διαφέρον[4].

89. Θέσπισμα τοῦ ἀοιδίμου βασιλέως κυροῦ λέοντος τοῦ σοφοῦ περὶ τῶν κτιζόντων ἐν ἀγρωτικοῖς τόποις, ἵνα ὁ κτίζων πλησίον γυμνοῦ τόπου γείτονος, εἰ μὲν ἀφθονία ἐστὶ τοῦ τόπου, ἀποφεύγῃ δύο τόξων βολήν· εἰ δὲ ἔνδεια, ἑνὸς τόξον βολήν[5].

90. Ἀλλὰ καὶ περὶ τῶν ἐποχῶν νενομοθέτηται, ἵνα ὁ νεμηθεὶς ἀλλότριον πρόθυρον δι' ἐποχῆς, ἐπὶ δέκα ἐνιαυτοὺς παρόντος καὶ τοῦ δεσπότου τοῦ τόπου, εἴκοσι δὲ ἀπόντος, μὴ ἐκδιώκηται. πλὴν μηδὲ τὸν δεσπότην στερεῖσθαι τοῦ προ-

---

[1] Bas. VII, 17, 15. [2] Capp. 82—87 sunt ex Mich. Attal. XXXVII.
[3] Nonnulli hic intercalant fragmenta duo περὶ ὅρκου sive περὶ ἐνδίκου ὅρκου. Γίνωσκε ὅτι οἱ τοῦ βήματος δι' ἐγγραφῆς — et Ὁ ἔνδικος ὅρκος (Attal. XIV, 23). [4] Mich. Attal. VIII, 1. [5] Capp. 89—92 sunt ex Appendice Mich. Attalensis.

θύρου κέρδους, ἀλλὰ λαμβάνειν τὸ ἐπιλαγχάνον αὐτῷ τοπιατικόν.

91. Καὶ ὅτε νέα ἐποχὴ μέλλει στῆναι, ὀφείλει ἔχειν διάστημα ἐν μέσῳ ἀπὸ τρανέας ἕως τρανέας ὀργυιῶν τξε΄. καὶ τὸ δὴ θαυμασιώτερον, ἵνα ὅταν τὶς ἔχῃ πρόθυρον θαλάσσιον, μὴ ἐξαρκῇ δὲ τοῦτο εἰς τὴν περίληψιν τοῦ τῆς ἐποχῆς κατέργου, καταναγκάζει τὸν γείτονα καὶ ἄκοντα ἐφιέναι αὐτῷ ἐξαπλοῦν καὶ εἰς τὸ πρόθυρον ἐκείνου τὴν ἐποχὴν, καὶ κοινωνὸν προσλαμβάνεσθαι τοῦ ἐκ τῆς ἄγρας κέρδους. καὶ ἡ διασκευὴ ὡραιοτάτη. φιλάνθρωπον γὰρ ἴσμεν καὶ ἄκοντά τινα μετασχεῖν εὐεργεσίας. ἐνταῦθα δὲ πολὺ μείζων ἡ φιλανθρωπία, μὴ μόνον ἄκοντος εὐεργετουμένου τοῦ μὴ συνιέντος τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοῦ παραλόγως αὐτῆς ἀποστερουμένου μὴ τὴν ἀποστέρησιν ὑπομένοντος.

92.[1] *Νεαρὰ τοῦ βασιλέως κυροῦ ῥωμανοῦ τοῦ πρεσβύτου περὶ προτιμήσεως.* — Ὁ δὲ κῦρις ῥωμανὸς ἐκεῖνος ὁ πρεσβύτης ἐνομοθέτησεν, ὡς εἴπερ περὶ προτιμήσεως κινηθῇ δικαστήριον, τυχὸν ἀπὸ ἴσου προσώπου πρὸς ἴσον τῆς πράξεως γενομένης, ἐθέσπισεν, ἵνα πρῶτοι κληθῶσιν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς· εἶτα οἱ οὕτως συμπεπλεγμένοι κοινωνοί· καὶ μετὰ τούτους οἱ μόνον ἀναμεμιγμένοι εἰ καὶ ξένοι τυγχάνοιεν· ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς· μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ὁμοτελεῖς δὲ ἐκάλεσε τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους. κατὰ πρόφασιν δὲ προικὸς καὶ προγαμιαίας δωρεᾶς ἢ ἁπλῆς ἢ θανάτου αἰτίᾳ δωρεᾶς ἢ ἐκ διαθήκης ἢ ἀνταλλαγῆς ἢ διαλύσεως ἄδειαν δέδωκε τὴν ἐκποίησιν γίνεσθαι καὶ μὴ προτίμησιν κινεῖσθαι κατ᾽ αὐτῶν. εἰ δὲ ὑπολαμβάνει τὶς προσποίησιν τούτων τινὰ ἐν τῷ φανερῷ, λαθραίως [δὲ] πρᾶξιν γενέσθαι ἢ μίσθωσιν, ἔξεστί, φησι, τῷ ἀνακοίνωσιν ἔχοντι ὅρκῳ καθυποβάλλειν τοὺς συναλλάσσοντας.

93. *Ἑτέρα νεαρὰ τοῦ βασιλέως κυροῦ κωνσταντίνου περὶ τοῦ αὐτοῦ.* — Παλαιὸς νόμος ἐστὶ μηδένα κωλύεσθαι μήτε παρὰ συγγενῶν μήτε παρὰ κοινωνῶν τὸ ἴδιον ὅπου βούλεται πωλεῖν καὶ διῃρημένως καὶ ἐξ ἀδιαιρέτου, εἰ καὶ ἕτερος νόμος τοὐναντίον ἀπαγορεύει, μὴ ἐξεῖναι πιπράσκειν ἑτέρῳ ἢ μόνοις τοῖς τῆς ἰδίας μητροκωμίας οἰκήτορσιν. ἡμεῖς δὲ πολλὴν τιθέμενοι πρόνοιαν τῶν ἡμετέρων ὑπηκόων

---

[1] Vatic. 856 vocat τί. μα΄.

σαφῆ καὶ σύντομον λόγον θεσπίζομεν, ἐν πάσῃ πόλει καὶ χώρᾳ καὶ ἐπαρχίᾳ, ἵνα εἴ τινες λοιπὸν ὡς ἀπὸ συγγενείας διῃρημένως ἢ ἀδιαιρέτως, ἢ ὡς ἐκ κοινῆς ἀγορασίας ἢ ἄλλης τοιουτοτρόπου δεσποτείας ἢ κτήσεως, ἢ οἱ μὲν ἐκ συγγενείας ἢ ἐξ ἐπικτήσεως, ἐπίκοινον οἰκίαν ἢ ἀγρὸν ἢ ἀμπελῶνα ἢ ἕτερον οἱονοῦν ἀκίνητον ἔχοντες, ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἐπικοίνου τοῖς ἐγγίζουσι κτήμασι κατά τι μέρος ἀναμεμιγμένοι ἢ συμπαρακείμενοι ὁμοτελεῖς, βουληθεῖεν ἐκποιεῖσθαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν ἢ μίσθωσιν, μὴ πρότερον ἑτέρῳ τινὶ ἐκποιείτωσαν εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρωνται, οὓς καλοῦμεν κατὰ τάξιν εἰς τὴν προτίμησιν· ἵνα πρῶτοι κληθῶσιν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς, εἶθ᾽ οὕτως οἱ συμπεπλεγμένοι κοινωνοὶ, μεθ᾽ οὓς οἱ μόνον ἀναμεμιγμένοι καὶ μὴ ὄντες συγγενεῖς, εἰ καὶ ξένοι πάντῃ τῷ ἐκχωροῦντι τυγχάνοιεν· ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς· μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συνηνωμένοι. ὁμοτελεῖς δέ φαμεν πάντας τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους, κἂν ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται. πέριξ δὲ πολλῶν τοῦ πιπρασκομένου παρακειμένων ἢ τοῦ ἐκχωρουμένου κτήματος ὁμορούντων, πᾶσι κατὰ τὴν αὐτὴν τάξιν ἡ περὶ προτιμήσεως διαμαρτυρία ἐκτελείσθω, ἵνα τῶν πρωτιμωμένων ἴσως παραιτουμένων οἱ ἐφεξῆς καλούμενοι, εἴγε βούλοιντο, συναλλάξαιεν. εἰ μέντοι πάντες ἐκ τῶν ἴσων ἔρχονται προνομίων, ὡς κατὰ μηδὲν ἀλλήλων προκεκρίσθαι ἐπὶ τῇ τοιαύτῃ προκλήσει, ἡ αὐτὴ πᾶσιν ὁμοίως γινέσθω προσφώνησις, ἵνα ἐντὸς λ′ ἡμερῶν τὸ ἄξιον τίμημα, ὅπερ ἀῤῥαδιουργήτως ἕτερος ἀγοραστὴς χωρὶς λόγου δίδωσιν, ἀνυπερθέτως καταβάλωνται καὶ ἀναλόγως ἀφ᾽ ἑαυτῶν ἢ ἔκ τινος ἀρχῆς τοῦτο μερίσωνται. ὅσοι δὲ μὴ ἐκπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς παράσχοιεν ἀποτίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως, πλὴν εἰ μή τις αὐτῶν αἰχμάλωτός ἐστιν ἢ περιωρισμένος ἢ ἐξόριστος, ἢ ἐν δημοσίαις ἢ καὶ ἰδίαις χρείαις ἀδόλως ἀπολιμπάνεται, ἢ οὔπω τὸν κε′ χρόνον τῆς ἰδίας διήνυσεν ἡλικίας. τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσόντων ἀναδεδεγμένοι ἐντὸς δ′ μηνῶν μετὰ τῶν συμπαρακειμένων νέων ἀγοραστῶν πρὸς τὸ ἀναλογοῦν συνεισέρχονται, ἀναπληροῦντες αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου καὶ τῶν ἀναγκαίων ἀναλωμάτων· τοὺς δὲ ξένους ἀγοραστὰς ἀπωθοῦνται τελείως, τὸ τίμημα μετὰ τῶν τόκων καὶ τὰς ὡς εἰκὸς δαπάνας ἀναδιδόντες αὐτοῖς. εἰ δὲ οἱ τῶν εἰρημένων προσώπων διοικηταὶ ὑφορῶνται, μήπως τὸ παρ᾽ αὐτῶν πραχθὲν

ἐκεῖνοι δεκτὸν οὐχ ἡγήσωνται, μετ' ἐγγράφου νομικῆς διαγνώσεως ἢ ἀποβαλλέσθωσαν ἢ καταδεχέσθωσαν τὸ συνάλλαγμα. εἰ δὲ καὶ πρὸς τοῦτο ῥαθυμήσουσιν, οἴκοθεν αὐτοῖς παρεχέτωσαν πᾶν κέρδος καὶ πᾶσαν ὠφέλειαν, ἣν ἔμελλον ἕξειν ἐκεῖνοι, εἴπερ ἔσπευσαν οὗτοι πρὸς τὸ συνάλλαγμα. ταῦτα μὲν ἐπὶ συγγενῶν καὶ κοινωνῶν καὶ συμπαρακειμένων ὁμοτελῶν. ἀλλὰ καὶ ἐπὶ τῆς ὁμάδος τῶν καλουμένων χωρίων ἢ ἀγριδίων πολλῷ μᾶλλον κρατείτω, ἵνα καὶ οἱ οἰκήτορες αὐτῶν πρὸς ἀλλήλους ἔχωσι τὴν προτίμησιν. εἰ δὲ πάντες παραιτήσονται οἷς δίδοται ἡ προτίμησις, ἢ δείκνυνται ὅτι αἴτιοι χρηματικῆς ζημίας ἢ σωματικῆς ἐπιβουλῆς τε καὶ ἀτιμίας τραχείας τῷ ἐκποιοῦντι καὶ τῇ αὐτοῦ φαμιλίᾳ, οὐ κατὰ τύχην ἀλλ' ἐκ προνοίας, δι' ἑαυτῶν ἢ διὰ τῶν προσηκόντων αὐτοῖς αἴτιοί εἰσι γεγονότες, τοὺς τοιούτους ἄκοντος τοῦ πεπονθότος κατ' οὐδένα τρόπον εἰς τὴν ἐκείνου κτῆσιν κελευόμεθα εἰσενεχθῆναι. κατὰ πρόφασιν μέντοι προικὸς ἢ προγαμιαίας δωρεᾶς ἢ ἁπλῆς ἢ θανάτου αἰτίᾳ δωρεᾶς ἢ διαθήκης ἢ ἀνταλλαγῆς ἢ διαλύσεως καὶ οἰκεῖοι καὶ ἐξωτικοὶ ἐκποιείτωσαν ἅπαντες· μόνον ἵνα μή τις κατὰ σκῆψιν λάθρα πωλήσας ἢ μισθώσας τοῖς μὴ προτιμωμένοις, ἐν τῷ φανερῷ δωρεῖσθαι ἢ λεγατεύειν ἤ τι τῶν εἰρημένων προσποιήσηται. διὰ ταῦτα γὰρ καὶ ὅρκον τοῦ τε διδόντος καὶ τοῦ λαμβάνοντος οἱ τὸ δίκαιον τῆς προτιμήσεως ἔχοντες δύνανται ἀπαιτεῖν. εἰ δὲ οἱ ἐκποιοῦντες πρὸς περιγραφὴν τῆς ἡμετέρας νομοθεσίας ἄλλο τὶ πρᾶξαι τολμήσουσι, καὶ ἄλλο τὶ ἐκ τοῦ φανεροῦ προσποιήσονται, εἰ μὲν μετὰ τὸν ὅρκον ἐλεγχθῶσιν, αὐτοί τε καὶ οἱ οὕτω αὐτοῖς δολερῶς συναλλάξαντες τὰς τῆς ἐπιορκίας ποινὰς ὑφέξουσι, καὶ ὁ μὲν τοῦ κτήματος, ὁ δὲ τοῦ λάθρα καταβληθέντος τιμήματος ἐκπεσεῖται, καὶ ἀμφότερα τῷ δημοσίῳ εἰσκομισθήσονται, ἵνα ὑπὸ τοῦ δημοσίου εἰς τοὺς πλησιάζοντας διαπραθῶσιν. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι, καὶ τὸ πραχθὲν ἄκυρον ἔσται, καὶ τὸ κτῆμα ὁ ἅπαξ πειραθεὶς ἐκποιῆσαι καὶ ἄκων ἀπεμπολῆσαι ἀναγκασθήσεται εἰς ἐκείνους, οἷς δεδώκαμεν τὴν προτίμησιν. τοῖς δυνατοῖς ἀπαγορεύομεν τοῦ λοιποῦ υἱοθεσίας τρόπῳ ἢ ἀπὸ δωρεᾶς ἁπλῆς ἢ θανάτου αἰτίᾳ ἢ ἐκ διαθήκης ἢ κατὰ μόνην χρῆσιν ἢ ὡς ἐπί τινι προστασίᾳ καὶ συνδρομῇ λαμβάνειν τὶ παρὰ τῶν εὐτελεστέρων, εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν. ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖσθαι ἢ μισθώσεις ἢ ἀνταλλαγὰς ἔν τισι χωρίοις ἢ ἀγριδίος, ἐν οἷς οὐκ ἔχουσιν ἴδια κτήματα.

ἐκεῖνοι δὲ νοείσθωσαν δυνατοὶ, οἵτινες κἂν μὴ δι᾽ ἑαυτῶν, ἀλλ᾽ οὖν καὶ διὰ τῆς ἑτέρων δυναστείας, πρὸς οὓς πεπαῤῥησιασμένως ᾠκείωνται, ἱκανοί εἰσιν ἐκφοβῆσαι τοὺς ἐκποιητὰς, ἢ πρὸς εὐεργεσίας ὑπόσχεσιν τὴν πληροφορίαν αὐτοῖς παρασχεῖν. εἰ δὲ τῶν εἰρημένων δυνατῶν προσώπων τὶς τοιοῦτόν τι ἐγχειρήσει διαπράξασθαι, καὶ τοῦ κτήματος στερηθήσεται καὶ τὴν ἀποτίμησιν αὐτοῦ τῷ δημοσίῳ εἰσπραχθήσεται[1].

94. Ἡ γεγενημένη νομοθεσία περὶ προτιμήσεως ἀπαγορεύει δυνατοῖς προσώποις υἱοθεσίας τρόπῳ ἢ ἀπὸ δωρεᾶς ἁπλῆς ἢ θανάτου αἰτίας ἢ ἐκ διαθήκης ἢ κατὰ μόνην χρῆσιν ἢ ὡς ἐπί τινι προστασίᾳ καὶ συνδρομῇ[2] λαμβάνειν τὶ τῶν εὐτελεστέρων, εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν· ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖν ἢ μισθώσεις ἢ ἀνταλλαγὰς ἐν χωρίοις ἢ ἀγριδίοις, ἐν οἷς οὐκ ἔχουσιν ἴδια κτήματα. λέγει δὲ τὸν πωλοῦντα μὴ πρότερον πωλεῖν ἑτέρῳ τινὶ τὸ πιπρασκόμενον, εἰ μὴ τοῖς προτιμωμένοις διαμαρτύρηται.

95. Πρόσταξις[3] τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων, τάδε κατὰ ῥῆμα διεξιοῦσα· Πρᾶγμα καὶ εἰς θεοῦ τολμώμενον περιφρόνησιν καὶ εἰς ἀθέτησιν θεσμῶν φυσικῶν παρὰ τῶν (ὅ φασι) μήτε θεοῦ ὄπιν μήτ᾽ ἀνθρώπων νέμεσιν ὑφορωμένων ὡς ἔοικεν οὐκ ἀνεκτὸν ὅλως ἐλογίσθη τῇ βασιλείᾳ μου εἰς ἀκοὰς αὐτῇ πεπτωκός. ἔνθεν τοι καὶ ὡς πάντη τοῦ τῶν χριστωνύμων ἀνάξιον ἐπαγγέλματος διορθοῖται τοῦτο ἡ βασιλεία μου. ἀνηνέχθη γὰρ αὐτῇ, ὡς ἐν ταῖς ἀπὸ τοῦ ζῆν ἐκδημίαις τῶν ὁπουδήποτε ἀρχιερατευόντων ἐν ταῖς ἁγιωτάταις τοῦ θεοῦ ἐκκλησίαις, πῆ μὲν καὶ πρὸ τῆς αὐτῶν ἐκφορᾶς, πῆ δὲ καὶ μετὰ τὴν ἐκφορὰν, οἱ κατὰ χώραν ἐνεργοῦντες προφάσει τῆς αὐτῶν τελευτῆς τῶν τε κελλίων αὐτῶν ἀπανθρώπως κατεπεμβαίνουσι καὶ τῶν ὑπὸ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀκινήτων· καὶ ἀφαιροῦνται μὲν ἅπαντα τὰ ἐν τούτοις παρευρεθέντα τῶν ὑπαρχόντων αὐτοῖς, καθολικὴν δὲ ποιοῦνται τῶν τοιούτων ἀκινήτων ἀπαίτησιν, καὶ παντοίως ἑτέρως ταῦτα συντρίβουσιν. ἡ γοῦν βασιλεία μου μηδὲ μέχρι καὶ εἰς ἄκουσμα μόνον ἀνασχετὴν ἡγησαμένη τὴν ταιαύτην τόλμαν αὐτῶν,

[1] Coll. III Nov. 2. [2] Cod. προαστείῳ καὶ συνδρομήν. [3] Coll. IV Nov. 65 ex Bals. ad c. 35 syn. Trullanae. — Vatic. 856 praeponit rubricam: τίτλος μβ'.

ἵνα μὴ καὶ τῆς ἐπὶ τοῖς θανάτοις τῶν ἀρχιερέων ἐπιούσης ταῖς κατ᾿ αὐτοὺς ἐκκλησίαις ζημίας καὶ συμφορᾶς οὗτοι βαρυσυμφορώτατοι γίνοιντο καὶ τῆς ἐπ᾿ αὐτοῖς ἀνίας ἀνιαρώτεροι, διορίζεται διὰ τῆς παρούσης προστάξεως, μηκέτι παρὰ τῶν κατὰ χώραν τὰς δουκικὰς ἀρχὰς διεπόντων ἢ ἀναγραφὰς ἢ ἕτερ᾿ ἄττα δικαίῳ τοῦ δημοσίου ἐνεργούντων τοιοῦτόν τι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἢ τῶν ὑπ᾿ αὐτὰς ἀκινήτων ἢ τῶν κελλίων τῶν ἀρχιερέων ἐν ταῖς αὐτῶν τελευταῖς τοῦ λοιποῦ νεωτερισθῆναι. ἀλλ᾿ εἰ μὲν ἐνδιαθήκως οἱ ἀρχιερεῖς τελευτῷεν, κατὰ τὰς αὐτῶν βουλάς τε καὶ διατάξεις ἅπαντα γίνεσθαι, ὅσον ἐν τοῖς παρευρισκομένοις ἐν τοῖς κελλίοις αὐτῶν· εἰ δ᾿ ἴσως καὶ ἀδιάθετοι ἀπαλλάττοιντο, πάντα καὶ οὕτω συντελεῖσθαι κατὰ τὸ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νόμοις δοκοῦν. τοῖς ἀκινήτοις μέντοι τῶν χηρευουσῶν ἐκκλησιῶν οὐδὲ πόδα ὅλως ἐπιβαλεῖ τις τῶν κατὰ χώραν δουκῶν ἤ τινων ἑτέρων, ὡς εἴρηται, οὐδὲ τὸ οἱονοῦν ἐκεῖθεν ὁπωσοῦν ἀναλήψεται· ἀλλὰ πάντα παρὰ τῶν μερῶν τῶν τοιούτων ἐκκλησιῶν ἐν αὐτοῖς οἰκονομηθήσεται, καθὼς ἄρα καὶ περὶ τούτου νομίμως καὶ κανονικῶς διηγόρευται, μέχρις ἂν δηλαδὴ οἱ μετὰ τοὺς τεθνηκότας ἀρχιερεῖς εἰς ἐκκλησίας ἐπικηρυττόμενοι κατὰ χώραν γεγονότες αὐτοὶ τῆς τούτων οἰκονομίας ἀνθέξονται. εἰδέναι ὀφείλοντος τοῦ εἰς ἀθέτησίν τινος τῶν ἐν τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου διωρισμένων χωρήσοντος, ὡς εἰ καὶ θεὸς ἐπὶ τῷ τοιούτῳ αὐτοῦ τολμήματι πρός γε τὸ παρὸν παρασιωπήσεται, πάντως εἰς τὸ μέλλον αὐτῷ τὴν ἀξίαν δίκην ταμιευόμενος, ἀλλ᾿ ἡ βασιλεία μου καὶ εἰς τὸ παρὸν πικρότερον αὐτὸν μετελεύσεται, σωματικαῖς ποιναῖς αὐτὸν καθυποβαλοῦσα, μελῶν τε οἰκείων ἀκρωτηριασμοῖς καὶ τῶν ὑπαρχόντων δημεύσει καὶ ὑπερορίᾳ μακρᾷ. οὐ μόνον γὰρ εἰς τὸ ἁπλοῦν ἀπεντεῦθεν ἀποδώσει ὁ τοιοῦτος τῇ ἐκκλησίᾳ τὸ ἐξ αὐτῆς τοιουτοτρόπως παρ᾿ αὐτοῦ ἀφαιρεθησόμενον, ἀλλὰ καὶ πρὸς τοῦ δημοσίου εἰς τὸ διπλοῦν ἀσυμπαθῶς ἀπαιτηθήσεται τὴν τοιαύτην ποσότητα· εἰδήσεως ἀκριβεστάτης διδομένης περὶ τούτου παρὰ τοῦ τηνικαῦτα ἀρχιερέως τῷ κατὰ τὴν ἡμέραν μυστικῷ, ὃς καὶ ὀφείλει καὶ ἄμφω οἰκονομεῖν, πρόφασιν δὲ πάντως οὐχ ἕξει περὶ τῆς ἁμαρτίας αὐτοῦ. ἦλθε γὰρ ἡ βασιλεία εὐαγγελικῶς καὶ ἐλάλησεν αὐτοῖς διὰ τῆς παρούσης προστάξεως, ἥτις καταστρωθήσεται καὶ τῷ ἱερῷ χαρτοφυλακίῳ ἐναποτεθήσεται, ἀρκέσουσα ταῖς ἁγιωτάταις ἐκκλησίαις, κἂν ἰσότυπα καὶ μόνα ταύτης πεπιστωμένα παρὰ τῶν μερῶν αὐτῶν ἐμφα-

νίζηται. ἕξουσι γὰρ πρωτοτύπων ἰσχὺν ταῦτα, καὶ τοῖς πορισαμένοις προσέσονται εἰς ἀσφάλειαν αἰωνίζουσαν.

96. Περὶ τῶν νομίμων ἐπιφωνημάτων. — Ἀνάγν. καὶ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ[1] λέγουσαν οὕτως ἐν μέρει· ἅπας ἐναγόμενος καὶ μετακαλούμενος εἰς τὸ δικαστήριον καὶ μετὰ τρία μηνύματα διὰ τριῶν ἐπιφωνημάτων ἐγγράφων ἐλθεῖν παρεγγυώμενος καὶ μὴ ἐρχόμενος, καταδικάζεται καὶ μονομερῶς. εἰ γοῦν καὶ ἐπίσκοπος μετὰ δόσιν λιβέλλου καὶ ἐγγράφων νομίμων κατηγορηθῇ, καὶ μετακληθῇ πρῶτον μὲν διὰ μηνυμάτων, εἶτα καὶ διὰ τριῶν ἐγγράφων ἐπιφωνημάτων, καὶ οὐκ ἀπαντήσῃ εἰς τὸ δικαστήριον, καταδικασθήσεται καὶ μονομερῶς καὶ καθαιρεθήσεται. τὸ γὰρ καλεῖσθαι ἐνταῦθα κατὰ νόμους νοεῖται ἤγουν δι᾽ ἐπιφωνημάτων τριακονθημέρων, καὶ μή, ὥς τινες εἶπον, διὰ μηνυμάτων ἐγγράφων ὀλιγοημέρων. τοῦτο δὲ ἐλαλήθη διαφόρως ἐπὶ βήματι βασιλικῷ καὶ ἐκρίθη, διὰ τριῶν νομίμων ἐπιφωνημάτων ὀφείλειν μετακαλεῖσθαι τὸν ἐναγόμενον ἐπίσκοπον καὶ οὕτως ἐξ ἀπειθείας καταδικάζεσθαι.

97. Ζήτει καὶ βι. ξ΄ τί. λγ΄ κεφ. παρατελευταῖον καὶ τί. λδ΄ κεφ. κε΄, ἐξ ὧν μαθήσῃ, ὅτι ἄλλως οὐκ ἀναγκάζεται παραστῆναι ὁ κατηγορούμενος ἐπὶ ἐγκλήμασιν, εἰ μὴ πρότερον ἔγγραφαὶ δοθῶσι παρὰ τοῦ κατηγόρου. ζήτει καὶ τὸν ς΄ κανόνα τῆς δευτέρας συνόδου περὶ τὸ τέλος.

98. Γίνωσκε καὶ τοῦτο. ἐπὶ δ΄ ἢ γ΄ μαρτύρων σταθήσεται πᾶν ῥῆμα. πλὴν τοῦτο μὴ ἀδιστάκτως νοήσεις. ἀλλ᾽ εἰπὲ κατὰ νομικὴν ἀκρίβειαν, ὡς εἰ μὲν χρηματική ἐστιν αἰτίασις καὶ μέχρι λίτρας μιᾶς, δύο μάρτυρες πιστοὶ ἔντιμοι κατὰ τοῦ ἐπισκόπου ἐνωμότως μαρτυροῦντες ἀρκέσουσιν. εἰ δὲ μέχρι ν΄ λιτρῶν, τρεῖς. εἰ δὲ τούτων ἐπέκεινα, ε΄. εἰ δὲ οὐκ ἔστι χρηματικὴ αἰτίασις, ἀλλ᾽ ἐγκληματική, διὰ πέντε μαρτύρων πιστῶν καὶ ἐντίμων ὀμνυόντων ἡ κατὰ τοῦ ἐπισκόπου αἰτίασις ἀποδείκνυται. καὶ ἀνάγν. τὸν α΄ τί. τοῦ κα΄ βι. τῶν βασιλικῶν πολλάκις τοιαῦτα διδάσκοντα[2].

99. Περὶ τοῦ μὴ ἀποκινεῖσθαι τὸν δικαστὴν ἀπὸ τοῦ ὀφφικίου αὐτοῦ, εἴπερ συμβῇ ἀσθενῆσαι, φησὶν ὁ νόμος ἐν βι. η΄ τί. α΄ κεφ. δ΄ θέμ. δ΄. ὁ τυφλὸς δὲ καὶ δικάζειν δύναται

---

[1] Coll. IV Nov. 66 c. 1 ex Bals. ad c 74 Apostol. [2] Bals. ad. c. 75 Apostol.

καὶ οὐκ ἀποκινεῖται τῆς συγκλήτου. ἀρχὴν δὲ νέαν οὐκ ἐγχειρίζεται· ἣν μέντοι πρὸ τοῦ πάθους εἶχε, μένει ἔχων.

100. Παρακελεύεται ὁ νόμος ἐπὶ ἐγγράφων νομισμάτων λϛ' δέχεσθαι ἀριθμὸν μαρτύρων β'. ἐπὶ δὲ πλείονι ποσότητι νομισμάτων μὴ μετὰ μαρτύρων ἀρκεῖσθαι δύο, ἀλλὰ καὶ τεσσάρων καὶ πέντε[1].

101. Εἰσὶν[2] ἐν συνόψει αἱ ἀγωγαὶ καὶ αἱ ῥοπαί. τί ἐστιν ἀγωγή; ἀγωγή ἐστι δίκαιον τοῦ ἀπαιτεῖν ἐν δικαστηρίῳ τὸ ὁθενδήποτε χρεωστούμενον. — ἡ περὶ ὕβρεως ἀγωγὴ ἐνεργεῖ μέχρις ἐνιαυτοῦ. — ἡ περὶ δόλου ἀγωγὴ ἐνεργεῖ μέχρι διετίας. — ἡ περὶ δόλου ἀγωγὴ ἐνεργεῖ μέχρι τριακονταετίας, σχεδὸν δὲ ἐπεκτείνεται καὶ εἰς τεσσαρακονταετίαν, δηλονότι κινουμένη ἔνδον διετίας. — ἡ τοῦ ὑπερθεματισμοῦ ἀγωγὴ ἐνεργεῖ μέχρι τετραετίας. ἡ ἔκκλητος ἀγωγὴ ἐνεργεῖ μέχρι τετραετίας. — ἡ ἐπὶ τῶν παρόντων ἀγωγὴ ἐνεργεῖ μέχρι δεκαετίας. — ἡ τῆς μετενέξεως ἀγωγὴ ἐνεργεῖ μέχρι τετραετίας. — ἐπὶ τῶν ἐν ἐξορίᾳ ἀγωγὴ ἐνεργεῖ μέχρι εἰκοσαετίας. — ἡ ἐπὶ τῶν ἐν αἰχμαλωσίᾳ ἀγωγὴ ἐνεργεῖ μέχρι τριακονταετίας. — ἡ ἐπὶ τῆς ἀναργυρίας ἀγωγὴ ἐνεργεῖ μέχρι διετίας. — ἡ ἐπὶ τῶν ὀρφανῶν ἀγωγὴ ἐνεργεῖ μέχρι κε' καὶ ἑτέρων τεσσάρων ἐνιαυτῶν, οἵτινες λέγονται οἱ τῆς ἀποκαταστάσεως, καὶ πληρουμένου τοῦ λ' ἐνιαυτοῦ ἀποκλείονται. — ἡ ἐπὶ τῶν ἐκκλησιαστικῶν ἀγωγὴ, ἤγουν μοναστηρίων, γηροκομείων, νοσοκομείων, ἐκκλησιῶν, ἐνεργεῖ μέχρι τεσσαρακονταετίας. — ὡσαύτως καὶ ἐπὶ τῶν στρατιωτῶν κατὰ τὴν νεαράν[3]. — ἡ ἐπὶ τῶν κινητῶν ἀγωγὴ ἐνεργεῖ μέχρι τριετίας. — εἰδέναι δεῖ, ὅτι αἱ χρηματικαὶ ὀφείλουσι τέμνεσθαι μέχρι τριετίας. — εἰδέναι δεῖ, ὅτι τὸ μοιχικὸν, ἀφ' οὗ ἀπάρξεταί τις κατηγορεῖν, καὶ ἔκτοτε διέλθωσιν ἑξήκοντα ἡμέραι, παύεται δικαίῳ κατηγορίας. — ἡ ἀγωγὴ τῆς μοιχείας ἀπὸ τοῦ ἁμαρτήματος ἐνεργεῖ μέχρι πενταετίας, ἐὰν κινήσῃ τὶς τὸ ἔγκλημα ἀπὸ τῶν ε' προσώπων, ἤγουν τοῦ ἀνδρὸς, τοῦ πατρὸς αὐτοῦ, τοῦ ἀδελφοῦ, τοῦ ἀνεψιοῦ, καὶ τοῦ θείου αὐτοῦ. — ἡ περὶ φθορᾶς ἀγωγὴ καὶ τοῦ ἀνδραποδιστοῦ ἐνεργεῖ ὡς προσωπικὰ μέχρι τριακονταετίας. — ἡ τοῦ φόνου ἀγωγὴ ἐνεργεῖ μέχρι εἰκοσαε-

[1] In Vatic. 854 hic statim sequuntur τὰ παράτιτλα, post quae habentur ὁρκωμοτικὰ et προστάγματα ad judices universales pertinentia, Novella Athanasii patriarchae, et ultimo demum loco αἱ ἀγωγαὶ καὶ αἱ ῥοπαὶ, nec non Novellae Romani et Leonis. [2] Paris 1356: Περὶ ἀγωγῶν. αἱ ἐν συνόψει κτλ. [3] Coll. III Nov. 8.

τίας, καὶ κινεῖ αὐτὴν καὶ ὁ τυχὼν ἄνθρωπος καὶ ἡ τάξις καὶ ὁ εὐτελής. — ἡ περὶ πράσεως ἀγωγὴ, οἷον ἀνθρώπου, δούλου, ἵππου ἢ βοὸς, ἐνεργεῖ εἰ εὑρίσκεταί τις ἔχων, μέχρι μηνῶν ἓξ καὶ ἀναστρέφεται. ἡ δὲ μειοῦσα τὸ τίμημα μετὰ τὸ διελθεῖν τὸ ἑξάμηνον μέχρι μηνῶν δώδεκα. — εἰδέναι δεῖ ὅτι ἀπὸ τοῦ καιροῦ τοῦ γάμου ἡ ὑποσχεθεῖσα προὶξ, εἰ διέλθῃ διετὴς χρόνος καὶ οὐκ ἐπιδοθῇ, ἀπαιτεῖται ἔκτοτε ὁ τόκος τῆς προικός. ἡ δὲ ἀγωγὴ ὑποσχεθείσης προικὸς ἐνεργεῖ μέχρι δεκαετίας τοῦ ἀπαιτηθῆναι παρὰ τοῦ ἀνδρὸς καὶ τῶν κληρονόμων αὐτοῦ. — ἡ ἀγωγὴ τῆς ἐχούσης προῖκα μετὰ θάνατον τοῦ ἀνδρὸς ἔχει προνόμων ποιεῖν ἀπογραφὴν, εἴ ἐστιν ἔσωθεν τῆς πόλεως, μέχρι τριμηνιαίου ἐνιαυτοῦ, καὶ παραγράφεται τοῖς δανεισταῖς λαμβάνουσα τὴν ἰδίαν προῖκα καὶ τὰ βοηθοῦντα αὐτῇ· εἰ δέ ἐστιν ἔξωθεν τῆς πόλεως ἐπὶ θεμάτων, ἔχει ἐξουσίαν ποιεῖν ἴμβεντον ἤγουν ἀπογραφὴν μέχρι δωδεκαμηνιαίου ἐνιαυτοῦ. εἰ δὲ ἐμπροθέσμως τὸ ἴμβεντον οὐ ποιήσεται, τότε βοηθοῦνται οἱ δανεισταί. — εἰδέναι δὲ δεῖ, ὅτι εἰσὶ πρόσωπα ἁμαρτάνοντα καὶ οὐκ εὐθύνονται, οἷον ὁ μοιχεύων τὴν γυναῖκα τοῦ ἀποδούλου αὐτοῦ, καὶ ὁ μοιχεύων προϊσταμένην καὶ δουλεύουσαν εἰς καπηλεῖον. οἱ γὰρ νόμοι περὶ τῶν εὐϋπολήπτων γυναικῶν σωφροσύνην προενοήσαντο, οὐδένα λόγον θέμενοι τῶν οἰκτρῶν καὶ εὐτελῶν γυναικῶν. καὶ ὁ μοιχεύων πολύφθορον καὶ πολύκοινον ὕπανδρον τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται, εἰ μὴ τῷ τῆς πορνείας. — εἰδέναι δεῖ, ὅτι ὁ ἀνὴρ τιμωρεῖται ὡς μοιχὸς, ἡ δὲ γυνὴ οὐκ εὐθύνεται, ὅταν ἄκουσαν αὐτὴν καὶ βεβιασμένῃ χειρὶ κρατήσῃ, κἂν αὐτὴ ἐρυθριῶσα τὸ γεγονὸς εὐθὺς οὐκ ἀνήγγειλε τῷ ἀνδρὶ παραχρῆμα.

102. *Περὶ χρόνων προθεσμίας ἀπὸ ῥοπῆς ἕως ρ' ἐνιαυτῶν.* — Ἠλευθερώθη δούλη[1]. . . .

103. *Νομοθεσία παλαιὰ τοῦ βασιλέως ῥωμανοῦ τοῦ γέροντος συντεθεῖσα παρὰ κοσμᾶ μαγίστρου τῷ καιρῷ τοῦ λιμοῦ τῆς α' ἰνδ.*[2] *Νέον νόμον τίθησι ῥωμανὸς ἄναξ ὃν καὶ πέπομφε λύτρον ἠδικημένοις*[3].

---

[1] *Τὰς ῥοπὰς* ex Lipsiensi Codice dudum a me editas hoc loco repetere nolui. [2] Coll. III Nov. 5. [3] Post hos versus Paris. 1356 rubricam intercalat: *νεαρὰ ῥωμανοῦ βασιλέως τοῦ γέροντος τοῦ μὴ εἰσέρχεσθαι δυνατὰ πρόσωπα εἰς ἀγροὺς ἢ καθόλου ἢ μερικῶς.* — Paris. 1368 autem hanc Novellam sive integrum cap. 103 omittit, licet ὁ *πίναξ* vel illam recenseat.

Ἀνθρώποις ἐστὶ ζηλωτὸν καὶ περισπούδαστον, οἷς μέγα καὶ σεβάσμιον τὸ τῆς παντουργοῦ χειρὸς νομίζεσθαί τε καὶ ὀνομάζεσθαι φιλοτέχνημα, τὸ πρὸς τὸν τοῦ παράγοντος μίμησιν τὴν ψυχικὴν παρασκευάζειν διάθεσιν. οἷς δὲ μὴ μέγα τοῦτο καὶ μακάριον λελόγισται, τούτοις ἄρα μετὰ τῆς πλάσεως καὶ ὁ τῆς κρίσεως ἐξαρνεῖσθαι πρόκειται λόγος, καὶ ὑπολέλειπται ὡς ἐν γῇ τὸ πᾶν ἀποδεξαμένοις τῆς βιώσεως, καὶ μόνοις ἐπὶ τῆς γῆς βιοτεύειν αἱρουμένοις, τὸ τῆς οἰκείας ἐπιδείκνυσθαι προαιρέσεως. ἐντεῦθεν ἡ πολλὴ τῶν πραγμάτων ἐπιφορά, ἐντεῦθεν ἡ μεγάλη καὶ μακρὰ τῶν πτωχῶν ταλαιπωρία, καὶ ὁ πολὺς στεναγμὸς τῶν πενήτων, δι' οὓς ἀνίσταται κύριος· ἕνεκα γάρ φησι τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος. εἰ θεὸς εἰς ἐκδίκησιν διανίσταται, ὁ καὶ πλάσας ἡμᾶς καὶ σώσας καὶ βασιλεύσας, πῶς ἡμῖν ὑπεροφθήσεται, καὶ εἰς τέλος ἐπιλησθήσεται μόνους τοὺς τῆς βασιλείας ὀφθαλμοὺς εἰς παράκλησιν ὁ πένης προσδεχόμενος; διὰ ταῦτα εἰς τὴν τούτων ἐκδίκησιν, οὐ τὰ πρὸς αὐτοὺς ἔναγχος τελεσθέντα τε ἢ τολμώμενα ἐξιᾶσθαι διασκοπήσαντες, ἀλλὰ καὶ κοινῇ διαμένουσαν τῷ πράγματι θεραπείαν ἐπιτιθέμενοι, τὸν παροντα νόμον ἐξεθέμεθα, οἱονεί τινα ἐκβολὴν καὶ καθαρμὸν τῆς ἀπλήστου γνώμης τοῦτον ἐπισκευάσαντες, ὡς μηκέτι τινὰ τῶν οἰκείων ἀλλοτριοῦν, ὡς μὴ καταδυναστεύεσθαι πένητα, ὡς κοινὴν καὶ λυσιτελοῦσαν καὶ θεῷ εὐαπόδεκτον, καὶ τῷ δημοσίῳ πρόσφορον καὶ τῇ πολιτείᾳ χρήσιμον τὴν χρείαν ἔχειν διασκεψάμενοι. οὐδὲ πάλαι μὲν λαθούσης ἡμῖν τῆς προσηκούσης τυχεῖν ἐπιμελείας τῆς τοιαύτης ὑποθέσεως, δι' ἣν καὶ ψῆφοι καὶ κρίσεις τὸ κακοῦργον τῆς γνώμης ἀναστέλλουσαι ἐν πάσαις ταῖς ὑφ' ἡμῶν τεταγμέναις ἀρχαῖς καταπεφοιτήκασι κατὰ τῆς κακίας ἀλλ' ἐπεὶ πολύτροπον ἡ κακία καὶ πολυποικιλώτατον, καὶ ἅπασα μὲν, οὐχ ἥκιστα δὲ πλεονεξία, εἰ μή γε καὶ μᾶλλον, ὡς νόμου καὶ θεσπίσματος λαβὰς διαδιδράσκειν μηχανᾶσθαι, καὶ τὸν ἀλάθητον παρ' οὐδὲν τῆς θείας δίκης τίθεσθαι ὀφθαλμόν· διὰ ταῦτα τοίνυν ἀσφαλεστέρας καὶ ἐπιμελεστέρας ἀναγραφῆς ἠξίωται ταῦτα, τῆς τῶν κακουργούντων βουλήσεως τὰ σοφίσματα ἐκτέμνοντά τε καὶ ἀποῤῥίπτοντα. θεσπίζομεν τοιγαροῦν τοὺς ἐν πάσῃ χώρᾳ καὶ πολιτείᾳ, ἣν μετὰ θεὸν ἡ ὑφ' ἡμῶν διέπει ἀρχή, διάγοντας ἐλευθέραν καὶ ἀνενόχλητον τὴν λαχοῦσαν ἔχειν κατοίκησιν. ἀλλ' εἰ μὲν τοῦτο μένει φυλάττων ὁ χρόνος, ἔστω τῆς τῶν τέκνων ἢ συγγενῶν κληροδο-

σίας τὸ ἐπίκτημα, ἢ τῆς τοῦ κατέχοντος προαιρέσεως τὸ βούλημα συμπληρούμενον. εἰ δὲ, οἷα τῆς ἀνθρωπίνης βιώσεως καὶ τῆς τοῦ χρόνου παλιῤῥοίας, ἀνάγκης ἐπικειμένης ἢ καὶ θελήσεως τυχὸν μόνης ὑποτιθεμένης, τὴν τῶν οἰκείων τόπων ἐπεισάγει ἢ μερικῶς ἢ καθόλου ἐκποίησιν· τοῖς τῶν αὐτῶν ἢ καὶ τῶν ὁμορούντων χωρίων ἢ ἀγρῶν οἰκήτορσιν ἡ ἐξώνησις προσκείσθω, οὐ μίσει καὶ φθόνῳ τῶν ἰσχυροτέρων τοῦτο νομοθετοῦμεν, ἀλλ᾿ εὐνοίᾳ καὶ προστασίᾳ τῶν πενήτων καὶ κοινῇ σωτηρίᾳ διοριζόμενοι. ἀνθ᾿ ὧν γὰρ ἐχρῆν τοὺς ἄρχειν ἐκ θεοῦ λαχόντας, τοὺς δόξῃ καὶ πλούτῳ τῶν λοιπῶν ὑπερανεστηκότας περὶ πολλοῦ τὴν τῶν πενήτων ποιεῖσθαι προμήθειαν, οὗτοι κατάβρωμα τούτους ἔχοντες, ὅτι εἰ μὴ τάχιον ταῦτα κατέχουσι, δυσχεραίνουσιν. εἰ δὲ καὶ μὴ πάντων τὸ τοιοῦτον ἀνοσιούργημα, ἀλλ᾿ ἔστω κοινὸν πᾶσι ἐπὶ τὸ τοῦ νόμου συντήρημα· ὡς ἂν μὴ λάθῃ τῷ σίτῳ συνεισφερόμενον τὸ ζιζάνιον. μηδεὶς οὖν μηκέτι μήτε τῶν περιφανῶν μαγίστρων ἢ πατρικίων, μήτε τῶν ταῖς ἀρχαῖς ἢ στρατηγίαις ἢ πολιτικοῖς ἢ στρατιωτικοῖς ἀξιώμασι τετιμημένων, μήτε μὴν ὅλως τῶς εἰς συγκλήτου βουλὴν ἀπηριθμημένων, μήτε τῶν θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων, μήτε τῶν θεοφιλεστάτων μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἐπισκόπων ἢ ἡγουμένων ἢ ἐκκλησιαστικῶν ἀρχόντων, ἢ τῶν τὴν προστασίαν καὶ ἐπικράτειαν τῶν εὐαγῶν ἢ βασιλικῶν οἴκων ἐχόντων, ἢ εἰς οἰκεῖον ἢ εἰς πρόσωπον τῆς βασιλικῆς περιουσίας, ἢ τῆς ἐκκλησίας, ἢ δι᾿ ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου τολμήσει μηκέτι εἴτε εἰς χωρίον ἢ ἀγρὸν ἢ καθόλου ἢ μερικῶς ἐπεισελθεῖν, ἢ ἀγορᾶς ἢ δωρεᾶς ἢ κληροδοσίας ἢ ἄλλης οἱασοῦν προφάσεως αἰτίᾳ· ὡς ἀνισχύρου διορισθείσης τῆς τοιαύτης κτήσεως, ἀναργύρως τῶν ἐπικτωμένων μετὰ τῆς προσγινομένης καλλιεργίας πρὸς τοὺς κατέχοντας, ἢ τούτων ἢ συγγενῶν αὐτῶν μὴ προσόντων, πρὸς τοὺς τῶν χωρίων ἢ ἀγρῶν οἰκήτορας χωρεῖν δικαιωθέντων. ἡ γὰρ τῶν τοιούτων ἐπικράτεια προσώπων καὶ τῶν πενήτων τὴν πολλὴν ἐπηύξησε ταλαιπωρίαν, τῷ πλήθει τῶν οἰκετῶν, τῶν μισθαρνούντων, τῶν ἄλλως ἐπιτρεχόντων καὶ συνόντων, τὰς ἐπαναστάσεις, τὰς διώξεις, τὰς ἀγγαρείας ἐπάγουσα, τὰς ἄλλως ἐπακολουθούσας θλίψεις καὶ στενοχωρίας, καὶ τὴν τοῦ κοινοῦ διαφθορὰν τοῖς συνορᾷν δυναμένοις οὐ μακρὰν, εἰ μὴ προφθάσας ὁ παρὼν ἀναστείλῃ νόμος, προυξένησεν. ἡ γὰρ τῶν πολλῶν κατοίκησις πολλὴν δείκνυσι τῆς χρείας τὴν ὠφέλειαν,

τὴν τῶν δημοσίων συνεισφορὰν, τὴν τῶν στρατιωτικῶν λειτουργημάτων συντέλειαν. ἃ πάντως ἀπολείψει, τοῦ πλήθους ἐκλελοιπότος. καὶ χρὴ τοὺς τῆς πολιτικῆς ἀσφαλείας ἐχομένους καὶ τὸ ταρακτικὸν ἀποτρίβεσθαι καὶ τὸ βλαβερὸν ἀπωθεῖσθαι, καὶ τὴν τοῦ κοινοῦ συνιστᾷν ὠφέλειαν. καὶ ταῦτα μὲν ὁ μετὰ ταῦτα ἐχέτω καιρὸς, ὑπερ κοινῆς ὠφελείας καὶ καταστάσεως τῶν ἡμετέρων ὑπηκόων. δεῖ δὲ οὐκ ἐπὶ τοῖς μέλλουσι μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς φθάσασι τὴν ἐνδεχομένην ἐπεισάγειν θεραπείαν. πολλοὶ γὰρ ἀφορμὴν εὐπορίας τὴν τῶν πενήτων λαβόμενοι ἀπορίαν, ἣν ὁ πάντα φέρων χρόνος ἤνεγκε, μᾶλλον δὲ ἡ τῶν ἡμετέρων πληθὺς ἁμαρτημάτων τὴν θείαν ἐκβιαζομένη φιλανθρωπίαν προυξένησεν, ἀντὶ φιλανθρωπίας, ἀντὶ οἴκτου, ἀντὶ χρηστότητος, λιμῷ πιεζομένους ὁρῶντες τοὺς πένητας, οἱ μὲν ἀργυρίῳ, οἱ δὲ χρυσίῳ, οἱ δὲ σίτῳ, ἢ ἄλλαις τισὶν ἐπιδόσεσιν εὐώνως τὰς τῶν ἀτυχούντων πενήτων ἐξωνήσαντο κτήσεις, βιαιότεροι τῆς προκειμένης ἀνάγκης, καὶ αὐτοῖς τῷ μετὰ ταῦτα χρόνῳ τοῖς ἀθλίοις τῶν χωρίων οἰκήτορσι γινόμενοι ὥσπερ τὶς λοιμικὴ νοσημάτων ἐπιφορὰ ἢ γαγγραίνης δίκην τῷ τῶν χωρίων ἐπεισφρήσασα σώματι καὶ τὴν πανωλεθρίαν ἐπισκευαζομένη. ὅσοι τοίνυν ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος, ἤτοι τοῦ λιμοῦ καταλαβόντος ἢ καὶ παρελθόντος, ἀγρῶν ἢ χωρίων ἐγκρατεῖς γεγόνασιν ἢ μερικὰς ἢ καθόλου ἐν αὐτοῖς κτήσεις προσελάβοντο τῶν περιφανῶν, οὓς ἄνωθεν κωλύεσθαι ἡ παροῦσα συγγραφὴ γράφει, τούτους ἀπολαμβάνοντας τὸ παρ᾽ αὐτῶν καταβληθὲν τίμημα ἐκεῖθεν ἐξεοῦσθαι ἢ παρὰ τῶν πρωτοτύπων δεσποτῶν ἢ παρὰ τῶν κληρονόμων αὐτῶν ἢ συγγενῶν· ἢ τούτων ἀπορούντων, παρὰ τῶν ἄλλως συντελούντων ἢ παρὰ τῆς ὁμάδος, τῆς τοῦ τιμήματος ἐπιδόσεως προβαινούσης· ὑπὲρ δὲ τῶν ἐπ᾽ αὐτοῖς καλλιεργημάτων, εὐπορούντων μὲν καὶ βουλομένων τῶν εἰρημένων προσώπων, καταβαλλομένων τὸ ἀνῆκον· ἀπορούντων δὲ ἢ μὴ βουλομένων, τὰς ὕλας ἐπαναλαμβανομένους ἀναχωρεῖν, εἴπερ ἐξ οἰκείων ταύτας ἐξόδων προσέθεντο, καὶ μὴ καὶ ταῦτα τῆς τῶν πενήτων περιουσίας καὶ ἐργασίας ἐπιδείκνυνται. ἀλλὰ ταῦτα μὲν περὶ τῆς ὡς εἰκὸς δοκούσης δικαίας κτήσεως ἐξ ἀγορασίας. δωρεὰς δὲ ἢ κληρονομίας ἢ ἄλλας τοιουτοτρόπους σεσοφισμένας ἐπικτήσεις ἢ ἁρπαγὰς ἀνισχύρους εἶναι καὶ πάλαι καὶ νῦν διοριζόμεθα, μηδὲν ὑπὲρ αὐτῶν τῶν κακομηχάνων ἐπιζητεῖν δυναμένων, ἀλλὰ προῖκα τοῖς ἰδίοις ἀναδίδοσθαι ταῦτα δεσπόταις, ἢ τυχὸν τούτων ἐξ ἀνθρώπων ἀφανισθέντων, τέ-

κνοις ἢ συγγενέσιν· ἢ καὶ τούτων ἀπολλυμένων, τοῖς συντελεσταῖς παρέχεσθαι. εἰ δὲ καί τινας εὐνοϊκώτερον τὰ τῆς θείας προνοίας ἐπεῖδεν, ἢ ἄλλοις τισὶν ἀκαταλήπτοις λόγοις πρὸς κρείττονα μετεσκευάσατο τῆς παρούσης ζωῆς κατάστασιν, τῆς ταπεινοτέρας ἀφαρπάσασα τύχης καὶ πρὸς ὑψηλοτέραν μετεωρίσασα· μένειν καὶ αὐτοὺς ἐφ' ἧς ἐξαρχῆς ἔλαχον κληροδοσίας καὶ καταστάσεως δικαιοῦμεν, καὶ μὴ τῷ μέτρῳ τῆς οἰκείας παρεκτεινομένους τύχης ἀτυχεστέρους τοὺς πλησιοχώρους λεηλατοῦντας ἀπεργάζεσθαι. τοῦτο γὰρ τῶν ἐν ὕψει καὶ δόξῃ βιωτικῆς λαμπρότητος γαυρουμένων πρὸς τοὺς ταπεινοτέρους τῶν συναλλαγμάτων ἁρμοδιώτερον ἐπίκλημα τῆς τῶν προσώπων διαφορᾶς, ὡς μὴ κοινὴν καὶ συμφέρουσαν καὶ σύμφωνον τὴν πραγματείαν, οὐ λογισμῶν μόνον προσλήψει, ἀλλὰ γὰρ καὶ πραγμάτων ἀκολουθίᾳ, ἐν πολλοῖς ὁσημέραι ὑποτυπουμένης τε καὶ τρανολογούσης. οἷς πλέον ἐχρῆν ανασκοπουμένοις τὰ τῆς θείας πρὸς αὐτοὺς εὐμενείας, εὐνοϊκώτερον πρὸς τὸ ὁμόχωρον συνδιατίθεσθαι καὶ τὸ ἄδηλον τῆς τύχης ὑπολογιζομένους καὶ τὸ τῆς κρίσεως ἄφυκτον μὴ ἅρπαγμα τίθεσθαι τὰς τῶν πλησίον περιουσίας, εἴπερ μὴ βούλοιντο καὶ αὐτοὶ τῷ προκειμένῳ δικαιοῦσθαι κρίματι. τοὺς δὲ πρὸ τῶν ὡρισμένων χρόνων ἐν κατασχέσει τοιούτων κτημάτων γεγονότας, εἴπερ ἐπὶ τῆς αὐτῆς ἐνορῶνται μένοντες καταστάσεως, μένειν καὶ αὐτοὺς συγχωροῦμεν, τῆς τοῦ πλησίον κτήσεως ἐπίσης τοῖς ἄλλοις τὴν κώλυσιν ἐπιφερομένους. εἰ δὲ φορτικοί τινες καὶ ἐπαχθεῖς πρὸς τοὺς πλησίον διαδείκνυνται, βαρείας τινὰς ἢ συνεχεῖς προξενοῦντες βλάβας τοῖς πένησιν, ἐξωθεῖσθαι τούτους καὶ ἀπελαύνεσθαι, μίσθωμα τῆς χαλεπῆς καὶ ἀπλήστου προαιρέσεως τὴν τῶν οἰκείων ἔκπτωσιν ἀπολαμβάνοντας. ἡ δὲ περὶ τῶν τιμημάτων ἀνάδοσις ἀνωτέρω εἰρημένη, ἐμμελεστέρας δεομένη καὶ λεπτοτέρας ζητήσεως, οὐ φαύλης καὶ ἀλογίστου ἔτυχε διακρίσεως. ἐλευθέρας γὰρ καὶ ἀβιάστου συντελεσθείσης τῆς πράσεως, καὶ δικαίας ἐνορωμένης τῆς καταβολῆς τοῦ τιμήματος, δικαίως καὶ ὁ τῆς ἀντιστροφῆς φυλαχθήσεται λόγος, μικρᾷ τινι παρενθήκῃ θεσπίσματος τὸ τῆς πενίας ἄπορον ἀνακτώμενος, τὸ παρευθὺ μὲν τὴν τῶν τόπων ἀναστροφὴν καὶ ἀπόδοσιν γίνεσθαι πρὸς τοὺς πεπρακότας, ἢ κληρονόμους αὐτῶν ἢ συγγενεῖς, τούτων δὲ μὴ ὄντων, πρὸς τοὺς συντελεστάς. καὶ εὐπόρων μὲν ὄντων αὐτῶν, ἀνταποδιδόναι τὸ ἐξαρχῆς καταβληθὲν τίμημα· ἀπορούντων δὲ, πρὸς τὸ ταχὺ τῆς ἀναδόσεως μὴ προσβιάζε-

σθαι, ὡς μὴ φορτικωτέραν αὐτοῖς ὀφθῆναι καὶ δυσαχθεστέραν τῆς πρὸς τὸ μέλλον ἐλπιζομένης ὠφελείας τὴν νῦν ἐπιβαρυνομένην εἴσπραξιν. ἄλλως τε δὲ καὶ τὸ περίεργον καὶ ἀνελεύθερον τῆς τῶν πολλῶν γνώμης διὰ τῆς ταχείας εἰσπράξεως οὐκ ἐρυθριάσει μὴ ἀπαράθραυστον μένειν τὴν τῶν τυπωθέντων ἔκβασιν διαμηχανήσασθαι. τοῖς γὰρ ἀπληστίας πάθει καὶ ψυχῆς πενίᾳ πρὸς τοσοῦτον πορισμὸν προστετηκόσι, καὶ μηδὲν αἰχρὸν τῶν εἰς χρηματισμὸν συντελούντων ὑπολογιζομένοις, οὐδὲν ἀτόλμητον οὐδὲ ἀνεπιχείρητον περιλειφθήσεται εἰς τὸν τῆς οἰκείας συμβαλλόμενον προθέσεως συντέλειαν. ἀλλ' εἰς κώλυσιν τῶν καινῶν ἐφευρημάτων καὶ ἐκπλήρωσιν τῶν διορισθέντων ὁ τῆς τριετίας εἰς ἀναμονὴν προκείσθω χρόνος, καὶ τῷ ἀπόρῳ τὴν εὐπορίαν φέρειν δυνάμενος, καὶ τὴν ἀπόδοσιν παρέχειν ταμιευόμενος. δεῖ γὰρ μετὰ τοῦ δικαίου καὶ τοῦ συμφέροντος καὶ τὸ φιλάνθρωπον συνεξυφαίνεσθαι τοῖς θεσμοθετουμένοις καὶ συνεισφέρεσθαι, καὶ ἄλλως δὲ τῆς τοῦ χρόνου ὑπερθέσεως εἰσαχθείσης. ἅπαξ γὰρ τῆς περὶ τούτων ἀποφάσεως ἐξενεχθείσης, τοὺς παρακοῇ τῶν προστεταγμένων ἑαλωκότας οὐ ξένον οὐδὲ ἀλλότριον τῶν οἰκείων πόνων ἀπολαύειν τὰ ἐπίχειρα, καὶ τῶν προσόντων ἀλλοτριοῦσθαι δικαιωμάτων. ἀλλὰ γὰρ ἀεὶ φιλανθρώπῳ τὸ αὐστηρὸν τῆς ἀκριβείας κεραννύντες γνώμῃ, ἀντὶ τῆς προσηκούσης ἐκπτώσεως τὴν τῆς τριετίας ἀναβολὴν διωρισάμεθα, μετρίως μὲν τοὺς ἐξημαρτηκότας κολάζοντες, ἀξίως δὲ καὶ τοὺς ἀξίους ἐλέους τυχεῖν πένητας τῇ ἀναβολῇ ἀγαθύνοντές τε καὶ παρηγορούμενοι, καὶ σύμμετρον ἑκατέροις τὴν θεραπείαν προσφέροντές τε καὶ ἀφοσιούμενοι. ἐπεὶ δέ τινας καὶ πρὸς τοσαύτην χρηματισμῶν ἐληλακότας πρόθεσιν ἀκηκόαμεν, ὡς εὐώνως τὰς τῶν πενήτων, ἀλλὰ πῶς εἴπω; ἐξωνήσασθαι; καὶ μὴ χανδὸν καταπιεῖν κτήσεις; προελέσθαι· τὸ τῆς γνώμης καὶ τῆς πράξεως διάφορον, διάφορον δὲ οὐχ ὁμοίαν τῶν προλαβόντων τὴν διάκρισιν ἐξειργάσαντο. εἴπερ οὖν εὑρίσκεται ὑπὲρ τὸ διπλάσιον ἡ δικαία τῶν πεπραμένων ἀποτίμησις, ἀναργύρως τοὺς ἀγοράσαντας ἀπελαύνεσθαι. εἰ δὲ καὶ μὴ πρὸς τοσοῦτον, ὅμως εἰς παραγραφὴν καὶ βλάβην τῶν πεπρακότων, ἔφθασε δὲ τῆς ἐκεῖθεν προσόδου τὸ κέρδος ἐξισωθῆναι τῇ καταβολῇ τοῦ τιμήματος, μηδὲν αὐτοὺς ἕτερον ἐπιζητεῖν· ἐλαττουμένους δὲ τὸ λεῖπον ἀπολαμβάνειν παρὰ τῶν δικαιουμένων εἰς τὴν τῶν τόπων ἀπόληψιν. ἀλλὰ μηδὲ προφάσει μονάσαντός τινος, ἢ μονάσαι βουλομένου, καὶ τὴν ἰδίαν

προσκυρώσαντος τῷ ἱερῷ φροντιστηρίῳ κτῆσιν τὰ καλῶς νῦν δόξαντα σύγχυσίν τινα δέχεσθαι· ἱκανὴν ἐκ τῆς παρούσης διακρίσεως εὐμοιροῦντας ὠφέλειαν τῷ τὴν δικαίαν τιμὴν τοῦ κτήματος ἀπολαμβάνειν, εἰ ἀληθῶς σωτηρίας ἕνεκα τοῦτο, καὶ μὴ δόλῳ καὶ περιεργίᾳ καὶ σεσοφισμένῃ διαπέπρακται περινοίᾳ. τοῦτο δὲ οὐχ ἧττον εἰς λυσιτέλειαν τῶν ἱερῶν οἴκων, ἢ τῶν πενήτων λογισθήσεται, ἀπαλλαττομένων μὲν ἔριδος καὶ φιλονεικιῶν καὶ ἀνελευθέρου κτήσεως, φευγόντων δὲ καὶ οὐκ ἐπιτρεχόντων πτωμάτων αἰτίους εὑρέσεις καὶ κατασχέσεις, ἀνθρώποις τε οὖσι καὶ ἔτι σαρκὶ συνδουλωμένοις, καὶ οὐκ ἀναλώτοις μένειν τοῖς ἀνθρώποις πεπιστευκόσιν ὀλισθήμασιν. ἀλλὰ ταῦτα μὲν φιλανθρωπότερον διωρίσθη, καὶ τὸ τῆς φιλοκτημοσύνης ἀκόρεστον μετριώτερον ἐπιτιμώμενα, καὶ τὸ κοινῇ λυσιτελοῦν εἰσηγούμενα, ὡς μηδένα μηκέτι μήτε τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων, μήτε τῶν ἐν ἀρχαῖς ἢ ἐξουσίαις ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων, ἢ πολιτικῶν ἢ στρατιωτικῶν ἢ θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων, μήτε μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἐπισκόπων ἢ ἡγουμένων, ἢ τῶν εὐαγῶν οἴκων προεστώτων, ἢ τῶν ἄλλως κοσμικῆς δόξης τυχόντων, ἀγορᾶς ἢ δωρεᾶς ἢ ἄλλῳ τινὶ τρόπῳ ὑπεισέρχεσθαι εἰς χωρίων ἢ ἀγρῶν κτήσεις. τοὺς γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κατατολμῆσαι βουληθέντας καὶ ἀναργύρως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν, καὶ τῶν οἰκείων ἐμπονημάτων καὶ καλλιεργημάτων ἀποστερεῖσθαι, καὶ τῷ δημοσίῳ περιφανεῖς μὲν ὄντας τὴν τοῦ ἐπικτήματος τιμὴν καταβάλλεσθαι, οὐκ ὠφελείας ἢ συνεισφορᾶς ἕνεκεν τοῦ δημοσίου, (οἱ γὰρ τὸ τῶν ἄλλων ἀκόρεστον τῆς φιλοκτημοσύνης ἀναστέλλειν σπουδάζοντες πῶς ἂν εἰς οἰκεῖον κέρδος τοῦτο ἀνερυθριάστως διωρισάμεθα, οὐ κοινὴν ὠφέλειαν, ἀλλ' ἰδίαν ποιεῖσθαι ἐλεγχόμενοι;) ἀλλὰ τῆς τῶν πενήτων ἕνεκα προμηθείας· τῶν εὐτελεστέρων καὶ ἀναργύρως διωκομένων καὶ διὰ τῆς προσηκούσης τιμωρίας σωφρονιζομένων. ταῦτα κρατεῖν ὑπὲρ τῆς τῶν ὑπηκόων σωτηρίας βουλόμεθα, ὑπὲρ ὧν πολλὴ καὶ διηνεκὴς ἡμῖν περίκειται πρόνοια. εἰ γὰρ τοσαύτην ἐθέμεθα τῶν ὑπὸ χεῖρα πρόνοιαν, ὡς μηδενὸς φείσασθαι τῶν συντελούντων εἰς ἐλευθερίαν, δι' ἃ καὶ χῶραι καὶ κῶμαι καὶ πόλεις, θεοῦ συνεργοῦντος, ἡμῖν προσεγένοντο τῶν ὑπεναντίων, αἱ μὲν ἔργον πολέμου γενόμεναι, αἱ δὲ τῷ τούτων ὑποδείγματι, καὶ τῷ τῆς ἁλώσεως, καὶ πρὸ τῆς πολεμικῆς ἁλοῦσαι φόβῳ σάλπιγγος προσρυεῖσαι, καὶ τοσαύτην τοῖς ὑπηκόοις παρα-

σχεθῆναι τῆς πολεμικῆς ἐφόδου τὴν ἐλευθερίαν θεοῦ συνεργοῦντος διηγωνισάμεθα, εὐχῆς καὶ σπουδῆς ἔργον προθέμενοι· οἱ τοίνυν πρὸς τὴν τῶν ἔξωθεν ἐχθρῶν ἐπιφορὰν τοσαῦτα κατεργασάμενοι, τοὺς οἰκείους καὶ ἔνδοθεν ὄντας ἐχθροὺς τῆς φύσεως, τῆς πλάσεως, τῆς εὐνομίας, πῶς οὐκ ἀποτριψόμεθα τῷ δικαίῳ τῆς ἐλευθερίας βουλήματι; τῷ τμητικῷ τῆς παρούσης νομοθεσίας ξίφει δυσχεραίνοντες καὶ βαρυνόμενοι τὸ ἀκόρεστον, τὴν πλεονεκτικὴν ἀποτέμνοντες προαίρεσιν, καὶ τοῦ ζυγοῦ τῆς τυραννικῆς καὶ βαρείας καὶ χειρὸς καὶ γνώμης ἀπαυχενίζοντες τὸ ὑπήκοον. ταῦτα ἐπὶ τῆς αὐτῆς διηνεκῶς μένειν ἰσχύος ἕκαστος τῶν δικάζειν λαχόντων παρασκευαζέτω, εἰς θεοῦ θεραπείαν καὶ τῆς ἐξ αὐτοῦ βασιλείας ἡμῶν εἰς κοινὴν λυσιτέλειαν καὶ ὠφέλειαν.

104. Νεαρὰ τοῦ εὐσεβεστάτου βασιλέως λέοντος περὶ τοῦ μονάζειν δεκαέτη παῖδα[1]. Τοιγαροῦν σύν τε τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ τοῖς θεοφιλεστάτοις μητροπολίταις ἅ τε ὁ μέγας καὶ θαυμαστὸς ἀποθεσπίζει βασίλειος (φημὶ δὴ τὰ κατὰ τὸ ἑκκαιδέκατον τῆς ἡλικίας ἔτος ἢ τὸ ἑπτακαιδέκατον ἀξιοῦσθαι τοῦ μονήρους σχήματος τοὺς ἀσπαζομένους αὐτὸ), καὶ ἅπερ ἡ ἁγία ἕκτη ἐντέλλεται σύνοδος, δεκάτῳ ἔτει προτρεπομένη τὴν εἰς τὸν τοιοῦτον βίον τῶν προσιόντων παραδοχὴν, ταῦτα διασκοπήσαντες, οὐδετέρου τῶν ἱερῶν νόμων συνείδομεν κατολιγωρεῖν, ἀλλ' ἀξιοῦσθαι μὲν τοῦ σεβασμίου προστάσσομεν σχήματος καθ' ἑκάτερον τὸν χρόνον τοὺς βουλομένους αὐτὸ ἐπανηρῆσθαι. ἕνεκα δὲ τῆς τῶν ὑπαρχόντων διοικήσεως γνώμην ἰδίαν ἀποφαινόμεθα, τῷ μὲν ἑκκαιδεκάτῳ ἀποκείρασθαί τινα βουληθέντα περὶ τῶν οἰκείων ὡς ἂν βούληται διατίθεσθαι (οἶμαι γὰρ διὰ τοῦτο καὶ τὸν μέγαν βασίλειον τοῦτον ἀποδοῦναι τὸν χρόνον τῇ τοιαύτῃ πράξει, ὡς κατ' ἐκεῖνον τῆς νομίμου ἡλικίας μηδὲν ἐμποδὼν οὔσης εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι)· τῷ δέ γε τῷ δεκάτῳ ἔτει πρὸς τὸ σεμνὸν τῆς μοναδικῆς πολιτείας μετατάξασθαι διανοηθέντι μηδὲ τούτῳ κωλύμην ἀπαντᾶν τοῦ σωτηρίου ἐπιχειρήματος (τοῦτο γὰρ ἔοικε συνιδοῦσα καὶ ἡ ἱερὰ σύνοδος συστεῖλαι τὸν χρόνον τῆς εἰς τὸν μονάζοντα βίον προσαγωγῆς), μὴ μέντοιγε λαμβάνειν αὐτὸν ὥσπερ τὴν εἰς τὸν τοιοῦτον βίον εἴσοδον, οὕτω καὶ τὴν ἐξουσίαν τοῦ περὶ τῶν οἰκείων διατίθεσθαι, ἀλλ' ἐπέχεσθαι

[1] Coll. II Nov. 6.

τοῦ τὰ ὑπάρχοντα διοικεῖν, μέχρις ἂν ἐκεῖνος ὁ καιρὸς ἐπιστῇ, καθ᾽ ὃν τὴν νομίμην συμπλήρωσιν ἡ ἡλικία λαμβάνει τοῦ διατίθεσθαι. εἰ δὲ (οἷα τὰ ἀνθρώπινα) πρὸ τῆς συμπληρώσεως ἐκείνου τοῦ χρόνου ἐξ ἀνθρώπων ἀπίοι, οἰκέται μὲν αὐτοῦ πάντες ἀφείσθωσαν τῆς δουλείας, ἡ δὲ λοιπὴ διχῇ διαιρείσθω περιουσία, διμοιρίᾳ τε καὶ τρίτῳ μέρει, καὶ τὴν μὲν ἡ μονὴ κομιζέσθω, τὸ δὲ τρίτον τοῖς συγγενέσι διδόσθω τοῦ τελευτήσαντος. εἰ δ᾽ οὗτοι μὴ πάρεισι, ἀπερχέσθω καὶ τοῦτο ἔνθα τὸ δίμοιρον προεχώρησεν.

Τὰ παράτιτλα.

α΄. Περὶ προτιμήσεως ἐπιτρόπων [1].

1. Ἐὰν γυνὴ μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς [τὰ τῆς θυγατρὸς] αὐτῆς διοικοῦσα πράγματά τινα διὰ ἀργυροπρατῶν πωλήσῃ καὶ τὸ τίμημα λάβῃ καὶ ἄπορός ἐστιν, οὐκ ἐλευθεροῦνται οἱ ἀργυρυπράται, ἐὰν εἰδότες τῆς κόρης εἶναι τὰ πράγματα δεδώκασι τὰς τιμάς, εἰ καὶ τὰ μάλιστα πολὺν χρόνον διῴκησε τὰ πράγματα αὐτῆς καὶ ἀνδρὶ αὐτὴν κατηγγύησεν [2].

β΄. Περὶ ἐπιτρόπων, καὶ τίνες δύνανται ἐπιτροπεύειν καὶ τίνες οὐ δύνανται, καὶ πότε καὶ ἐν τίσιν εὐθύνονται, καὶ περὶ τοῦ ποιεῖν αὐτοὺς ἀπογραφήν, καὶ τίνες δύνανται παραιτεῖσθαι τὴν ἐπιτροπὴν καὶ πότε καὶ τίνες οὐ δύνανται, καὶ πότε εὐθύνονται εἰς τόκους καὶ πότε οὐκ εὐθύνονται [3].

1. Καὶ ὁ πάτρων ἐπιτροπεύει ἀπελευθέρου, καὶ εἴ τι πράξει εἰς περιγραφὴν τῶν δανειστῶν, ἀνατρέπεται [4].

2. Ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται [5].

3. Δήλῳ πράγματι ἢ αἰτίᾳ ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται, οὔτε ὑπεξῃρημένων πραγμάτων. ἀλλ᾽ εἰ καὶ οὕτω δοθῇ, πᾶσα ἡ δόσις ἀκυροῦται. προσώπῳ γὰρ καὶ οὐ πράγματι ἢ αἰτίᾳ δίδοται [6].

4. Οἱ κατὰ διαθήκας ἐαθέντες ἐπίτροποι οὐκ ἀπαιτοῦνται ἐγγύας. εἰ δὲ ὁ εἷς ἐξ αὐτῶν ἐγγύας θέλει δοῦναι καὶ μόνος

---

[1] Est rubrica marginalis Synopseos Basilicorum ad lit. E tit. 38, unde hoc caput sumtum est. [2] Bas. XXVI, 5, 88. [3] Est rubrica Synopseos lit. E tit. 37, ex quo sequentia sunt desumta. [4] Bas. XXXVII, 1, 8. [5] Bas. XXXVII, 2, 18. [6] Bas. ibid. 11—13.

διοικῆσαι, ἐπιλογὴ δίδοται τοῖς πολλοῖς διὰ τοῦ ἄρχοντος, ἢ δοῦναι τὰς ἐγγύας καὶ διοικῆσαι, ἢ λαβεῖν τὰς ἐγγύας καὶ ἀναχωρῆσαι τῆς διοικήσεως. εἰ δὲ πάντες ἀσφαλίζονται, διοικοῦσιν οἱ πάντες[1].

γ'. Περὶ τῶν μὴ ποιούντων ἀπογραφήν[2].

1. Ὁ ἔνοπλον στρατείαν στρατευόμενος οὐ δύναται χειροτονηθῆναι ἐπίτροπος ἢ κουράτωρ. εἰ δὲ καὶ κατὰ πλάνην διοικήσει, κατέχεται τῇ περὶ διοικήσεως πραγμάτων ἀγωγῇ[3].

2. Δοῦλος ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι[4].

δ'. Περὶ παραιτήσεως ἐπιτρόπων[5].

1. Ὅτι ἡνίκα τὶς προσέλθῃ εἰς ἐπιτροπὴν τινος ἔχοντος ἀγωγὰς κατὰ ἀδελφῶν ἢ ἀδελφοπαίδων, δύναται ἀπολύειν ἑαυτὸν, εὔλογον ἔχων αἰτίαν παραιτήσεως, ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν τῆς ἐπιτροπῆς ἀνάγκην δίκας λέγειν ὑπὲρ τοῦ ὀρφανοῦ πρὸς τὸ οὕτω πλησιάζον αὐτῷ πρόσωπον[6].

2. Ὁ ἐπίτροπος ἐξότου γνῷ ἑαυτὸν ἐπίτροπον εἶναι εἰ ἐμπροθέσμως μὴ αἰτήσῃ ἐξκουσατίονα, ἀναγκάζεται διοικῆσαι. μὴ διοικῶν γὰρ κινδυνεύει[7].

3. Ἐὰν ὁ ἐπίτροπος ἀμελήσῃ περὶ τὴν ἀπαίτησιν τῶν πατρῴων χρεῶν, ὑπόκειται τῷ κινδύνῳ. καὶ ἐὰν μείζους τόκους ἔλαβε, δίδωσιν αὐτοὺς μὴ διδοὺς ἀντέλλογον τῶν χρεῶν. ἐκχωρεῖται δὲ τὰς τῶν χρεῶν ἀγωγάς[8].

4. Ἐὰν ὁ ἐπίτροπος τὰ ὀφείλοντα ἐν ἀποθήκῃ κεῖσθαι πράγματα καὶ πραθῆναι ἐφύλαξεν ἐν τῷ ἰδίῳ οἴκῳ, καὶ συνέβη ταῦτα ἐμπρησθῆναι, ἐνάγεται ὡς ἀπὸ ῥᾳθυμίας[9].

ε'. Πότε ἀπαιτεῖται τόκου τόκος[10].

1. Οὐ παραχρῆμα τοὺς τόκους ὁ ἐπίτροπος ἀπαιτεῖται, ἀλλ' ἔχει δύο μηνῶν ἐνδόσιμον. ὅπερ οὐκ ἔχουσιν οἱ τοῖς χρήμασι χρησάμενοι. εἰ δὲ καὶ τοῖς ἀπαιτηθεῖσι τόκοις οἱ κηδεμόνες συγχρήσονται, καὶ αὐτοὶ διδόασι τόκους. ἐὰν ὁ ἐπίτροπος μὴ ποιήσῃ ὕποπτον τὸν συνεπίτροπον αὐτοῦ, καταδι-

---

[1] Bas. ibid. 16. [2] Rubrica marginalis Synopseos lit. E tit. 37, ex quo sequentia hausta sunt. [3] Bas. XXXVII, 5, 33. [4] Bas. ib. 36. [5] Synopsis lit. E tit. 37. [6] Bas. XXXVIII, 1, 73. [7] Bas. XXXVII, 7, 1. [8] Bas. ib. 39 th. 14. [9] Bas. ib. 62. [10] Etiam haec sunt ex Synopsi tit. cit.

κάζεται ὑπὲρ αὐτοῦ, καὶ δίδωσι τόκους, οὓς ἀναγκάζεται παρασχεῖν ὑπὲρ τῆς ἰδίας διοικήσεως[1].

2. Εἴτε ποιήσῃ ἅπερ οὐκ ἐχρῆν ὁ ἐπίτροπος, εἴτε μὴ ποιήσῃ ἅπερ ἔδει, ἐνέχεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ. χρεωστεῖ δὲ ῥᾳθυμίαν καὶ δόλον καὶ ἐπιμέλειαν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν. ἐνέχεται συναινῶν τῷ ὀρφανῷ ποιοῦντι ἁπλῆν δωρεὰν ἢ θανάτου αἰτίᾳ[2].

3. Ἐὰν εὔποροι ἦσαν οἱ τοῦ ἀνήβου χρεῶσται ἀρξαμένου χειρίζειν τοῦ ἐπιτρόπου, ῥᾳθυμήσαντος δὲ αὐτοῦ ὕστερον γεγόνασιν ἄποροι, τῷ ἐπιτρόπῳ κινδυνεύεται ἡ ἀπορία[3].

4. Εἴτε κατὰ δόλον τῶν ἐπιτρόπων ἢ κουρατώρων ἢ ζημιωθῶσιν ἢ μὴ κερδάνωσιν οἱ νέοι, δύνανται αὐτοὺς ἀπαιτῆσαι τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ[4].

5. Ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ καὶ κληρονόμοις [καὶ] κατὰ κληρονόμων ἁρμόζει[5].

ς΄. Περὶ διαθηκῶν στρατιωτικῶν[6].

1. Ἐὰν στρατιώτης ἀρξάμενος παγανικῶς διατίθεσθαι μὴ πληρώσῃ, στρατιωτικῶς ἔῤῥωται. καὶ ὁ παγανικῶς δὲ διατιθέμενος ἐὰν εἴπῃ τὴν διαθήκην αὐτοῦ τάξιν ἔχειν κωδικέλλου, ἔῤῥωται καὶ ἀτελὴς εὑρισκομένη ἡ διαθήκη· ἰσχύει γὰρ ὡς κωδίκελλος[7].

2. Καὶ οἱ μὴ δυνάμενοι στρατιωτικῶς διατίθεσθαι, εἴτε ἄρχοντες τῶν ἐπαρχιῶν εἰσὶν εἴτε τινες ἕτεροι, ἐὰν ἐν πολέμῳ καταλειφθέντες ἀποθάνωσι, διατίθενται ὡς ἂν θέλωσιν ἢ ὡς ἂν δύνανται[8].

ζ΄. Περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι[9].

1. Ἐὰν ζητῆται, τίνι ὀφείλει ἡ διαθήκη παρατεθῆναι, ὁ γέρων τοῦ νεωτέρου προκρίνεται καὶ ὁ μείζονος τιμῆς τοῦ ἥττονος καὶ ὁ ἀνὴρ τῆς γυναικὸς καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου[10].

2. Ἀκαθήκουσαν λέγει τὴν διαθήκην ἐν τῷ λέγειν, μὴ ὀφείλειν ἀπόκληρον γενέσθαι ἢ ἀμνημόνευτον. οὔτε γὰρ δεῖ τοῖς γονεῦσι συναινεῖν καὶ ζημιοῦσθαι τοὺς παῖδας ἐν ταῖς διαθήκαις[11].

---

[1] Bas. XXXVII, 7, 7 th. 11—12. 14. [2] Bas. XXXVIII, 3, 1. [3] Bas. ib. 27. [4] Bas. ib. 32. [5] Bas. ib. 37. [6] Syn. lit. Δ tit. 14. [7] Bas. XXXV, 21, 3. [8] Bas. ib. 37. [9] Syn. lit. Δ tit. 21 sqq. [10] Bas. XXII, 1,34. [11] Bas. XXXIX, 1, 3. 4.

3. Κἂν στρατιώτης ἐν διαθήκῃ συστρατιώτου γράψῃ ἑαυτῷ λεγάτον, ἰσχυρὸν μὲν οὔκ ἐστι τὸ γράμμα, πλὴν οὖν ἀργεῖ [ὁ] νόμος ὁ περὶ πλαστογραφίας[1].

4. Ἡ κατὰ τῆς διαθήκης μέμψις χρῶμα εἰσάγει ὡσανεὶ τὸ μὴ φρονεῖν τὸν διαθέμενον, οὐχ ὅτι ταῖς ἀληθείαις παρεφρόνησεν ἢ ἐμεμήνει. ἡ γὰρ ἂν οὐκ ἔῤῥωται ἡ διαθήκη[2].

5. Ὁ παρὰ γυναικὸς υἱοθετηθεὶς καὶ παραμεληθεὶς οὐ κινεῖ κατὰ τῆς διαθήκης αὐτῆς μέμψιν. γυνὴ γὰρ παρὰ κέλευσιν βασιλέως οὐχ υἱοθετεῖ[3].

6. Θυγάτηρ παρὰ τῆς μητρὸς ἀμνημόνευτος γενομένη καλῶς κινεῖ τὴν κατὰ τῆς διαθήκης μέμψιν[4].

7. Ἡ μήτηρ κατὰ τῆς τοῦ παιδὸς διαθήκης καλῶς τὴν μέμψιν κινεῖ, κἂν ἀδελφὴν ἰδίαν ἔγραψεν ἐκεῖνος κληρονόμον[5].

8. Οἱ ἀδελφοὶ καὶ αἱ ἀδελφαὶ κατὰ διαθήκης μέμψιν κινείτωσαν ἀδελφοῦ ἢ ἀδελφῆς, ἐὰν οἱ γεγραμμένοι κληρονόμοι ἄτιμοι ὦσιν ἢ αἰσχροὶ καθ᾽ οἱανδήποτε κουφοτάτην ἀτιμίαν, ἢ ἀπελεύθεροι μὴ μεγάλαις εὐεργεσίαις τὸν ἴδιον ἀμειψάμενοι πάτρωνα. κατὰ δὲ δούλου ἀναγκαίου γενομένου κληρονόμου μὴ ἐναγέτωσαν[6].

9. Ὅτι ὁ χρόνος τῆς κατὰ τῆς διαθήκης μέμψεως οὐκ ἐκ τῆς τελευτῆς τοῦ διαθεμένου τρέχει, ἀλλ᾽ ἐξ ἧς ὁ κληρονόμος ὑπεισῆλθε τῇ κληρονομίᾳ. εἰ μὲν γὰρ [ἐν] τῇ αὐτῇ ἐπαρχίᾳ, εἴσω ἓξ μηνῶν ὑπεισέρχεσθαι ὀφείλει· εἰ δὲ ἐν ἄλλῃ μὲν ἐπαρχίᾳ διάγουσιν οἱ μέλλοντες τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖν, ἐν ἄλλῃ δὲ ὁ κληρονόμος, ἐντὸς ἐνιαυτοῦ συναπτοῦ ἀπὸ τῆς τελευτῆς τοῦ διαθεμένου ψηφιζομένου ὑπεισέρχεσθαι αὐτὸν ἢ ἀποτάττεσθαι τῇ κληρονομίᾳ. εἰ δὲ εἴσω τῶν εἰρημένων καιρῶν [μὴ] ὑπεισέλθοι τῇ κληρονομίᾳ, τὸν ἄρχοντα διὰ τῆς τάξεως ἀναγκάζειν αὐτὸν ὑπεισελθεῖν[7].

10. Ἐὰν ἐκ τριῶν ἀδελφῶν ὁ εἷς ἐστιν αἰχμάλωτος, οἱ ἐν τῇ πολιτείᾳ δύο τὴν διακατοχὴν εἰς μόνον τὸ ὀκταούγγιον αἰτοῦσι, τὸ δὲ λοιπὸν τῷ αἰχμαλώτῳ φυλάττεται. τὸ αὐτὸ καὶ ἐπὶ κυοφορουμένων· ἕως γὰρ ἐλπίζεται, μέρος ποιεῖ τοῖς ἐν φύσει αὐτοῦ ἀδελφοῖς. οὐ μόνον οἱ ὑπεξούσιοι, ἀλλὰ καὶ οἱ ὁπωσδήποτε τῆς ὑπεξουσιότητος ἐξελθόντες καλοῦνται εἰς τὴν

---

[1] Bas. LX, 41, 63. [2] Bas. XXXIX, 1, 2. [3] Bas. ib. 25 th. 4. [4] Bas. ib. 43. [5] Bas. ib. 45. [6] Bas. ib. 52. [7] Bas. ib. 58.

διακατοχὴν, οὐκέτι δὲ καὶ ὁ ἀπὸ τοῦ θετοῦ πατρὸς αὐτεξούσιος γεγονώς[1].

11. Ἐσχηκὼς υἱὸν μετὰ τὸ αὐτεξούσιον γίνεσθαί με δέδωκα αὐτὸν τῷ πατρί μου εἰς θέσιν· οἱ δύο κληρονομοῦμεν αὐτῷ. ἐὰν δὲ αὐτεξούσιος γένηται, μόνος ἐγὼ κληρονομῶ. ἐὰν δὲ αὐτεξούσιος γεγονὼς ἀγάγωμαι μὴ κατὰ βούλησιν τοῦ πατρός μου ἢ καὶ αἰσχρὰν γυναῖκα καὶ παιδοποιήσας ἀποθάνω, κληρονομεῖ ὁ υἱός μου τοῦ πατρός μου[2].

12. Ἐὰν ὁ αὐτεξούσιός μου υἱὸς παιδοποιήσας ἀποθάνῃ καὶ μετ᾽ αὐτὸν ἐγὼ, καλεῖται πρὸς τὴν διακατοχήν μου ὁ ἔγγονος[3].

η΄. Περὶ τῆς [τῶν] ἀφηλίκων ἀποκαταστάσεως[4].

1. Εἴτε ἀνήβου εἴτε ἀφήλικος ἢ κουρατωρευομένου ἢ αἰτήσαντος ἤδη συγγνώμην ἡλικίας πρᾶγμα ἐξεποιήθη, κἀκεῖνος ἐπὶ πολὺν χρόνον ἐσιώπησε, βεβαιοῦται μὲν ἡ πρᾶξις δηλονότι· ὁρίζει δὲ χρόνον ἡ διάταξις, ὃν σιωπήσας ὁ ἀφῆλιξ μετὰ τὴν τελείαν ἡλικίαν βεβαιοῖ τὴν πρᾶσιν ἤτοι τὴν ὑποθήκην, κελεύει γὰρ ἵνα, ἐὰν πέντε ἐνιαυτοὺς συναπτοὺς μετὰ τοὺς κε΄ ἐνιαυτοὺς μὴ μέμψηται ἢ αὐτὸς ἢ κληρονόμος αὐτοῦ, ἰσχύῃ[5].

θ΄. Περὶ τῆς διαδοχῆς τοῦ γνησίους καὶ νόθους ἔχοντος παῖδας.

1. Ὁ τελευτῶν ἐπὶ παλλακῇ καὶ νόθοις παισὶ γνησίας ὑπούσης γονῆς, γαμετῆς χωρὶς, ἄχρι μιᾶς οὐγγίας καὶ μόνον καταλιμπανέτω αὐτοῖς· τῇ δὲ παλλακῇ μὴ ἐχούσῃ παῖδας ἥμισυ οὐγγίας δωρείσθω καὶ μόνον. εἰ δὲ περισσὸν δῷ, οἱ γνήσιοι παῖδες τοῦτο ἐκδικείτωσαν. γνησίων δὲ μὴ ὑπόντων παίδων ἢ ἀνιόντων, τὸ πᾶν αὐτοῖς εἰ βούλοιτο διδότω. εἰ δὲ περίεισιν οἱ ἀνιόντες, τὸ νόμιμον αὐτοῖς καταλιμπάνων τὸ λοιπὸν [δι]αιρείτω ὡς βούλεται[6].

2. Οἱ ἐκ πορνείας καὶ συγκεχυμένης σπορᾶς τικτόμενοι παῖδες λέγονται σπούριοι. οὗτοι δὲ τῇ μητρὶ ἕπονται, οἱ δὲ νόμιμοι τῷ πατρί[7].

3. Εἴ τις μὴ ἔχων νομίμην γυναῖκα παῖδας ἐκ δούλης παιδοποιήσει, ἐλευθερῶν ταύτην ἅμα τοῖς παισὶ καὶ δίκαιον χρυ-

---

[1] Bas. XL, 3, 1 th. 4. 5. [2] Bas. ib. 3 th. 4. [3] Bas. ibid. 5 th. 1.
[4] Syn. lit. *Δ* tit. 73. [5] Basil. X, 4, 66. [6] Appendix Eclogae IV, 1.
[7] App. Eclogae V.

σίου δακτυλίου αὐτοῖς καὶ παλιγγενεσίας αἰτῶν, δύναται προικῷα συμβόλαια ποιῶν τόν τε γάμον καὶ τοὺς παῖδας γνησίους ἀποτελεῖν. χώραν ἐχόντων τούτων καὶ ἐπὶ ἀπελευθέρων[1].

4. Ὁ ἐξ ἐλευθέρας ἔχων παῖδας, εἰ ποιήσει προικῷον συμβόλαιον, γνησίους αὐτοὺς ποιεῖ κἂν προετέχθησαν. καὶ ὁ ἐκ δούλης δὲ ἐσχηκὼς παῖδας καὶ ταύτην ὕστερον ἅμα τοῖς παισὶν ἐλευθερώσας καὶ πρὸς τὴν γυναῖκα προικῷα ποιήσας, ταύτην μὲν νόμιμον ποιείτω γαμετὴν καὶ τοὺς παῖδας γνησίους[2].

ι'. Περὶ ἀνταλλαγῆς, καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως[3].

1. Ἐάν τις πρᾶγμα λαβὼν ἕτερον πρᾶγμα ἀντ᾽ αὐτοῦ παράσχῃ, τυχὸν λαβὼν ἐσθῆτα δέδωκεν οἰκέτην, οὐ πάντως ἀνταλλαγή ἐστιν. ἀλλὰ δεῖ ζητεῖν ἡμᾶς κἀκεῖνο, ἆρα μήτι [ὁ] τὴν ἐσθῆτα ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο καὶ ὁ τὸν οἰκέτην ἔχων ἀγοράσαι ταύτην ἐπεζήτει, καὶ ἐν τῷ συμφωνεῖν τὰ τοῦ τιμήματος συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα· ἢ μήτι αὐτοὶ ἐξ ἀρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον, ἀλλ᾽ ἐναλλάξαι τὰ πράγματα ἐβουλήθησαν[4].

ια'. Περὶ τῶν διδομένων ἢ δρωμένων ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ τινὶ οἱᾳδηποτοῦν ὑποθέσει, καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα ἢ οὐκ ἀπαιτοῦνται[5]

1. Ὁ κατασχεθεὶς ἐπὶ μοιχείᾳ ἢ κλοπῇ ἤ τινι ἁμαρτήματι ἐὰν δῷ τι ἢ ὁμολογήσῃ ὥστε μὴ [παρα]δοθῆναι ἢ φονευθῆναι ἢ δεθῆναι, ἔχει τὴν τῆς δόσεως αἰτίασιν ὑπὲρ τοῦ ἀναλαβεῖν ἃ δέδωκεν[6].

2. Ἐὰν ἀνὴρ ἢ γυνὴ δῷ ἵνα μηδὲν αἰσχρὸν ἢ αὐτὸς ἢ τέκνον αὐτοῦ ὑποστῇ, ἔχει τὴν τῆς δόσεως αἰτίασιν. οὗτος γὰρ ὁ φόβος μείζων ἐστὶ τοῦ θανάτου· ὁ δὲ λαβὼν ἢ ὁμολογηθεὶς ἐπὶ τῷ φυλάξαι ἢ ἐλευθερῶσαί τινα λῃστῶν ἢ πολεμίων οὐκ ἐνέχεται, εἰ μὴ μετέσχε τῆς βίας. ὑπουργίας γὰρ μισθὸν ἔλαβεν[7].

3. Ὁ πρᾶγμα λαβὼν ἐπὶ αἰτίᾳ, τὴν αἰτίαν ὀφείλει πληροῦν ἢ ὅπερ ἔλαβεν ἀναδιδόναι[8].

4. Τὰ δοθέντα χρήματα, εἰ καὶ ἡ αἰτία ὑπὲρ ἧς ἐδόθησαν μὴ παρ᾽ αἰτίαν τοῦ λαβόντος ἀλλὰ κατὰ τύχην ἐνεποδίσθη, οὐκ ἀναλαμβάνονται[9].

---

[1] Athanas. IX, 2 (Nov. 18), qui locus et ipse ex aliqua Appendice Eclogae haustus esse videtur. [2] Appendix Eclogae III. [3] Syn. *Δ*, 46. [4] Bas. XX, 3, 3. [5] Syn. *Δ*, 32. [6] Bas. X, 2, 7. [7] Bas. ib. S. 9 th. 2. [8] Bas. XX, 3, 7. [9] Bas. XXIV, 1, 38.

5. Ὁ εἰδὼς πορνεύεσθαι τὴν γυναῖκα καὶ σιωπῶν πορνοβοσκεῖν ποιεῖ. τὰ δὲ ἐπ' αἰσχρᾷ αἰτίᾳ τοῦ διδόντος ἐπερωτηθέντα, εἰ καὶ μετὰ καταβολὴν οὐκ ἀναστρέφονται, ὅμως ἀπαίτησιν [οὐκ] ἔχουσιν[1].

6. Τὸ καταβαλλόμενον μὴ ἐξ αἰτίας ἐῤῥωμένης ἢ μὴ ἐχούσης ἀποτέλεσμα ἀναλαμβάνεται[2].

7. Τὸ διὰ πρᾶγμα διδόμενον, ἵνα τόδε ποιήσῃς, εἰ οὐ ποιήσεις, ἀναλαμβάνεται[3].

8. Ὁ λαβὼν ἐν προσχήματι ἐγκλήματος, μὴ ἀποδειχθέντος [αὐτοῦ], ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον ἀπαιτεῖται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν ὑπόκειται, καὶ πρὸς τὸ ἁμάρτημα τιμωρεῖται[4].

ιβ'. Περὶ ἀπροσφόρου δικαστοῦ[5].

1. Ἐὰν συμφωνήσω συνελθεῖν παρὰ δικαστῇ ἀπροσφόρῳ, δύναμαι πρὸ τῆς εἰσόδου μεταμέλεσθαι[6].

2. Ὁ δικαστὴς φροντιζέτω μηδὲ τοῖς παρανόμως ῥηθεῖσι παρὰ βασιλέως προσέχειν[7].

3. Πάντες οἱοιδήποτε δικασταὶ ἐκ προοιμίων τῆς δίκης μέχρι τῆς ἀποφάσεως καὶ κατ' αὐτὴν δὲ τῆς ἀποφάσεως τὴν ἀνάγνωσιν προσκειμένων τῶν ἁγίων εὐαγγελίων δικαζέτωσαν, τῶν ἑκατέρου μέρους συνηγόρων ἐν αὐτῇ τῇ προκατάρξει ὀμνύντων κατὰ τῶν ἁγίων εὐαγγελίων, ὡς οὔτε παραλείψει σπουδὴν ὑπὲρ τοῦ οἰκείου πρόσφυγος καὶ ὅτι καλὸν ἡγεῖται τὸ πρᾶγμα καὶ οὐ σύνοιδεν αὐτῷ δικαιολογίαν ψευδῆ. εἰ δὲ καὶ μεταξὺ τῆς ἀναγνώσεως καταγνῷ, τοῦ πράγματος ἀφιστάσθω, μὴ ἔχοντος ἄδειαν τοῦ δικαζομένου ἕτερον δικολόγον προτρέπεσθαι[8].

ιγ'. Περὶ δόλου κακοῦ καὶ καλοῦ[9].

1. Δόλος καλός ἐστι πανουργία καὶ ἀπάτη καὶ μηχανὴ πρὸς περιγραφὴν ἑτέρου γινομένη. ἐστὶ δὲ καλὸς δόλος, καὶ μάλιστα ὁ κατὰ τῶν πολεμίων καὶ τῶν λῃστῶν[10].

---

[1] Bas. XXIV, 2, 14. [2] Bas. XXIV, 6, 54. [3] Bas. ib. 65 th. 4. [4] Bas. LX, 1, 8. [5] Syn. Δ, 35. [6] Bas. VII, 3, 18. [7] Bas. VII, 6, 11. [8] Bas. ib. 14. [9] Syn. Δ, 39. [10] Bas. X, 3, 1 th. 2.

ιδ'. Περὶ στρατιωτικῶν ἐπιτιμίων[1].

1. Εἴ τινες τολμήσουσι συνομοσίαν ἢ φρατρίαν ἢ στάσιν κατὰ τοῦ ἰδίου ἄρχοντος ποιῆσαι ὑπὲρ οἱασδήποτε αἰτίας, κεφαλικὰς ὑποστήσονται τιμωρίας, ἐξαιρέτως οἱ πρωταίτιοι.

ιε'. Περὶ ἀποκαταστάσεως[2].

1. Ἐάν τις κατὰ βίαν ἢ κατὰ φόβον θανάτου ἢ τοὺς κατὰ τοῦ σώματος βασάνους εὐλαβηθεὶς πωλήσῃ πράγματα, καὶ μηδὲ μετὰ ταῦτα τῇ συναινέσει βεβαιώσῃ τὴν πρᾶσιν, κατὰ τὴν δύναμιν τοῦ διηνεκοῦς διατάγματος ἐντὸς μὲν ἐνιαυτοῦ κινῶν, καὶ ἐὰν μὴ ἀποδοθῇ αὐτῷ τὸ πρᾶγμα, τετραπλάσιον ἀπολήψεται, ἀναδιδοὺς δηλονότι τὸ τίμημα ὅπερ ἔλαβε· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν δοθήσεται αὐτῷ[3].

ις'. Περὶ ἀπόντων καὶ ἀναζητουμένων καὶ ὡς ἐπὶ ἐγκλήματι κατηγορουμένων[4].

1. Ὁ ἐπὶ βαρυτάτοις ἐγκλήμασιν ἐνεχόμενος καὶ ἀπολιμπανόμενος οὐ καταδικάζεται ἀπών, ἀλλὰ γίνεται ἀναζητούμενος. καὶ ἐὰν ἐντὸς ἐνιαυτοῦ παραγένηται καὶ ἀποδείξῃ ἑαυτὸν ἀνεύθυνον, παραλαμβάνει τὰ ἴδια πράγματα κρίσει τοῦ δικαστοῦ σφραγισθέντα. ὅθεν καὶ μετὰ ταῦτα, εἰ καὶ μηδέποτε ἐκάθηρεν ἑαυτὸν τοῦ ἐπιφερομένου ἐγκλήματος, ὅμως ἐὰν τελευτήσῃ, εἰς τοὺς κληρονόμους τοὺς ἰδίους παραπέμπει τὴν ἰδίαν οὐσίαν. εἴ τις δέ ποτε ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς ὑπεύθυνος γέγονεν, ἐν δικαστηρίῳ αἰτιαθεὶς εἴσω ἐνιαυτοῦ διαστήματος μὴ βουληθῇ παραγενέσθαι ἐν τῷ δικαστηρίῳ, καὶ τὰ πράγματα τῷ δημοσίῳ διεκδικηθῶσι, καὶ [εἰ] μετὰ ταῦτα εὑρεθεὶς ὑπεύθυνος εἴη καταληφθεὶς, αὐστηροτέρᾳ ὑποβαλλέσθω ἀποφάσει. εἰ δὲ καὶ ἐλέγχοις φανεροῖς καὶ ἀποδείξει διαυγεῖ τὴν ἀθωότητα τὴν ἰδίαν καθᾶραι σπουδάσει, μηδὲν ἧττον αἱ ὑποστάσεις αὐτοῦ παρὰ τῷ δημοσίῳ μενέτωσαν[5].

ιζ'. Περὶ καταλελειμμένων[6].

1. Ὃ ἐγκατέλιπον, οὐκέτι ἐστὶν ἐμὸν, τοῦ δὲ προκαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα. [ὁ] εἰδὼς ἐγκαταλελεῖφθαί τι κτᾶται αὐτό. παύεται γὰρ τοῦ εἶναι τοῦ καταλιπόντος καὶ γίνεται τοῦ κρατοῦντος[7].

---

[1] Leges militares §. 10 in Appendice Eclogae. [2] Syn. *A*, 53. [3] Bas. X, 2, 27. [4] Syn. *A*, 57. [5] Bas. LX, 49, 6. 7. [6] Syn, *E*, 2. [7] Bas. L, 7, 1, 2.

ιη'. Περὶ ἀλληλεγγύων[1].

1. Εἴ τις ἀλληλεγγύους ὑπευθύνους λάβοι τινάς, εἰ μὲν μὴ προσθείη τὸ δεῖν καὶ ἕνα τούτων εἰς ὁλόκληρον ἐνέχεσθαι, πάντας ἐξ ἴσου τὴν ἀγωγὴν ὑφίστασθαι. εἰ δὲ καί τι τοιοῦτο προστεθείη, φυλάττεσθαι μὲν τὰ σύμφωνα, οὐκ εὐθὺς μέντοι τὴν ἀρχὴν εἰς ὁλόκληρον ἀπαιτεῖσθαι, ἀλλὰ τέως μὲν κατὰ τὴν μοῖραν, καθ' ἣν ἕκαστος ἐνέχεται. χωρεῖν δὲ αὐτὸν καὶ κατὰ τῶν λοιπῶν, εἴ γε καὶ εὔποροι καθεστᾶσιν καὶ ἐνδημοῦσι. καὶ εἰ τοῦτο οὕτως ἔχον φανείη, εἰ μὲν εὐπόρως ἔχουσι καὶ παρόντες τύχοιεν, ἐκείνους κινδυνεύειν ἐκπληρῶσαι ἕκαστον εἰς τὸ οἰκεῖον μέρος τὸ ἀλληλεγγύως δανεισθὲν, ἐξ οὗπερ ὅλως ἔνοχοι γεγόνασι, καὶ μὴ τὸ κοινὸν χρέος ἴδιόν τινος γίνεσθαι βάρος. εἰ δὲ ἀπόρως ἔχοντες οἱ λοιποὶ φανεῖεν, εἴτε πάντες εἴτε τινὲς, εἴτε εἰς μέρος εἴτε εἰς ὁλόκληρον, ἢ καὶ ἀπόντες τύχοιεν, εἰς ἐκεῖνο ἐνέχεσθαι, ὅπερ λαβεῖν παρὰ τῶν ἄλλων οὐκ ἐδυνήθη[2].

2. Ὁ εἰς ὁλόκληρον ἐγγυησάμενος τὸν μισθωσάμενον πολιτικὰ τέλη καὶ εἰς τόκους ἐνέχεται, εἰ μή τι ῥητῶς ἕτερον συνεφωνήθη. εἰ δὲ καὶ περὶ τῆς ἀπορίας τὶ συνεφωνήθη, ἀκολουθοῦμεν τῇ ἀγαθῇ πίστει[3].

ιθ'. Περὶ ἐνοίκων[4].

1. Τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων μήτε τὸ στεγονόμον κατατιθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν καὶ παρόντων δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα[5].

2. Ὅτι ὁ ἔνοικος ἐφόσον δίδωσι τὸ μίσθωμα οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου, εἰ μὴ ἄρα ἢ εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου, ἢ ἐπισκευάσαι βούλεται, ἢ ὁ ἔνοικος κακῶς αὐτῷ κέχρηται[6].

κ'. Περὶ ἐνδίκων, τουτέσιν ὧν ἡ δεσποτεία φιλονεικεῖται[7].

1. Οὐκ ἔστιν ἐπίδικον τῷ θεῷ καθιεροῦν, καὶ ὁ τοῦτο ποιήσας δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ, ὑπὲρ ὧν δυνατωτέρῳ ἀντιδίκῳ αὐτοῦ παρεδόθη[8].

---

[1] Syn. E, 1. [2] Bas. XXVI, 2, 2. [3] Bas. LIV, 10, 2 th. 7. 8. [4] Syn. E, 24. [5] Bas. XX, 1, 56. [6] Bas. ib. 65. [7] Syn. E, 34. [8] Bas. XXVII, 1, 8.

κα'. Περὶ ἐργολάβων[1].

1. Ἐστὶ δὲ ὁ ἐργολάβος ὁ χρήματα δεδωκὼς ἐπὶ τῷ ἐκχωρηθῆναι ἀγωγήν[2].

2. Ὁ μὲν ἐργολάβος τὴν ἀλλοτρίαν δίκην κακῶς ἀπαιτεῖ πληρωθῆναι τὰ ὑποσχεθέντα ἐπ' αὐτῇ· οὐδὲ γὰρ ἔχει τὴν περὶ ἐντολῆς ἀγωγήν. ὁ μέντοι κατὰ ἐντολὴν ὑπέρ τινος δικασάμενος δύναται τὰ γινόμενα δαπανήματα λαβεῖν[3].

κβ'. Περὶ πράσεως, πράτου καὶ ἀγοραστοῦ[4].

1. Ἡνίκα τὶς πιπράσκων ὁρίζει τίμημα δωρεᾶς χάριν οὐχ ὡς μέλλων ἀπαιτεῖν, ἡ πρᾶσις οὐκ ἔῤῥωται[5].

2. Σαφέστερον δὲ τοῦτο προϊόντος τοῦ λόγου γενήσεται. ἐπώλησέ τις ἀγρὸν δικαίῳ κληρονομίας εἰς αὐτὸν περιελθόντα, εἰπὼν οὕτως· ἔστω σοὶ πεπραμένος ὁ ἀγρὸς τοσούτου, ὅσον ὁ ἐμὸς τεστάτωρ ἤγουν διατιθέμενος ἔτυχεν αὐτὸν ἀγοράσας. ἐὰν συμβῇ μὴ ἀγοράσθαι ὑπὸ τοῦ τεστάτωρος, ἀλλὰ δωρεῖσθαι αὐτῷ, ἡ πρᾶσις ἐξασθενεῖ δίχα τιμήματος οὖσα. καὶ ἐστὶ παραπλησία τῇ ὑπὸ αἵρεσιν γενομένῃ πράσει. ἥτις ἄκυρος ἔσται τῆς αἱρέσεως ἀτονησάσης[6].

3. Ἐάν τις ἐξ ἀνάγκης ἀπολειφθῇ, ἡ γενομένη κατ' αὐτοῦ ἀπόφασις οὐκ ἰσχύει[7].

4. Ἀπόφασις ἡ παρὰ τὸν τύπον τῶν δικαστηρίων ἐξενεχθεῖσα ἀνυπόστατός ἐστιν[8].

5. Ἐὰν ὁ πράτης καὶ ὁ ἀγοραστὴς γινώσκωσι κλοπιμαῖον τὸ πιπρασκόμενον, οὐδέτερος ἀγωγὴν ἔχει· ἀλλήλους γὰρ ἀπατῶσιν. εἰ δὲ μόνος ὁ ἀγοραστὴς οἶδεν, οὐκ ἔχει κατὰ τοῦ πράτου ἀγωγὴν, εἰ μὴ δίδοται αὐτῷ τὸ πρᾶγμα, οὔτε ὁ πράτης κατὰ τοῦ ἀγοραστοῦ, εἰ μὴ ἑκὼν παράσχῃ ὅπερ συνεφώνησεν. εἰ δὲ μόνος ὁ πράτης οἶδεν, ἐνέχεται. ἀναγκάζει γὰρ ὁ πράτης τὸν ἀγοραστὴν καταβαλεῖν αὐτῷ τὸ τίμημα, λέγων αὐτῷ, εἰ καὶ φούρτιβον ἤγουν κλεψιμαῖόν ἐστιν, οὐδὲν πρὸς σὲ, ἐμοῦ τῇ ἐκνικήσει ὑποκειμένου· καὶ ἐντεῦθεν ὁ ἀγοραστὴς ζητεῖ τὸ πρᾶγμα[9].

---

1 Syn. *E*, 40. 2 Est adnotatio ad rubricam in Synopsi. Cf. edit. Leunclaji p. 156. 3 Bas. XIV, 1, 82. 4 Hic titulus non ex Synopsi sed ex integris Basilicis eorumque scholiis exceptus esse videtur. 5 Dig. XVIII, 1, 36. Cf. Basil. XIX, 1, 36 not. in Supplem. Basil. p. 259. 6 Dig. XVIII, 1, 37. Cf. Bas. XIX, 1, 35 in edit. Heimb. 7 Bas. IX, 1, 62. 8 Bas. IX, 1, 70. 9 Dig. XVIII, 1, 34 §. 3. Cf. Bas. XIX, 1 32 th. 3 in edit. Heimb.

6. *Πατὴρ τὸν υἱὸν οὐδὲ πωλεῖ, οὐδὲ δωρεῖσθαι οὐδὲ ὑποτίθεσθαι ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ ἐκποιεῖν οὐδὲ προσχήματι τῆς τοῦ λαμβάνοντος ἀγνοίας εἰς ἄλλον δύναται μεταφέρειν*[1].

7. *Οὐδεὶς πωλεῖ οὐδὲ δωρεῖται οὔτε ὑποτίθεται τὸν υἱὸν αὐτοῦ, εἰ μὴ ἄρα πένης ἐστὶ κατὰ τὴν β' διάταξιν τοῦ ιθ' βιβλίου, ἥτις φησὶ τὸν δεόμενον πωλεῖν τὸν υἱὸν αὐτοῦ τὸν ἄρτι γεγεννημένον. πλὴν ἐὰν εὐπορήσῃ αὐτὸ ὁ πατὴρ ἢ υἱὸς ἢ ἐὰν οἱοσδήποτε ἐξωτικὸς θελήσῃ, καλῶς δίδωσι τὸ τίμημα αὐτοῦ ἢ ἄλλο ἀνδράποδον ὑπὲρ αὐτοῦ καὶ ἐλευθεροῖ αὐτόν*[2].

8. *Οὐ πωλεῖ πατὴρ υἱὸν, κἂν λέγῃ αὐτὸν δοῦλον, ἀλλ' οὐδὲ χρήσασθαι αὐτῷ δύναται δούλῳ*[3].

9. *Ὁ ἐν εἰδήσει λαβὼν εἰς ὑποθήκην τὸν παρὰ τοῦ πατρὸς ἐνεχυριασθέντα υἱὸν ἢ ἀγοράσας ἢ ἄλλῳ οἱωδήποτε τρόπῳ... ἐξορίζεται*[4].

10. *Ἐάν [τις] πιπράσκων ἢ ἄλλως ἐκποιῶν πρᾶγμα συμφωνήσῃ, ἵνα μὴ ἐξῇ τῷ ἀγοραστῇ τάφον οἰκοδομῆσαι ἐν τῷ τόπῳ ἢ ἄλλα ποιεῖν θείου δικαίου, τοῦτο τὸ σύμφωνον ἔῤῥωται. ἔξεστι γὰρ ἑκάστῳ παραιτεῖσθαι γείτονα, ὃν οὐ βούλεται ἔχειν, διὰ ἰδικοῦ συμφώνου*[5].

11. *Πολλάκις γὰρ μοναστήριον οἰκοδομεῖ ἢ εὐκτήριον οἶκον, καὶ εὑρίσκονται γειτνιῶντες τῷ ἀγρῷ τοῦ πεπρακότος ἐκεῖνοι, οὓς οὐ βούλεται*[6].

12. *Ἐὰν περιτυχὼν ἁλιεῖ συμφωνήσω αὐτῷ νόμισμα δοῦναι ἐπὶ τῷ λαβεῖν τὸν μέλλοντα διὰ τῶν αὐτοῦ δικτύων θηρᾶσθαι ἰχθὺν, τούτου δὲ γινομένου τοῦ συμφώνου ὁ ἁλιεὺς ῥῖψαι μὴ βουληθῇ τὸ δίκτυον, σκοποῦμεν εἰς πόσον ὀφείλει αὐτὸ τὸ τῆς θήρας ἄδηλον [διατιμᾶσθαι] καὶ εἰς τούτου διατίμησιν τὸν ἁλιέα καταδικάζομεν. εἰ δὲ ἔῤῥιψε μὲν τὸ δίκτυον, ἀγνωμονεῖ δὲ περὶ τὴν τῶν θηραθέντων ἀπόδοσιν, τότε καταδικασθήσεται τὴν ἐξ αὐτῶν τῶν ἀγρευθέντων δοῦναι διατίμησιν*[7].

13. *Ὁ μὲν ὑπὸ γεῦσιν ἀγοράζων δύναται ἀποδοκιμάζειν, ὁ δὲ ὑπὸ μέτρον οὔτε προστιθέναι οὔτε ὑφαιρεῖν δύναται*[8].

14. *Τοῦ πιπρασκομένου πράγματος, οἷον οἴνου ἢ ἐλαίου, δι' ἑτέραν μὲν αἰτίαν ἡ γεῦσις, δι' ἑτέραν δὲ τοῦτο μετρεῖ-*

---

[1] Cod. IV, 43, 1. Cf. Bas. XIX, 1, 86 in edit. Heimb [2] Cod. IV, 43, 2. Cf. Basil. XIX, 1, 87 (Heimb.) [3] Cf. Theod. ad Cod. VII, 16, 1 in Basil. ed. Heimb. IV p. 769. [4] Cf. Nov. 134 c. 7. [5] Cod. IV, 54, 9. Cf. Basil. XIX, 1, 96 (Heimb.) [6] Adnotatio ad Cod. l. l. [7] Dig. XIX, 1, 12. Cf. Bas. XIX, 8, 12 (Heimb.) [8] Dig. XVIII, 1, 34 §. 5 Basil. XIX, 1, 34 (32).

ται. ἡ γὰρ γεῦσις εἰς τοῦτο καὶ μόνον ὠφελεῖ ὥστ' ἐξεῖναι ἀποδοκιμάζειν. ἡ δὲ μέτρησις οὐ διὰ τοῦτο γίνεται οὐδὲ εἰς τοῦτο χρειῶδές ἐστιν, ὥστε ἢ πλέον ἢ ἔλαττον πραθῆναι· οὐδὲ γὰρ εἰ τὸν πίθον τοῦ οἴνου εἰς ἴδιον ἀγοράσω μέτρον γινόμενον ἐπὶ τῷ πεπραμένῳ ἢ πλείονα ἢ ἐλάττω τὸν οἶνον ποιεῖ. ἀλλ' ἡ μέτρησις διὰ τοῦτο παραλαμβάνεται διὰ τὸ φανῆναι πόσον ἐστὶ τὸ πεπραμένον[1].

15. Ἡ γεῦσις δίδωσιν ἄδειαν τοῦ μὴ ἀγοράσαι, ἡ μέτρησις οὐ δίδωσιν[2].

16. Ἐὰν πραθῇ οἶκος ἤδη καυθεὶς ὅλος ἀγνοοῦντος τοῦ πράτου καὶ τοῦ ἀγοραστοῦ, οὐκ ἔῤῥωται ἡ πρᾶσις, καὶ τὸ τίμημα ἀναλαμβάνεται. εἰ δὲ τὸ πλέον ἐκαύθη μέρος, οὐκ ἀναγκάζεται πληρῶσαι τὴν ἀγορασίαν ὁ ἀγοραστὴς, ἀλλὰ καὶ τὸ δοθὲν ἀναλαμβάνει. εἰ δὲ τὸ ἥμισυ ἢ ἧττον ἐκαύθη, ἀναγκάζεται μὲν ὁ ἀγοραστὴς πληρῶσαι τὸ συνάλλαγμα, τὸ δὲ τίμημα πρὸς ἀναλογίαν μειοῦται διακρίσει τοῦ δικαστοῦ. εἰ δὲ γινώσκει τὴν καῦσιν ὁ πράτης καὶ ὁ ἀγοραστὴς ἀγνοεῖ, εἰ μὲν ὅλος ὁ οἶκος ἐκαύθη, ἀνίσχυρος ἡ πρᾶσις· εἰ δὲ σώζεται ὁσονδήποτε μέρος, συνίσταται ἡ πρᾶσις καὶ δίδωσιν ὁ πράτης τῷ ἀγοραστῇ τὸ διαφέρον. εἰ δ' ὁ μὲν πράτης ἀγνοεῖ, ὁ δ' ἀγοραστὴς οἶδεν, ἔῤῥωται ἡ πρᾶσις, καὶ ἀναγκάζεται ὁ ἀγοραστὴς δοῦναι ὅλον τὸ τίμημα. εἰ δ' οἱ δύο γινώσκουσιν ὅλον ἢ ἐκ μέρους καυθῆναι τὸν οἶκον, ἀνίσχυρος ἡ πρᾶσις, ὡς ἑκατέρου δόλον πλημμελήσαντος, ὅτι[3] ὁ δόλος ἐμποδίζει τῇ συστάσει τῶν καλῇ πίστει συναλλαγμάτων[4].

17. Οἶκον καέντα ἐπώλησά σοι ἀγνοῶν ἀγνοοῦντι. εἴπερ [ὅλος] ἐκαύθη ἢ τὸ μεῖζον μέρος αὐτοῦ, ἄχρηστος ἡ πρᾶσις καὶ τὸ τίμημα ῥεπετιτεύεις ἤγουν ἀναλαμβάνεις. εἰ δὲ τὸ μεῖζον μέρος σώζεται, ἔῤῥωται, τοῦ δικαστοῦ μειοῦντος τὸ τίμημα. εἰ δὲ ἐγὼ μόνον ᾔδειν, κἂν ἐλάχιστον μέρος τοῦ οἴκου σώζεται, ἀπαιτοῦμαι τὸ διαφέρον· εἰ δὲ σὺ μονος ᾔδεις, ἀπαιτῶ τὸ τίμημα ὅλον. εἰ δ' οἱ δύο ᾔδειμεν, ἄχρηστος ἡ πρᾶσις[5].

18. Οἴκου λεγατευομένου καὶ καιομένου λαμβάνει τὸ ἔδαφος ὁ λεγατάριος[6].

19. Ἡ κατὰ δόλον καὶ ἀπάτην κοινωνία οὐκ ἔῤῥωται. τούτοις γὰρ ἡ ἀγαθὴ πίστις ἐναντιοῦται[7].

---

[1] Dig. l. l. [2] Dig. l. l. [3] Codex οὐδ'. [4] Dig. XVIII, 1, 57. Baa. XIX, 1, 55 (Heimb.). [5] Dig. l. l. [6] Dig. XXX, 21. Bas. XLIV, 1, 22. [7] Dig. XVII, 2, 3 §. 3. Bas. XII, 1, 3 th. 4.

20. Εἰ δὲ ἀγρὸς πραθῇ τῶν δένδρων αὐτοῦ πραθέντων ἢ ἐξ ἀνέμου ἀποσπασθέντων, δι᾽ ἃ ὁ ἀγρὸς ἠγοράσθη, ἀνίσχυρος ἡ πρᾶσις, εἴτε ᾔδει εἴτε ἠγνόει ὁ πράτης, εἰ δ᾽ ὁ ἀγοραστὴς ᾔδει ἢ ἠγνόει, ἢ ἑκάτερος, τὰ περὶ τοῦ οἴκου προλεχθέντα κρατεῖ[1].

21. Ἀγρόν τις ἐπίπρασκε πλήθει δένδρων κεκοσμημένον. τῶν δένδρων ὑπὸ τοῦ ἀνέμου καταβληθέντων καὶ μετὰ ταῦτα συμφώνου γενομένου περὶ τῆς πράσεως, οὐ δοκεῖ πεπρᾶσθαι ὁ ἀγρὸς, ἐν ᾧ σκοπῷ τῶν δένδρων ἠγοράσθη· ἦν γὰρ ἐλαιὼν ἐκεῖσε ἑστώς. ταῦτα λέγομεν, εἴτε ἠπίστατο εἴτε ἠγνόει ὁ βενδίτωρ. εἰ μέντοι ὁ ἀγοραστὴς ᾔδει ἢ ἠγνόει ἢ ἑκάτερος αὐτῶν, ταῦτα κρατήσει, ἅτινα ἐν τοῖς προλαβοῦσι θέμασιν ἐπὶ τῶν οἰκιῶν εἴρηται[2].

22. Ἐὰν οἱ δύο πλανῶνται καὶ νομίζουσι τὸ πιπρασκόμενον χρυσοῦν εἶναι, χαλκὸν ὂν, οὐκ ἔῤῥωται[3].

23. Ἡνίκα περὶ τὴν ὕλην καὶ τὴν ποσότητα τοῦ πιπρασκομένου ἀμφότεροι πλανῶνται ὅ τε ἀγοραστὴς καὶ ὁ πράτης, οἷον εἰ καὶ ἐγὼ ἐμαυτὸν πιπράσκειν χρυσὸν ἐνόμιζον καὶ σὺ ἀγοράζειν, χαλκοῦν δὲ ἦν τὸ σκεῦος· οἷον συγκληρονόμος κανίον ὅπερ χρυσοῦν ἐλέγετο πολλῆς ἐπὶ τῇ ποσότητι τοῦ τιμήματος γενομένης φιλονεικίας ἑνὶ τῶν συγκληρονόμων ἐπώλησε, τοῦτο δὲ ἐκ πλείονος μέρους εὑρέθη χαλκοῦν· ἤρεσεν ἐῤῥῶσθαι τὸ συνάλλαγμα, ἐπειδὴ εἶχέ τι χρυσοῦν αὐτὸ τὸ κόσμιον. εἰ γάρ ἐστί τι περικεχρυσωμένον καὶ χαλκοῦν[4] εἶναι τοῦτο νομίζω, ἡ πρᾶσις ἰσχύει διὰ τὸ εἶναι μέρος ἐν αὐτῷ χρυσοῦν, εἰ καὶ ἐλάχιστον· εἰ δὲ χαλκὸς ἀντὶ χρυσοῦ πέπραται, ἡ πρᾶσις ἀνίσχυρος[5].

24. Ἐὰν ἀντὶ χρυσοῦ πραθῇ χαλκὸς ἑκατέρου ἀγνοοῦντος, ἄκυρος ἡ πρᾶσις. εἰ δὲ ἔχει τὶ χρυσοῦν ὁ χαλκὸς, ἔῤῥωται[6].

25. Ἐὰν ἐν ἀγνοίᾳ τὶς ἐσθῆτα παλαιὰν ἀντὶ νέας ἀγοράσῃ, εἰ μὲν τοῦ πράτου γινώσκοντος, εἰς τὸ διαφέρον πᾶν κινεῖ· εἰ δ᾽ ἀγνοοῦντος, ἐπὶ μόνῳ τῷ πράγματι ἐνάγεται. εἰ δ᾽ ἀγνοῶν χρυσόχαλκον ἀντὶ χρυσοῦ πωλήσας, ἐνάγεται ἐπὶ τῷ δοῦναι τὸν χρυσόν[7].

---

[1] Dig. XVIII, 1, 58. Cf. Bas. XIX, 1, 56 (Heimb.) [2] Dig. l. l. [3] Dig. XVIII, 1, 14. Bas. XIX, 1, 13 (Heimb.) [4] Lege χρυσοῦν. [5] Dig. l. c. [6] Dig. l. l. Cf. Basil. XIX, 1, 8 schol. 1 (Heimb.) [7] Dig. XVIII, 1, 45. Cf. Bas. XIX, 1, 43 (Heimb.).

26. *Εἰ ὁ οἰκέτης τοῦ πράτου πεμφθεὶς ὑπ' αὐτοῦ δεῖξαι τοὺς ὅρους πλέον τὶ δείξει, οὐ βλάψει αὐτόν*[1].

27. *Τινὲς δοῦλον ἀλλότριον εὑρόντες νοσοῦντα ἐπεμελήσαντο αὐτοῦ, καὶ βουλόμενοι τὸν δεσπότην ἀπαιτῆσαι τὰς δαπάνας προσῆλθον βασιλεῖ, καὶ ἀντέγραψεν αὐτοῖς οὕτως· εἰ δοῦλον ἀλλότριον οὐκ ἄχρηστον τῷ δεσπότῃ καθεστῶτα εὑρόντες ἀσθενήσαντα ἐπιμελήσασθε αὐτοῦ καὶ χρησίμως τὸ πρᾶγμα ἐχειρίσατε, τῇ ἁρμοζούσῃ ὑμῖν ἀγωγῇ τὸ ἀνάλωμα ἀναλαβεῖν δύνασθε*[2].

28. *Σημείωσαι οὖν, ὅτι πάντα ὅσα περὶ ἀποτροφῆς τῶν παίδων ἡ μήτηρ δαπανᾷ, οὐ δύναται ταῦτα ἀπαιτεῖν, ἐπειδὴ εὐσεβεῖ σκοπῷ καὶ μητρικοῖς σπλάγχνοις πιστεύεται δαπανᾶν*[3].

29. *Μάμμη διοικοῦσα τὰ τοῦ ἐγγόνου πράγματα καλῶς λογίζεται τὰ εἰς ἀποτροφὴν αὐτοῦ δαπανηθέντα, ὡς μὴ κατὰ πρόληψιν δι' εὐσέβειαν αὐτὰ χορηγήσασα, μάλιστα εἰ κατέγραψεν αὐτὰ ἐν τῷ λόγῳ τῆς δαπάνης. ἡ δὲ μήτηρ εὐσεβῶς δαπανᾶν εἰς τὸν υἱὸν προείληπται, εἰ μὴ τὸ ἐναντίον διαμαρτύρηται. εἰ δὲ τοῦ πατρὸς ἐπὶ ξένης ἀποθανόντος ἀποθρέψει τὸν υἱὸν καὶ τὴν αὐτοῦ φαμιλίαν ὑποστρέφουσα εἰς τὴν οἰκίαν ἢ εἰς τὴν τοῦ ἀνδρὸς πατρίδα τὴν περὶ διοικήσεως ἀγωγὴν ἕξει κατὰ τοῦ ἀνήβου. εἰ δὲ τοῦ πατρὸς ζῶντος ἐδαπάνησεν, ἀπαιτεῖ τὸν πατέρα ὅσα μὴ διαθέσει πατρικῇ*[4] *ἐδαπάνησεν*[5].

30. *Εἴ τι δαπανᾷ εἰς τὴν ἀσθένειαν τῆς ἰδίας γυναικὸς, οὐκ ἀπαιτεῖ· ἃ δὲ δαπανᾷ εἰς ταφὴν αὐτῆς, ἀπαιτεῖ ὁ ἀνὴρ μεθοδευόμενος τὴν ἑαυτοῦ προῖκα, ἐὰν ἀπαιτητικῷ λογισμῷ τοῦτο ἐποίησεν*[6].

31. *Ἔγημέ τις γυναῖκα θυγατέρας ἔχουσαν ἐκ τοῦ προτέρου ἀνδρός. πατρωὸς οὖν γενόμενος τῶν θυγατέρων τῆς γαμετῆς αὐτοῦ ἀνάλωσε περὶ αὐτὰς, ἀλλὰ καὶ μισθοὺς δέδωκε τοῖς διδασκάλοις, παρ' ὧν τυχὸν ἐμάνθανον γράμματα ἤ τινα ἄλλην τέχνην αἱ προγοναὶ αὐτοῦ. μετὰ ταῦτα ἠβούλετο ἀπαιτῆσαι τὰ δαπανήματα ταῦτα, καὶ ἀντέγραψεν πρὸς αὐτὸν ἡ διάταξις οὕτως· εἰ πατρικῇ διαθέσει τὰς σὰς προγονὰς ἔθρεψας ἢ μισθοὺς ὑπὲρ αὐτῶν τινας τοῖς διδασκάλοις κατέβαλες, τούτου τοῦ ἀναλώματός σου οὐδεμία ἐπανάληψίς ἐστιν. εἰ δὲ*

---

[1] Dig. XVIII, 1, 18 §. 1. Cf. Bas. XIX, 1, 17 th. 2 (Heimb.) [2] Bas. XVII, 2, 10. [3] Videtur esse *παραγραφὴ* ad Cod. II, 18, 11. [4] Lege *μητρικῇ*. [5] Bas. XVII, 1, 33 cum scholio Enantiophanis. [6] Schol. 32 ad Bas. XVII, 2, 13.

καὶ ὡς ἀναληψόμενος ταῦτα, ἅπερ ἐδαπάνησας, ἀνάλωσας, τὴν περὶ τῆς διοικήσεως τῶν πραγμάτων ἀγωγὴν ὀφείλεις κινῆσαι, κἂν πάντα τὰ δαπανηθέντα περὶ αὐτὰς ἀπαιτηθῶσιν[1].

32. Ἐάν τις εἰς ἐπίκοινον μὴ ἀναγκαῖα ἀλλὰ περιττὰ ποιήσῃ δαπανήματα, οὐκ ἔχει τούτων ἀπαίτησιν[2].

33. Ὁ δι᾽ εὐσέβειαν ἀποθρέψας τὸν οἰκεῖον ἀδελφόπαιδα ἤγουν τὸν τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς αὐτοῦ υἱὸν, οὐκ ἔχει ἀπαίτησιν[3].

34. Οἱ πράγματα διοικοῦντες ἀλλότρια οὐχ ὑπόκεινται τοῖς τυχηροῖς, εἰ μὴ ἰδικὸν περὶ τούτων γένηται σύμφωνον. τούτῳ τῷ κάνονι καὶ πάντες οἱ νομικοὶ συντίθενται. ἐπ᾽ οὐδεμιᾶς γὰρ ἀγωγῆς τῶν καλῇ πίστει λέγουσι τὰ τυχηρὰ κινδυνεύεσθαι[4].

35. Ὁ πράττων ὀφφίκιον ἐν ἐπαρχίᾳ ἢ στρατευόμενος οὐ δύναται ἀκίνητα ἀγοράζειν ἐν αὐτῇ, εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου[5].

36. Ὁ ἐξ οὗ διοικεῖ ὀφφικίου ἀγοράσας ἀκίνητον καὶ τὸ πρᾶγμα ἀπόλλυσι καὶ εἰς τὸ τετραπλοῦν ἐνάγεται. καὶ καταδικάζεται, εἰ μὴ ἰδικῷ νόμῳ ὑπεξῄρηται[6].

κγ΄. Περὶ τόκου[7].

1. Εἴτε τόκον ὁ τὴν παραθήκην λαβὼν ἐκ τῶν παραθέντων αὐτῷ λάβῃ, ἢ συγχρήσηται τοῖς παρατεθεῖσι, δίδωσι τόκους. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων τῶν καλῇ πίστει ἀγωγῶν. ἐὰν λαβὼν ἄργυρον ἢ σάκκον ἐσφραγισμένον παρ᾽ ἐμοῦ χρήσηται αὐτῷ παραγνώμην μου, ἐνέχεται τῇ περὶ παραθήκης ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ[8].

2. Ὁ μὴ τῆς παραθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ[9].

3. Ἡ μὲν τυχηρὰ περίστασις οὐ κινδυνεύεται [τῷ λαβόντι τὴν παραθήκην· μόνον γὰρ δόλον καὶ μεγάλην ἀμέλειαν ἀπαιτεῖται, ἐν ᾧ μηδὲν ἰδικώτερον συνεφωνήθη. εἰ δὲ νεμόμενος τὰ πράγματα ὁ κληρονόμος[10]] τοῦ λαβόντος τὴν παραθήκην κρύπτει αὐτὴν ἢ δόλῳ ἐπαύσατο νέμεσθαι, κατέχεται καὶ τῇ περὶ παραθήκης ἀγωγῇ καὶ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγῇ[11].

---

[1] Bas. XVII, 2, 15, additis verbis ultimis scholii 39. [2] Schol. 55 ad Bas. XVII, 1, 26 th. 1. [3] Bas. XVII. 1, 26 th. 2. [4] Bas. XVII, 2, 22. [5] Bas. XIX, 1, 62. [6] Dig. XVIII, 1, 46. Cf. Bas. cit. 46. [7] Syn. π, 5. [8] Bas. XIII, 2, 28. 29. [9] Bas. ib. 32. [10] Inclusa in nonnullis desunt. [11] Bas. cit. 35.

κδ'. Περὶ δανείου πλατύτερον[1].

1. Τῶν δανείων τὰ μέν εἰσιν ἐνυπόθηκα [τὰ δὲ ἀνυπόθηκα], καὶ τὰ μὲν προγενέστερα τὰ δὲ μεταγενέστερα. μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. δανειστής ἐστιν ὀνόματι γενικῷ ὁ ἐξ οἱασοῦν αἰτίας χωρὶς διηνεκοῦς παραγραφῆς χρεωστούμενος, ὡς βι. β' τί. β' κεφ. ι'. δανειστὴς δὲ ἰδικώτερος ὁ ἐξ ἀριθμήσεως χρεωστούμενος. καὶ δάνειον ἡ ἀπὸ χειρὸς εἰς χεῖρα μετάθεσις. δανείζονται δὲ τὰ πόνδερε νούμερε μένσουρα, τουτέστι τὰ 'σταθμώμενα μετρούμενα καὶ ἀριθμούμενα· πόνδερε, οἷον χρυσὸς, ἄργυρος, μόλιβδος, κηρός· νούμερε, οἷον νούμοι λεπτοί· μένσουρα, οἷον οἶνος καὶ ἔλαιον. καὶ ἐνυπόθηκον μέν ἐστι δάνειον γενικὸν, ὅταν τὶς δανεισάμενος ὑπόθηται τὴν οὐσίαν αὐτοῦ πᾶσαν τὴν οὖσαν καὶ ἐσομένην· ἰδικὸν δὲ, ὅταν [ὑπόθηται ἀγρὸν τυχὸν γρηγοριανὸν ἢ οἶκον αὐτοῦ ἢ ἕτερόν τι κινητὸν αὐτοῦ ἢ ἀκίνητον ἢ αὐτοκίνητον· ἀνυπόθηκον δὲ ὅταν[2]] τὶς δανείσηται ἁπλῶς μὴ ὑποτιθείς τι τῷ δανείσαντι τῶν ἑαυτοῦ πραγμάτων. τῶν δὲ ἀνυποθήκων τὰ μὲν ἔχουσι πριβιλέγια τουτέστι προνόμια, τὰ δὲ οὐκ ἔχουσιν. ἅπαντα δὲ τὰ ἀνυπόθηκα δάνεια προσωπικὰ λέγονται, διὰ τὸ κατὰ πρόσωπον κινεῖσθαι τὰς τοιαύτας ἀγωγὰς καὶ μήτινα πράγματα ὑποκείμενα δῆθεν ἐκδικεῖν, ἀλλ' ἐκεῖνον μόνον ἕλκειν τὸν δανεισάμενον. τοιοῦτο γὰρ ἂν εἴη τὸ προσωπικὸν, ὡς εἰ μὲν εὕροι εὔπορον τὸν ἔνοχον ὁ δανείσας, λήψεται τὸ ὄφλημα· εἰ δ' οὖν, ἀποκρουσθήσεται μηδεμίαν ἔχων ἀγωγὴν κατὰ τῶν πραγμάτων τοῦ χρεώστου τῶν παρ' ἑτέρων δανειστῶν μεταγενεστέρων ἐξ ὑποθήκης ἑλκομένων.

2. Ἀλλ' ἐπανιτέον εἰς τὴν ἐξ ἀρχῆς προτεθειμένην διαίρεσιν. εἴπομεν γὰρ ὡς τῶν ἐνυποθήκων δανείων τὰ μέν εἰσι προγενέστερα, τὰ δὲ μεταγενέστερα, τῶν δὲ μεταγενεστέρων τὰ μὲν γενικὰ, τὰ δὲ ἰδικὰ, καὶ ἢ δημόσια ἢ ἰδιωτικά. καὶ τὰ μὲν δημόσια προγενέστερα ὄντα προτιμῶνται τῶν μεταγενεστέρων ἐνυποθήκων δανειστῶν, ἀλλὰ καὶ αὐτῆς τῆς μεταγενεστέρας προικός· ὡς βι. θ' τί. θ' κεφ. β'. „Ἐάν τις χρεωστήσῃ πρῶτον τῷ δημοσίῳ ὥστε ὑποκεῖσθαι αὐτῷ τὰ πράγματα αὐτοῦ, καὶ μετὰ ταῦτα λάβῃ γυναῖκα, ὥστε καὶ τῇ προικὶ ὑποκεῖσθαι, προτιμότερός ἐστι τῆς προικὸς ὁ δημόσιος. ἐὰν δὲ τὸ ἐναν-

---

[1] Hunc de creditis tractatum edidi in Heidelberg. Jahrb. d. Lit. 1841 p. 541 sqq. [2] Inclusa in plerisque desunt.

τίον πρότερον ὡς ἀπὸ προικὸς ἐχρεώστησεν, προτιμᾶται ἡ προὶξ τοῦ δημοσίου." τὸ δὲ ε' κεφ. τοῦ τίτλου τούτου οὕτως φησίν. „Ἐὰν χρεωστῇ τις ἰδιώτῃ, χρεωστῇ δὲ καὶ τῷ δημοσίῳ, καὶ ἀπεπλήρωσε τὸν ἰδιώτην, μετὰ δὲ ταῦτα κινεῖ κατ' αὐτοῦ ὁ δημόσιος ὑποθηκαρίαν ἀγωγὴν, λέγων, ὅτι τὰ χρήματα, ἅπερ ἐδέξω παρὰ τοῦ χρεώστου μου εἰς καταβολὴν, ὑπέκειντό μοι, χρεωστεῖ οὗτος παρασχεῖν τὰ χρήματα ἀτοκί". εἰ δὲ προγενέστεροι εἶεν οἱ ἐνυπόθηκοι δανεισταὶ, εἴτε γενικὴν εἴτε ἰδικὴν ἔχοντες ὑποθήκην, προτιμῶνται τοῦ μεταγενεστέρου δημοσίου· ὡς βι. νς' τί. β' κεφ. κ' θέμ. β' „Τὰ ἠνεχυριασμένα αὐτῷ πιπράσκει ὁ δημόσιος μὴ βλαπτομένων τῶν προγενεστέρων δανειστῶν· αὐτῶν γὰρ τὸ ἴδιον χρέος πληρουμένων ἐκ τῆς τιμῆς τῶν ἐνεχύρων ὁ δημόσιος τὸ περιττὸν λαμβάνει. κἂν ὁ δημόσιος πωλήσας λάβῃ τὴν τιμὴν, ἐξ αὐτῆς ἀποπληροῖ τοὺς προγενεστέρους δανειστάς." τοιοῦτον δέ φησι καὶ τὸ ιθ' κεφ. τοῦ ε' τί. τοῦ κε' βιβλίου, ἀλλὰ καὶ τὸ ς' κεφ. τοιοῦτον· „Εἴτε πόλις εἴτε ἰδιώτης λάβοι ἰδικῶς ἐνέχυρον, προτιμᾶται τοῦ δημοσίου ἐν οἷς μετὰ ταῦτα ἐπωφλήθη". ὅτι δὲ πάντων τούτων τῶν δανείων καὶ προγενεστέρων ὄντων ἡ προὶξ κρατεῖ, τὸ μ' κεφ. τούτου τοῦ τίτλου φησίν· „Επειδὴ προσελεύσεις ἡμῖν πολλαὶ γεγόνασι γυναικῶν λεγουσῶν ἀπολλύειν τὰς προῖκας τῇ προτιμήσει τῶν προγενεστέρων δανειστῶν, ἡμεῖς φαμεν, ὅτι εἰ καὶ ἄλλα παρέσχομεν τῇ προικὶ καὶ σιωπηρὰν ὑποθήκην καὶ προτίμησιν ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν, διὰ τί μὴ καὶ ἐπὶ τῶν ἐνυποθήκων τὸ αὐτό φαμεν; ὥστε προτιμᾶσθαι αὐτὴν καὶ τῶν προγενεστέρων δανειστῶν, κἂν ἀναλωθῶσι τὰ πράγματα αὐτῆς κἂν παῖδας μὴ ποιήσῃ, ὑπεξῃρημένης προτέρας προικός." δέδεικται οὖν ὡς οἱ προγενέστεροι ἐνυπόθηκοι ἐπικρατέστεροί εἰσι τοῦ μεταγενεστέρου δημοσίου, οὐ μὴν τῆς προικός· ἡ δὲ προὶξ ἐδείχθη ὡς δευτερεύουσα μὲν εὑρισκομένη ἡττᾶται τοῦ δημοσίου, προτερεύουσα δὲ νικᾷ τοῦτον. καὶ ἀναφαίνεταί τι παράδοξον, αὐτὴν μὲν ἡττᾶσθαι τῷ χρόνῳ παρὰ τοῦ δημοσίου, νικᾶν δὲ τοὺς προγενεστέρους ἐνυποθήκους δανειστὰς τοὺς τὸν φίσκον νικῶντας, καὶ τὸν ᾀδόμενον κύκλον ἐνταῦθα συμβαίνειν.

3. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἰτέον. ἐδείξαμεν τὸν μὲν δημόσιον προγενέστερον ὄντα πάντων ἐπικρατέστερον εἶναι, μεταγενέστερον δὲ εὑρισκόμενον προικὸς ἡττωμένον προγενεστέρας καὶ ἐνυποθήκων δανειστῶν γενικῶν τε καὶ ἰδικῶν, τὴν προῖκα δὲ καὶ τῶν προγενεστέρων δανειστῶν κρατοῦσαν ὑπεξῃρημένου τοῦ πρώτου δημοσίου. δείξωμεν δὲ λοιπὸν καὶ μεταγενέστερα

δάνεια νικῶντα προγενεστέραν προῖκα καὶ δημόσιον. τὸ δὲ καὶ περὶ γενικῆς ὑποθήκης διαλαβεῖν πότε τῆς ἰδικῆς προτιμᾶται ὡς πανταχοῦ τοῦ τῶν νόμων ἐδάφους πεπληθυσμένου εἰάθη· ἐκ γὰρ προγενεσίας τοῦτο σκοπεῖται, ὥς φησιν καὶ τὸ κδ΄ κεφ. τοῦ ε΄ τί. τοῦ κε΄ βιβλίου· „Ὁ πρότερος δανειστὴς γενικὴν ὑποθήκην ἔχων καλλίων ἐστὶ τοῦ μετ᾽ αὐτὸν ἰδικὴν ὑποθήκην λαβόντος.“ τρία δ΄ ἂν εἴη τὰ νικῶντα τὴν προῖκα μεταγενέστερα ὄντα· τό τε πριμίπιλον (πριμίπιλον δέ ἐστι τὸ τοῖς πρώτοις ἀκοντισταῖς διδόμενον σιτηρέσιον· πρίμους γὰρ ὁ πρῶτος καὶ πίλουμ τὸ ἀκόντιον) νικᾷ τὴν προῖκα καὶ τὸ προφάσει στρατείας δανεισθὲν ἢ τοῦ στατοῦτον γενέσθαι τὸν παῖδα. καὶ περὶ μὲν τοῦ πριμιπίλου φησὶ τὸ η΄ κεφ. τοῦ β΄ τί. τοῦ κε΄ βιβλίου· „Κἂν τὰ τοῦ ἀνδρὸς σιωπηρῶς ὑπόκεινται ἐπὶ τῇ προικὶ, ὅμως προτιμᾶται ἐπὶ τῆς προικὸς τὸ πριμίπιλον“, καὶ ἐν βι. νς΄ τί. ιζ΄ κεφ. ξδ΄· „Τὸ χρεωστούμενον εἰς τὸ πριμίπιλον πάντων τῶν ἰδιωτικῶν χρεῶν προτιμᾶται. ὅθεν εἰ καὶ προῖκα χρεωστεῖται ἡ γυνὴ τοῦ τὸ πριμίπιλον ἐποφείλοντος, πρότερον τὸ ἱκανὸν γίνεται τῷ δημοσίῳ καὶ τότε ἡ γυνὴ δύναται ἀπαιτεῖν.“ τοῦ δὲ κθ΄ βι. τί. β΄ τὸ δ΄ κεφ. φησιν· „Ἐπειδὴ τοιαῦται προσελεύσεις γεγόνασιν ἡμῖν, ὥς τινες τοῖς ἑτέρων στρατεύονται χρήμασι καὶ δεῖ τοὺς εἰς ταύτας δανείσαντας τὰς αἰτίας προτιμᾶσθαι, θεσπίζομεν, εἴ τις τοῖ ἀληθείαις δοίη χρυσίον προφάσει στρατείας ἢ τοῦ στατοῦτον γενέσθαι τὸν παῖδα ἢ κατ᾽ ἄλλας τινὰς αἰτίας τοιαύτας, καὶ ῥητῶς αὐτὸ τοῦτο ἐγγραφείη τῷ συμβολαίῳ, καὶ ἐπὶ τούτῳ γένηται συμφωνία, ὥστε τοῦ ἔργου γενομένου κυριώτερον εἶναι μόνον τὸν ἐπὶ τούτῳ δανείσαντα, τούτῳ μόνον τῷ θέματι παραχωρεῖν τὴν γυναῖκα.“ οὕτω μὲν διεγνώσθη τὰ τῆς προικὸς κρατοῦντα μεταγενέστερα δάνεια. εἴπωμεν δὲ λοιπὸν καὶ περὶ ἑτέρου μεταγενεστέρου δανείου προτιμωμένου τοῦ δημοσίου. τοῦτο δ᾽ ἂν εἴη τὸ καταβαλλόμενον εἰς κτίσιν οἰκίας ἢ νηὸς ἢ εἰς ἐξώνησιν ἀγροῦ ἤ τι τῶν ἄλλων. „ἐπὶ γὰρ τῶν τοιούτων ἁπάντων κυριώτεροι καθεστήκασιν οἱ μεταγενέστεροι δανεισταὶ ὧν τοῖς χρήμασιν ἐκτήθη ἢ ἀνενεώθη τὰ πράγματα τῶν πολλῷ πρεσβυτέρων“, ὡς ἡ ϛζ΄ νεαρὰ διέξεισι κειμένη ἐν τί. β΄ τοῦ κθ΄ βιβλίου· ἀλλ᾽ ἡ προὶξ τοῦ τοιούτου δανείου κρατεῖ, ὡς ἡ αὐτὴ νεαρά φησιν· „πολλὰ γάρ, φησι, βουλευσάμενοι οὐχ εὕρομεν τὴν γυναῖκα παραχωρῆσαί τινι τοιούτῳ προνομίῳ“ καὶ τὰ ἑξῆς. ὁρᾷς ὅπερ ἀνωτέρω εἴρηται παράδοξόντι, ὃ καὶ κύκλον ἔφαμεν; ὑπόθες γὰρ δημόσιον προγενέστερον καὶ δευτέραν

προῖκα, καὶ τρίτον δανειστὴν, οὗ τοῖς χρήμασιν ἐκτήδη τὶ, μὴ εἶναι δέ ἐν τῇ περιουσίᾳ τοῦ χρεώστου ἕτερον ἢ τὸ κτηθὲν τοῖς τοῦ τρίτου δανειστοῦ νομίσμασι, τίς τοῦτο λάβοι; ὁ τρίτος εἴποι τὶς δανειστὴς ὁ καὶ καταβαλὼν εἰς ἐξώνησιν τοῦ πράγματος νομίσματα. ἀλλὰ τοῦτο ἡ προὶξ ἀπὸ τοῦ τοιούτου δανειστοῦ ἀναῤῥύσεται, ἐπικρατεστέρα τυγχάνουσα ὡς δεδήλωται. ἐκνικήσει δὲ πάλιν αὐτὸ ὁ δημόσιος προτιμώμενος τῆς προικὸς διὰ τὸ χρόνιον. εὑρίσκων δὲ αὖθις ὁ δανειστὴς ἐν τῷ δημοσίῳ ὡς οἰκεῖον εὐλυτώσει τὸ παρ᾽ αὐτοῦ ἐξωνηθέν. εἶτα πάλιν αὐτὸ ἡ προὶξ διαδέχεται, καὶ ὁ δημόσιος ἔπειτα, καὶ οὐδέποτε τὰ τῆς περιφορᾶς καὶ ἀνακυκλώσεως ἢ μετενέξεως [ὡς] εἰπεῖν στήσεται· κατὰ τοῦτο κύκλος ἂν εἰκότως ὀνομάζοιτο. ἀλλ᾽ ἑρμηνευτέον τὸ τοιοῦτον, ἄπορόν πως δοκοῦν καὶ τὰς τῶν πολλῶν διανοίας ἐκτρέχον· τίς εἰ τοῦτο συμβαίη τῶν τριῶν τὰ νικητήρια ἀποφέροιτο; ἡ προίξ· εἴποι γὰρ ἂν πρὸς τὸν δημόσιον, ὅτι τὸν ἰσχυροτερόν σου ἐνίκησα, ἀφ᾽ οὗ σὺ τὸ πρᾶγμα ἐκνικῆσαι οὐκ ἴσχυσας.

4. *Καὶ ταῦτα μὲν ἀρκούντως λέλεκται καὶ κατὰ τὸ δυνατὸν διερμηνεύεται. εἴπωμεν δὲ καὶ περὶ τῶν ἀνυποθήκων δανειστῶν. οἱ μὲν ἔχουσι πριβιλέγια τουτέστι προνόμια, οἱ δὲ οὐκ ἔχουσι. μὴ δόξῃ δέ τις, ὡς οἱ ἐν ὑποθήκῃ οὐκ ἔχουσιν· ἔχουσι μὲν γὰρ ἐκεῖνοι προνόμιον καὶ τῶν προνομίων ἐπέκεινα τὸ ἐνυπόθηκον. ἀλλ᾽ ἐπὶ τῶν ἀνυποθήκως δανεισάντων ἐκεῖνό φαμεν προνόμιον τὸ δεδομένον τισὶ παρὰ τοῦ νόμου εἰς προτίμησιν. ὁποῖον δέδοται τῷ ἀνήβῳ χρεωστουμένῳ παρὰ τοῦ ἐπιτρόπου· προνόμιον γὰρ ἔχει ἀνασωθῆναι τὸ ὀφειλόμενον πρὸ τῶν κεχρεωστημένων ἀπὸ τοῦ ἐπιτρόπου ἑτέροις ἀνυποθήκως ἤγουν προσωπικῶς, ὡς βι. θ′ τί. ζ′ κεφ. ιγ′. καὶ ὁ κατ᾽ ἐντολὴν τοῦ δεσπότου χορηγῶν τῷ ἐργολάβῳ προνόμιον ἔχει, ὡς τὸ ιε′ κεφ. διαλαμβάνει τοῦ ζ′ τί. τοῦ θ′ βιβλίου. ἀλλὰ καὶ ὅλος οὗτος ζ′ τίτλος, οὐ μὴν ἀλλὰ καὶ ὁ γ′ τί. τοῦ κε′ βι. περὶ προνομίου διδάσκουσιν.*

5. *Ὡς οὖν εἴρηται ἐπὶ τῶν ἀνυποθήκων οἱ ἔχοντες προνόμιον προτιμῶνται. εἰ δὲ μήτε προνόμιον ἔχουσιν, [ἢ] ἔχουσι μὲν προνόμια, τὰ αὐτὰ δὲ, τότε ἀπὸ χρόνου προτίμησις ἐν αὐτοῖς οὐκ ἐστιν· ὡς φησι τὸ γ′ θέμα τοῦ κα′ κεφ. τοῦ ζ′ τί. τοῦ θ′ βιβλίου· „Οἱ ἐκ τῆς αὐτῆς αἰτίας ἐσχηκότες προνόμιον, κἂν ἐν διαφόροις καιροῖς, ἐξίσου ὅμως ἔρχονται“. ὅπερ ἐπεξηγούμενος ὁ* Δωρόθεός *φησι· „τὰ διδόμενά τισι προνόμια ἐν τῇ τοῦ χρέους μεθοδείᾳ οὐκ ἐκ τοῦ χρόνου ποιοῦνται τὴν*

προτίμησιν, ἀλλ' ἐκ τῆς αἰτίας τοῦ χρέους. ὥστε ἐὰν δύο τινὲς τὸ αὐτὸ προνόμιον ἔχωσιν, οὐ προτιμᾶται ὁ προγενέστερος αὐτῶν τοῦ μεταγενεστέρου". ὁρᾷς ὡς ἀπὸ τοῦ χρόνου προτίμησις οὐκ ἐστὶν ἐπὶ τῶν ἀνυποθήκων; ὅπερ ἐπὶ τῶν ἐνυποθήκων οὐκ ἐστιν εὑρεῖν· τὰ γὰρ ἐνυπόθηκα δάνεια καὶ μεταγενέστερα ὄντα νικῶσι τοὺς πρώτους ἀνυποθήκους, ὥς φησι τὸ λζ' κεφ. τοῦ ε' τί. τοῦ κε' βιβλίου· „Ὁ λαβὼν ἐνέχυρον τὴν ἐπ' αὐτῷ ἀγωγὴν ἔχει. προτιμᾶται οὖν πάντων τῶν ἐχόντων προνόμιον ἐπὶ προσωπικαῖς ἀγωγαῖς". προσωπικὰς δὲ πολλάκις εἴπομεν τὰς ἀνυποθήκους. φησὶ δὲ καὶ τὸ ιη' κεφ. τοῦ γ' τί. τοῦ θ' βιβλίου· „Εἰ πολλοὶ ἐκ τῆς αὐτῆς αἰτίας χρεωστοῦνται, ὁ προφθάσας καλλίων ἔσται, καὶ οὐχ ὑπεξαιρεῖ τὸ ἄλλου χρέος ὡς ἐπὶ τῆς περὶ πεκουλίου ἀγωγῆς." καὶ τὸ νθ' κεφ.· „Εἰ δυσί τισι καταδικασθῶ, προτιμᾶται ὁ προνικήσας." καὶ τοῦ ζ' τί. τοῦ παρόντος βι. τὸ ε' θέμα τοῦ β' κεφ. „Εἰ μὴ συμβάλλεται τὸ ἀνακρατῆσαι τὰ πράγματα τοῦ πατρῴου κλήρου, πιπράσκονται καὶ τὸ περιττὸν λήψονται. εἰ δὲ καί τι πρὸ τοῦ ἀπαιτηθῆναι καλῇ πίστει ἔπραξε, κρατεῖ. εἰ δὲ μετὰ τὸ καταβληθῆναί τισι τῶν δανειστῶν γένηται διάπρασις, οὐ βλάπτει τὸν σπουδαῖον ἡ ῥᾳθυμία τοῦ ἀμελοῦς."

6. Ἐκ τούτων οὖν πάντων δῆλον, ὡς ἀπὸ χρόνου προτίμησις ἐπὶ τῶν ἀνυποθήκων οὐκ ἐστὶν, ἀλλ' ἐκεῖνος προτιμηθήσεται ὁ ἐπαγρυπνήσας καὶ προλαβών· εἰ δὲ ἀμφότεροι ἐπίσης ἔλθωσιν, ἴσοι λογίζονται. ἰσότητα δὲ νόησον τὴν ἀναλογίαν· ὡς εἰ ὁ μὲν τυχὸν τύχῃ χρεωστούμενος νομίσματα δέκα, ὁ δὲ νομίσματα ε', ἡ δὲ περιουσία οὐκ ἐξαρκεῖ πρὸς τὴν ποσότητα τῶν χρεῶν ἀλλὰ πρὸς τὰ ἥμίση, ἐπιμερίσονται ἀναλόγως, ἤγουν τὰ μὲν δέκα ὁ χρεωστούμενος λάβῃ νομίσματα ε', ὁ δὲ ἕτερος νομίσματα δύο ἥμισυ. ὅπερ ἂν εἴη ἰσότης πανάριστος, κἂν ἀνισότης τῶν ἀριθμῶν ἐφευρίσκηται. ὅτι δὲ ὅμοιοι λογίζονται οἱ ἐπίσης ἀγρυπνήσαντες, φησὶ τὸ ς' θέμα τοῦ α' κεφ. τοῦ η' τίτλου[1]· „Εἰ μὲν πρὸ τοῦ νομὴν ὑποστῆναί σε ἔδωκας δανειστῇ, κἂν ἴδῃ ἄπορον, οὐχ ὑποπίπτει. ὁ δὲ μετὰ τὴν νομὴν λαβὼν συμμερίζεται τοῖς λοιποῖς δανεισταῖς. ὅμοιοι γὰρ πάντες λοιπόν εἰσιν." καὶ τοῦ ε' κεφ. τὸ ιβ' θέμα τούτου τοῦ τί. φησίν· „Εἰ τὸν χρεωστοῦντα ἐμοὶ καὶ ἄλλον φεύγοντα κρατήσω, καὶ ἐξ ὧν ἐπεφέρετο χρημάτων λάβω τὸ χρέος, εἰ μὲν πρὸ τοῦ πεμφθῆναι τοὺς δανειστὰς εἰς νομὴν,

---

[1] Paris. 1368 hic intercalat duas §§. ab hoc loco alienas. scil. *Εἶχες οἰκίαν ἢ ἀγρόν κτλ.*

ἀργεῖ ἡ ἔμφακτος· εἰ δὲ μετὰ ταῦτα, χώραν ἕξει.“ καὶ τὸ ις΄ κεφ. τούτου τοῦ τί. φησίν· „Ἄνηβος ἑνὶ τῶν πατρῴων δοὺς δανειστῶν ἀπέστη τοῦ κλήρου. εἰ μὲν κατὰ χάριν ἔλαβεν ὁ δανειστὴς, ἀνατρέπεται καὶ τὴν αὐτὴν ἕξει τοῖς ἄλλοις τύχην· οὐ μὴν εἰ σπουδαίως ἀπήτησε, κἂν μεταξὺ ἠλαττώθη ἡ οὐσία. εἰ δὲ μελλόντων πιπράσκεσθαι τῶν αὐτοῦ χρέος καταβάλοι δανεισταῖς, οὐκ ἀνατρέπεται τὸ πραχθὲν, εἰ μὴ ἄκων εἰσεπράχθη“. τοῦτο δ΄ οὕτως ἐπαπορῶν λύει ὁ Δωρόθεος· „τί οὖν; εἰ πάντων τῶν δανειστῶν μελλόντων διαπιπράσκειν τὴν περιουσίαν τοῦ χρεώστου, κατέβαλεν ἑνὶ ἐξ αὐτῶν ὁ χρεώστης; ἆρα ὑπόκειται οὗτος τοῖς δανεισταῖς αὐτοῦ τινι ἀγωγῇ; καὶ μᾶλλον διαστίζειν χρὴ, πότερον ἀφ᾽ ἑαυτοῦ ὁ χρεώστης προσήγαγε τῷ ἑνὶ δανειστῇ ἢ αὐτὸς ἐξεβιάσατο τὸν δεβίτορα ἤγουν τὸν χρεωφειλέτην· ἵνα, ἐὰν μὲν ἄκοντα αὐτὸν ἐξεβιάσατο, μηδὲν ἀναδῷ, ὡς διὰ τῆς οἰκείας ἀγρυπνίας βελτίονα τύχην ἐσχηκὼς τῶν ἄλλων δανειστῶν. τὰ γὰρ νόμιμα τοῖς σπουδαιοτέροις γέγραπται, καὶ διὰ τοῦτο οὐδεὶς ὑπὲρ οἰκείας σπουδῆς ἐγκαλεῖται, οὐδὲ ἀναδίδωσιν ὅπερ ἔλαβεν.“ ἀναδιδάσκει δὲ σαφέστερον καὶ τὸ πθ΄ κεφ. τοῦ ιδ΄ τί. τοῦ λε΄ βιβλίου, τὸ περὶ τῶν ἰνβέντων τουτέστιν ἀπογραφῶν διαλαμβάνον, ὅτι ἐπὶ τῶν ἀνυποθήκων δανειστῶν δανείων προτίμησις ἀπὸ χρόνου οὐκ ἐστίν. „ἐὰν δέ“ φησιν „οἱ κληρονόμοι πράγματα κληρονομιαῖα τοῖς κληρονομιαίοις δανεισταῖς ἀντὶ τῶν χρεῶν παράσχωσιν εἰς ὁλόκληρον ἢ διὰ δόσεως χρημάτων τὸ ἱκανὸν αὐτοῖς ποιήσωσιν, ἐξέστω τοῖς ἄλλοις δανεισταῖς ἐκ προγενεστέρων ὑποθηκῶν κατὰ τούτων τῶν πραγμάτων ἐλθεῖν καὶ ἐκ τῶν μεταγενεστέρων δανειστῶν κατὰ τοὺς νόμους ἀφαιρεῖσθαι ταῦτα, ἢ διὰ τῆς ὑποθηκαρίας ἀγωγῆς ἢ διὰ τοῦ ἐξ λέγε κονδικτικίου“, τουτέστιν τῆς νομίμου ἀπαιτήσεως· ἐξ λέγε γὰρ ἡ ἐκ τοῦ νόμου ἀπαίτησις. τοῦτο δὲ ἐν ταῖς παραγραφαῖς σαφηνίζει ὁ Θαλέλαιος οὕτως· „βὲλ κονδικτικίεμ ἐξ λέγε. μὴ νομίσῃς“, φησὶν, „ὅτι τοῖς ἀνυποθήκοις δανεισταῖς δέδωκε τὸν ἐξ λέγε κονδικτίκιον· ἐκεῖνοι γὰρ προτίμησιν ἀπὸ χρέους οὐκ ἔχουσιν· ἀλλ᾽ ἑκατέρας τὰς ἀγωγὰς τῷ τὴν ὑποθήκην ἔχοντι παρέσχεν“.

7. Δεδήλωται οὖν διὰ πάντων, ὡς οἱ μὲν ἐν ὑποθήκῃ δανεισταὶ καὶ μεταγενέστεροι ὄντες τῶν ἀνυποθήκων ὑπερτεροῦσιν. οἱ δὲ ἀνυπόθηκοι, εἰ μὲν ἔχουσι προνόμιον, προτιμῶνται τῶν μὴ ἐχόντων. εἰ δὲ μήτε ἔχουσι παντελῶς, ἢ ἔχουσι μὲν, τὰ αὐτὰ δὲ, τότε ἀπὸ χρόνου ἤγουν ἀπὸ προγε-

νεσίας προτίμησις ἐν αὐτοῖς οὐκ ἔσται. ἀλλ' εἰ μὲν ἀμφότεροι γένωνται ἐπὶ νομῆς πραγμάτων τοῦ χρεώστου, ἀναλόγως τὰ χρέα λαμβάνουσιν, εἰ δὲ προλάβῃ τὶς, ὁ προλαβὼν καλλίων ἔσται. διεξήλθομεν δὲ κατ' ἐπιδρομὴν καὶ περὶ τῶν ἐνυποθήκων δανειστῶν, εἴτε γενικοὶ εἶεν εἴτε καὶ ἰδικοὶ, ὡς προτιμῶνται τοῦ ὑστεροῦντος δημοσίου, οὐ μὴν τῆς προικός· καὶ ὅτι ὁ δημόσιος νικᾷ οὐ τὴν πρώτην ἀλλὰ τὴν μεταγενεστέραν προῖκα καὶ πάντα τὰ δευτερεύοντα δάνεια, ὑπεξῃρημένου τοῦ δανειστοῦ οὗ τοῖς νομίσμασι προσεκτήθη τὶ· καὶ ὅτι κρατεῖ καὶ τοῦ τοιούτου δανειστοῦ ἡ προὶξ, ἐλαττοῦται δὲ τοῦ πριμιπίλου καὶ τοῦ δανείσαντος ἐφ' ᾧ στρατευθῆναι ἢ στατοῦτον γενέσθαι τὸν παῖδα· ὥς τι δὲ πόρισμα διαγνωσθῆναι καὶ τὸ τῶν ἀνυποθήκων δανείων προνόμιον. καὶ λοιπὸν ἀποδέδεικται τὰ ζητούμενα, εἴπερ ἄρα καὶ δειχθείη.

8. Ὡς[1] ἐπὶ δωρεῶν, εἷς δεκτέος εὑρίσκεται μάρτυς ἐπί τινων θεμάτων· ἀλλὰ βραχεῖ καὶ σαφεῖ λόγῳ τούτῳ δειχθήσεται. ἐν τῷ μζ' βι. τί. α' κεφ. ξα'[2] ἀποθεσπίζει ἡ διάταξις· „Αἱ ἐμπεφανισμέναι δωρεαὶ οὐ δέονται τῆς τῶν γειτόνων μαρτυρίας. εἰ δὲ ἀνεμφάνιστος εἴη, ὥστε μὴ δέεσθαι πράξεως ὑπομνημάτων, εἰ μὲν γίνεται ἐγγράφως ἢ ταβουλλαρίου γράψαντος ἢ ἑτέρου τινὸς καὶ μὴ ἔχοι ὑπογραφὰς μαρτύρων, ἰσχυέτω, ἐν ᾧ μέντοι ὁ δωρούμενος ὑπογράψει ἢ ἄλλος κατὰ γνώμην αὐτοῦ· τῶν ἀγράφων δωρεῶν οὐδὲν ἧττον ἰσχυουσῶν κατὰ τὴν διατύπωσιν τοῦ ξ' κεφαλαίου.“ δωρεὰς ἐμπεφανισμένας παρίστησι τὸ νόμιμον τὰς ἐμφανιζομένας δικαστῇ, ὡς δηλοῖ τὸ ἑξῆς κεφ., καὶ διὰ πράξεως ὑπομνημάτων αὐτοῦ βεβαιουμένας. ἀνεμφάνιστοι δὲ δωρεαί εἰσιν αἱ μὴ δεόμεναι πράξεως ὑπομνημάτων, ὡς αἱ τῶν βασιλέων καὶ δι' εὐσέβειαν γενόμεναι καὶ διὰ λύτρωσιν αἰχμαλώτων καὶ αἱ παρὰ στρατηγῶν πρὸς στρατιώτας καὶ ἡ διδομένη ἢ τῷ καῦσιν ἢ πτῶσιν ὑποστάντι τοῦ ἰδίου οἴκου. περὶ ὧν σαφέστερον διατρανοῖ ὁ ὅλος α' τίτλος τοῦ εἰρημένου μζ' βι. καὶ τοῦ λβ' τὸ κη' κεφ. τοῦ α' τί[3]. καὶ ἐν ἄλλοις δὲ περὶ τούτων διείληπται. καὶ δυνατὸν ταῦτα ἐκ πολλῶν ἀναδιδάσκεσθαι τὸν νόμον ἐξακριβοῦντα. ἐπαπορῶν δὲ ὁ ἑρμοπολίτης θεόδωρος[4] καὶ ὡς ξένον τὶ τὸ προστεθὲν κεφ.

---

[1] Novus hic incipit tractatus de causis, in quibus unus testis sufficiat. Ab initio mutilus esse videtur. [2] In edit. Heimb. est c. 63. [3] Qui locus citetur non intelligo. [4] Theod. ad Cod. VIII, 53, 29. Bas. ed Heimb. IV p. 568.

οὕτω φησίν· „τί οὖν ἀρκεῖ εἷς μάρτυς;“ εἶτα λύει τὸ ἄπορον „ἔγνως“, λέγων, „ἐνταῦθα ὡς οὐδὲ μάρτυρος ὅλως χρεία, ἐὰν ὑπογράψῃ ὁ δωρούμενος. καὶ ὅτι δι᾽ ἐπιστολῆς δωρεῖταί τις, προεδιδάχθης ἐν βι.[1] μζ΄ τί. α΄ κεφ. μς΄. φησὶ δὲ ἐν τῷ δ΄ βι. τοῦ κώδ. ἡ ιε΄ διάτ. τοῦ κ΄ τί. κειμένη ἐν βι. τῶν βασιλ. κα΄ τί. α΄ κεφ. λθ΄ θέματι γ΄, ὅτι ἐπὶ τῶν εὐπροσδέκτων συμβολαίων οὐδὲ μάρτυρος χρεία ἐστίν“. ἀλλὰ καὶ τὸ π΄ κεφ. τούτου τοῦ βι. καὶ τί.[2] ἕνα δεκτὸν παρίστησι μάρτυρα, οὕτω διεξιόν· „τῶν αὐτῶν κρατούντων καὶ εἰς τὰ ἀργυροπρατικὰ βρεβεῖα ἢ τὰ παρ᾽ ἑτέρων τινῶν συνταττόμενα, ἅπερ τὶς ἐπιζητεῖ προκομισθῆναι, οὐ κατὰ τῶν τὰς πυκτὰς συντεθεικότων, ἀλλὰ καθ᾽ ἑτέρων τινῶν“. σημειοῦται δὲ τοῦτο ὁ ἑ ρ μ ο π ο λ ί τ η ς οὕτως·[3] „ὅτι ἐπὶ τῶν τραπεζιτικῶν λόγων ἀρκεῖ ἡ γραφὴ τῆς πυκτῆς· καίτοι εἷς νοεῖται ὁ γράψας“. εἰσὶ καὶ ἕτερα θέματα, ἐφ᾽ ὧν εἷς μάρτυς εὐπρόσδεκτος, ὡς ἐκ τοῦ δ΄ κεφ. τούτου τοῦ βι. τί. β΄[4] ἔστι καταμαθεῖν. παρακελεύεται γὰρ ἡ διάταξις, ὡς ἐὰν ὁ ἐμφυτευτὴς προσφέρει τῷ δεσπότῃ τὸν ἐμφυτευτικὸν κανόνα ἐπὶ τρεῖς ἐνιαυτοὺς, ὁ δεσπότης ἀναγκάζεται δέξασθαι. „προσιέτω“, φησὶ, „ἢ τῷ ἐπάρχῳ τῆς πόλεως ἢ τῷ ἀρχιεπισκόπῳ τῆς πόλεως ἢ τῷ ἐπισκόπῳ ἐν τοῖς ἐπαρχίαις ἢ τῷ ἐκδίκῳ τῶν τόπων, ὥστε καὶ τὴν ἐξ ἑνὸς τῶν εἰρημένων προσώπων προστεθῆναι τῷ πράγματι μαρτυρίαν“. βλέπε πῶς εἷς μάρτυς εὐπρόσδεκτος τῷ κἀνταῦθα λογίζεται. φησὶ δὲ καὶ τὸ ογ΄[5] κεφ τοῦ κβ΄ βι. τί. α΄· „εἰ δὲ καὶ ὁ συμβολαιογράφος παρενεχθῇ, παρ᾽ ᾧ τὸ συμβόλαιον ἐπράχθη, ἢ καὶ ἕτεροί τινες μαρτυροῦντες τῇ ἀληθείᾳ“ καὶ τὰ ἑξῆς. καὶ παρίστησι δὲ τὸ νόμιμον τὸν ταβελλίωνα μόνον πίστιν διδόντα τῷ πράγματι. ἔξεστι δὲ καὶ ἕτερα ἐφευρίσκειν τῷ τοὺς νόμους ἐξιχνεύοντι.

κε΄. Περὶ χρέους δημοσίου, προικιμαίου καὶ ἰδιωτικοῦ, καὶ περὶ προτιμήσεως αὐτῶν.[6]

1. Ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου προτιμᾶται[7].

2. Ἐν ταῖς προσωπικαῖς οἱ δανείσαντες, ἐφ᾽ ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τὸν τόπον αὐτῶν εἰσέρχονται[8].

3. Ἐάν τις χρεωστήσῃ πρῶτον τῷ δημοσίῳ, ὥστε ὑποκεῖ-

---

[1] Scil. Basilicorum. [2] Bas. XXII, 1, 80 med. [3] Bas. ed Heimb. II p. 405 schol. 2. [4] Basil. XX, 2, 4 [5] In ed. Heimb. est c. 75. [6] Est Synopseos lit. X tit. 3 integer. [7] Bas. IX, 5, 1. [8] Bas. ib. 2.

σθαι αὐτῷ τὰ πράγματα αὐτοῦ, καὶ μετὰ ταῦτα λάβῃ γυναῖκα, ὥστε καὶ τῇ προικὶ ὑποκεῖσθαι, προτιμότερός ἐστι τῆς προικὸς ὁ δημόσιος. ἐὰν δὲ τὸ ἐναντίον πρότερον ὡς ἀπὸ προικὸς ἐχρεώστησεν, ἡ προὶξ προτιμᾶται τοῦ δημοσίου[1].

4. Ἐάν τις πωλήσας πρᾶγμα μετὰ ταῦτα συναλλάξῃ πρὸς τὸν δημόσιον, ὁ ἀγοράσας τὸ πρᾶγμα παρ᾽ αὐτοῦ οὐκ ὀχλεῖται παρὰ τοῦ δημοσίου[2].

5. Ὁ ὑπεισελθὼν εἰς τὰ δίκαια τοῦ δημοσίου προτιμότερός ἐστιν ἐκείνων τῶν δανειστῶν, ὧν καὶ ὁ δημόσιος προετιμᾶτο[3].

6. Ἐὰν οἱ δανεισταὶ μέρος ἐκ τῶν πραγμάτων ἑτοίμως ἔχωσι λαβεῖν, προτιμῶνται οἱ συγγενεῖς εὔποροι ὄντες[4].

7. Κἂν τὰ τοῦ ἀνδρὸς σιωπηρῶς ὑπόκεινται ἐπὶ τῇ προικὶ, ὅμως προτιμᾶται τῆς προικὸς τὸ πριμίπιλον[5].

8. Ὁ γενικὴν ὑποθήκην ἔχων προτιμᾶται τοῦ μετ᾽ αὐτὸν ἰδικὴν λαβόντος ἐκ τῶν αὐτῶν πραγμάτων, κἂν ἐκ τῶν αὐτῶν δύναται πληρωθῆναι. εἰ μὴ ἄρα συνεφώνησε, τότε τὰ λοιπὰ ὑποκεῖσθαι, ὅτε διὰ τῶν γενικῶν οὐ δύναται πληρωθῆναι. τηνικαῦτα γὰρ δυναμένου αὐτοῦ πληρωθῆναι διὰ τῶν γενικῶν, μόνος ὁ δεύτερος δανειστὴς ὑποθήκην ἔχει τοῦ δοθέντος αὐτῷ[6].

9. Ἐὰν βουλήσει τοῦ πρώτου ὑποτεθῇ ἄλλῳ, προτιμᾶται ὁ δεύτερος. λοιπὸν δὲ τὸ φάκτον ζητοῦμεν, πότερον τῆς ὑποθήκης ἀνεχώρησεν ἢ μόνης τῆς προγενεσίας. ὁ μετ᾽ ἐμὲ λαβὼν ὑποθήκην μεταγενέστερός μου ἐστὶ, κἂν πρὸ ἐμοῦ ἐδάνεισεν. ὁ δὲ ὑπὸ ἡμέραν λαβὼν προτιμᾶται τοῦ μετ᾽ αὐτὸν χωρὶς αἱρέσεως λαβόντος[7].

10. Προτιμᾶται ὁ πρῶτος, εἰ καὶ αὐτὸς μηδὲν συμφωνήσει περὶ τοῦ πωλεῖν τὸ ἐνέχυρον, ὁ δὲ δεύτερος συμφωνήσει. ἐὰν τῷ μὲν πρώτῳ ψιλῶς ὑπετέθη, τῷ δὲ δευτέρῳ καὶ παρεδόθη, προτιμᾶται ὁ πρῶτος[8].

11. Προτιμῶμαι τοῦ δευτέρου δανειστοῦ καὶ ἐπὶ τοῖς δραμοῦσι τόκοις μετὰ τὸ δανεῖσαι αὐτόν[9].

12. Χρεωστῶν τι ἀπὸ τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς ὑπέθετο τὰ ὄντα καὶ τὰ ἐσόμενα, καὶ δανεισάμενος τοῦ δημοσίου ἐπὶ ὑποθήκῃ ἐκαινοποίησε τὸ πρότερον χρέος ἀναλαβὼν

---

[1] Bas. IX, 9, 2. [2] Bas. ib. 4. [3] Bas. ib. 7. [4] Bas. XI, 1, 59. [5] Bas. XXV, 2, 66. [6] Bas. XXV, 5, 2. [7] Bas. ib. 10 th. 5. [8] Bas. ib. th. 11. [9] Bas. ib. 16.

τὰς ὑποθήκας. προτιμᾶται τοῦ δημοσίου, ἐφ' οἷς εἶχεν ὁ χρεώστης καὶ ἐφ' οἷς ἐπεκτήσατο[1].

13. Ἐδάνεισα μαρμαρίῳ ἐπὶ ὑποθήκῃ τῶν λίθων, καὶ ἐκ τῶν ἐμῶν αἱ τιμαὶ κατεβλήθησαν. ὁ δὲ αὐτὸς χρεώστης μισθωσάμενος ὡρεῖα βασιλικὰ ἐχρεώστησεν. ἐγὼ προτιμῶμαι[2].

14. Ὁ προγενέστερος δανειστὴς γενικὴν ὑποθήκην ἔχων καλλίων ἐστὶ τοῦ ἰδικὴν μετ' αὐτὸν ὑποθήκην λαβόντος. ὥστε οὖν ὁ ἀγοράζων παρὰ τοῦ προτέρου οὐκ ὀχληθήσεται τούτου χάριν παρὰ τοῦ μεταγενεστέρου. εἰ καὶ πολλοῖς δανεισταῖς τὰ αὐτὰ ἐνέχυρα ἐν διαφόροις χρόνοις ὑπετίθεσαν, ὅμως εἰ ἐκ τῶν χρημάτων ἑνὸς αὐτῶν ἠγοράσθη ἀγρὸς καὶ ὑπετέθη αὐτῷ ἰδικῶς, καλλίων οὗτος πάντων ἐστὶν ἐπὶ τῷ ἀγρῷ[3].

15, Ὁ λαβὼν ἐνέχυρον τὴν ἐπ' αὐτῷ ἀγωγὴν ἔχει. προτιμᾶται οὖν πάντων τῶν ἐχόντων προνόμια ἐπὶ προσωπικαῖς ἀγωγαῖς[4].

16. Καὶ ἐν ταῖς ὑποθήκαις προτιμᾶται ἡ προὶξ τῶν προγενεστέρων δανειστῶν, κἂν ἀναλωθῶσι τὰ πράγματα τῆς γυναικὸς καὶ παῖδας μὴ ποιήσῃ, ἐξῃρημένης προτέρας προικός. ἐνταῦθα γὰρ ἡ προτέρα προτιμᾶται. ταῦτα ἐπὶ προικὸς οὐ μὴν προγάμου δωρεᾶς φαμέν. ἐκείνη γὰρ κατὰ τοὺς οἰκείους χρόνους ἐξετάζεται. ἄλλως τε ζημιουμέναις οὐ μὴν κερδανούσαις βοηθοῦμεν ταῖς γυναιξίν[5].

17. Ἐὰν δανειστὴς τὸ ὑποκείμενον ἄλλῳ πρᾶγμα πωλήσῃ, οὐ ποιεῖ αὐτῷ πρόκριμα, εἴτε γενικὴν εἴτε ἰδιωτικὴν ἔχει ὑποθήκην[6].

18. Τότε προτιμᾶται ὁ μεταγενέστερος δανειστής, ὅταν δανείσῃ εἰς τὸ ἐξαρτισθῆναι τὸ ὑποτεθὲν αὐτῷ πλοῖον ἢ ἀνανεωθῆναι ἢ εἰς τροφὴν τῶν ναυτῶν ἢ συνθῆναι τὰ ὑποτεθέντα αὐτῷ φορτία ἢ δοθῆναι τὸ ναῦλον. καὶ αὐτὸ γὰρ τὸ ναῦλον ἐπικρατέστερόν ἐστι. καὶ ὑπὲρ μισθοῦ τῶν ὡρείων ἢ τοῦ μεσαύλου ἢ ὑπὲρ κτηνομισθίων[7].

19. Ὁ δημόσιος μεταγενέστερον διαδεξάμενος δανειστὴν τοῖς ἐκείνου κέχρηται δικαίοις. οὐ δύναται δὲ ὁ δημόσιος χωρεῖν κατὰ τῶν χρεωστῶν, εἰ μὴ ἀπορήσει, ἢ ἀπὸ τοῦ δημοσίου συναλλάγματος τὸ χρέος κατάγεται[8].

20. Τὸ δημόσιον καὶ τόκους ἀπαιτεῖ τοὺς τοῦ δημοσίου, ἐξότου ὀχλήσει τὸν χρεώστην, κἀκεῖνος ἐπιγνῷ τὸ χρέος[9].

---

[1] Bas. ib. 19 th. 1. [2] Bas. ib. th. 2. [3] Bas. ib. 33. 34. [4] Bas. ib. 36. [5] Bas. ib. 39. [6] Bas. XXV, 7, 39. [7] Bas. LIII, 5, 13. 14. [8] Bas. LVI, 2, 3 th. 4. 5. [9] Bas. ib. 8.

21. *Τῶν τοῦ δημοσίου ποινῶν οἱ δανεισταὶ προτιμῶνται*[1].

22. *Ὁ παρὰ τοῦ ἰδίου χρέωστου δημόσια χρήματα λαβὼν, κἂν ἠγνόει, κἂν ἐδαπάνησεν αὐτὰ, ὑπόκειται ἀποδοῦναι αὐτὰ, ἀλλ᾽ οὐ μετὰ τόκων. ἔχει δὲ ὁ δανειστὴς κατὰ μὲν τοῦ χρεώστου δίρεκταν, τουτέστιν ὀρθὴν, κατὰ δὲ τοῦ ἐγγυητοῦ οὐτιλίαν, τουτέστιν ἀγαθωσύνον, καὶ οὐκ ἐλευθεροῦνται τὰ ἐνέχυρα. ἀδιάφορον δὲ, εἴτε τὰ δοθέντα χρήματα ἀπέσπασεν ὁ δημόσιος, εἴτε ἀντ᾽ αὐτῶν ἕτερα*[2].

23. *Οἱ ὑπεύθυνοι τῷ δημοσίῳ ὄντες ἀνυπερθέτως μεθοδευέσθωσαν. καὶ μεθ᾽ ὃ πληρώσουσι τὸν δημόσιον, τότε τοὺς ἰδίους χρεώστας ἀπαιτείτωσαν*[3].

24. *Ὁ δανειζόμενος ἀπὸ ἀπαιτητῶν ἢ ταβουλλαρίων ἢ ταξεωτῶν δημόσια χρήματα τὸ τετραπλοῦν ἀποδιδότω*[4].

25. *Μηδεὶς ἀπὸ τῶν δημοσίων θησαυρῶν δανειζέσθω· εἰ δέ τις ἐκ τοῦ θείου ταμείου λαθραίως ἢ φανερῶς ἢ ἐγγράφως ἢ μετ᾽ ἐγγυῶν δανείσεται χωρὶς βασιλικῆς κελεύσεως, δημευέσθω καὶ περιοριζέσθω. καὶ ὁ δανείσας δὲ ἐκ τῶν θείων θησαυρῶν κεφαλικῶς κολαζέσθω*[5].

26. *Ὁ δημόσιος ἀπαιτῶν τὰ ἴδια χρήματα πάντων προτιμᾶται. ἀπαιτῶν δὲ τὰ ἀπὸ προστίμου ἡττᾶται δανεισταῖς τοῦ προστιμηθέντος*[6].

27. *Τὸ χρεωστούμενον εἰς πριμίπιλον πάντων τῶν ἰδιωτικῶν χρεῶν προτιμᾶται. ὅθεν εἰ καὶ προῖκα χρεωστεῖται γυνη τοῦ τὸ πριμίπιλον ἐποφείλοντος, πρότερον τὸ ἱκανὸν γίνεται τῷ δημοσίῳ, καὶ τότε ἡ γυνὴ δύναται ἀπαιτεῖν*[7].

28. *Παράδοξον νόμιμον λέγει ἡ δέλτος, ὅτι οἱ παῖδες, εἰ καὶ μὴ κληρονομήσουσι τὸν πατέρα, κατέχονται εἰς τὸ πριμίπιλον, ὅπου ὁ πατὴρ ἐχρεώστησε. καὶ καλῶς εἶπεν, ἀπὸ μόνου τοῦ πριμιπίλου κατέχονται. οὐδεμιᾷ γὰρ ἀγωγῇ ἐνάγονται ἀπὸ τῶν πατρῴων δανειστῶν οἱ τὸν πατέρα μὴ κληρονομήσαντες, εἰ μὴ μόνον ἀπὸ τοῦ πριμιπίλου*[8].

κϛ'. Περὶ τοῦ ὡρισμένον εἶναι τὸ μέτρον τῶν συνηθειῶν ἐν παντὶ δικαστηρίῳ[9].

1. *Ἐπειδὴ ὁ σκρίβας οὐκ ἔστι τέλειος δικαστὴς, ἀλλὰ καὶ τῶν θεματικῶν κριτῶν καὶ αὐτῶν τῶν ἀντιγραφέων ὑποβέβηκε,*

---

[1] Bas. ib. 17. [2] Bas. ib. 19. [3] Bas. LVI, 5, 4. [4] Bas. LVI, 6, 11. [5] Bas. ib. 12. [6] Bas. ib. 13. [7] Bas. LVI, 17, 64. [8] Bas. ibid. [9] Hoc paratitlon continet Nov. Constantini Porphyrogeniti (Coll. III Nov. 7 c. 3—5) ex Append. Synopseos forte desumtam.

καὶ σχεδὸν ἡ πᾶσα φροντὶς τῶν ἀφηλίκων καὶ ὁ περὶ τῶν πραγμάτων αὐτῶν κίνδυνος ἐκ μεγάλης ἀμελείας εἰς αὐτὸν ἀφορᾷ, δεῖ καὶ αὐτὸν μετὰ τῶν ὑπηρετουμένων αὐτῷ ἐν ταῖς αὐτοτελέσι καὶ ἀπηρτισμέναις ὑποθέσεσιν, ἤτοι μερισμοῖς καὶ ἀπαιτήσεσι, καθ᾽ ἑκάστην λίτραν ὁμοίως ἀνὰ δύο νομίσματα λαμβάνειν, εἰ μὴ ἄρα ἔλαττον τῶν ἑκατὸν νομισμάτων, καθ᾽ ὃν προειρήκαμεν τρόπον, ἔχοι τὰ τῆς περιουσίας. ἐκ τούτων γὰρ παντελῶς οὐδὲ αὐτὸν οὐδὲ [ἕτερόν τινα λαμβάνειν ὁρίζομεν, ὥσπερ οὐδὲ] ἐν ταῖς ἀπογραφαῖς. ἄμισθοι γὰρ καὶ αὗται ὀφείλουσιν εἶναι, εἰ μὴ ἄρα εὐπορία ἐστί. τηνικαῦτα γὰρ πρὸς ἀναλογίαν τοῦ γραφέως καὶ τῶν ὑπηρετούντων ταξεωτῶν μέτριόν τινα πορίζεσθαι τὸν μισθόν. μηδένα δὲ τῶν πολιτικῶν δικαστῶν μηδὲ περὶ οἱασδήποτε ἀφορμῆς λαμβάνειν, ἀλλὰ καὶ καθαρὰς ἔχοντας χεῖρας παντὸς χρυσίου ὑπερφρονεῖν. ἔτι δὲ καὶ τοῦτο τοῖς ἀρχαίοις νόμοις ἀκολουθοῦντες διατυπῶσαι συνείδομεν, ὥστε μὴ ἄλλως τὸν ἐναγόμενον εἰς δικαστήριον ἕλκειν, εἰ μὴ ὁμολογῇ ὁ ἐνάγων προσεδρεύειν ἐπὶ τῇ κινουμένῃ δίκῃ ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἐντολέως. καὶ ὅτι, εἰ μετὰ ταῦτα δειχθῇ ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων καὶ δαπανημάτων δέκατον μέρος τῆς ἐν τῇ δίκῃ ποσότητος παρέχειν τῷ δικαιουμένῳ. εἰ δὲ ἄπορος ὢν ὁ ἐνάγων εὑρίσκεται, καὶ κατὰ συκοφαντίαν ἄδικον δίκην ἀγωνιζόμενος, μηδὲν μὲν αὐτὸν ζημιοῦσθαι λόγῳ συνηθείας ἢ ἀναλωμάτων· μείζονι δὲ τιμωρίᾳ διὰ τῶν εἰς σῶμα πληγῶν καθυποβάλλεσθαι. καὶ γὰρ αἱ πληγαὶ μείζους φησὶν εἰσὶ τῆς χρηματικῆς καταδίκης. εἰ δὲ ἅπαξ κινήσας ὁ ἐνάγων ὕστερον ὑπερτίθεται ἐπεξελθεῖν τῷ πράγματι, καὶ μηδὲ ἐντὸς τριῶν μηνῶν παραγένηται, διδόσθω αὐτῷ ἑτέρου ἐνιαυτοῦ προθεσμία. εἰ δὲ μηδὲ οὕτως ἑαυτὸν ἐμφανίσει, μηδὲ ἕτερον ἀντ᾽ αὐτοῦ πέμψει τὸν ὀφείλοντα τῷ πράγματι ἐπεξελθεῖν, ἄδειά ἐστι τῷ δικαστῇ, καὶ ἀπόντος αὐτοῦ τὰς τοῦ ἐναγομένου μέρους δικαιολογίας κατὰ τοὺς νόμους ἐξετάζειν, καὶ ἀληθείας ἀκριβῶς ζητουμένης νόμιμον προφέρειν τὴν ψῆφον. τὰ αὐτὰ δὲ ὁμοίως κρατείτω καὶ ἐπὶ τοῦ ἐναγομένου, εἴπερ μετὰ τὴν προκάταρξιν [ἀπολειφθῇ,] καὶ αἱ δεδομέναι προθεσμίαι παρέλθωσι, καὶ οὐδὲ οὕτως ἀπαντήσει ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἑτέρου. προπετῶς οὖν [ὡς] εἴρηται καθ᾽ ἑτέρου τῶν μερῶν ἀπολειφθέντος μετὰ τὴν προκάταρξιν καὶ μὴ ἐντὸς γ′ μηνῶν ὑποστρέφοντος τὴν ἀποκατάστασιν τέως τῷ προσεδρεύοντι μέρει γίνεσθαι ἐπὶ νομῇ. μετὰ δὲ τὸν ἐνιαυτὸν καὶ τὰ ς ἀποδείξεις προβαίνειν μονομερῶς παρὰ

τοῦ ἐπὶ τῇ δίκῃ προσκαρτεροῦντος, καὶ νομίμῳ δικαίῳ ψήφῳ τὴν δίκην διαλύεσθαι.

κς'. Περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν καὶ ληγάτων καὶ περὶ τῶν ἐξ ἀχαριστίας ἐκπιπτόντων[1].

1. *Ἐὰν υἱὸς ἢ καὶ θυγάτηρ τῶν γονέων ζώντων τελευτήσωσιν ἄτεκνοι καὶ ἀδιάθετοι, ἀδελφοὺς ἢ καὶ ἀδελφὰς ὁμοπατρίους καὶ ὁμομητρίους ἔχοντες, τὴν τούτων κληρονομίαν εἰς τοὺς γονεῖς ἐπανάγεσθαι, καὶ μὴ ἔχειν ἄδειαν τὰ ἀδέλφια περὶ τούτου λέγειν τί. εἰ δὲ γονεῖς οὐχ ὕπεισιν, ἐστὶ δὲ πάππος καὶ μάμμη, ἅμα τοῖς ὁμοπατρίοις καὶ ὁμομητρίοις ἀδελφοῖς συγκληρονομείτωσαν. εἰ δὲ οὔτε πάππος οὔτε μάμμη οὐδὲ ὁμοπάτριοι καὶ ὁμομήτριοι ἀδελφοὶ ὕπεισι τῷ τελευτήσαντι, τότε οἱ ἐξ ἑνὸς γονέως ἀδελφοὶ τὴν κληρονομίαν ὑπεισερχέσθωσαν. εἰ δέ, καθὰ εἴρηται, οὐχ ὕπεισιν ἀδελφοί, εἰσὶ δὲ συγγενεῖς, οἱ ἐγγύτεροι κληρονομείτωσαν. εἰ δὲ οὔτε συγγενεῖς εἰσὶν, ἐστὶ δὲ γυνὴ τοῦ τελευτήσαντος, τὸ μὲν ἥμισυ μέρος ἀπὸ πάσης αὐτοῦ τῆς περιουσίας ἐκείνη κληρονομείτω, τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ δημοσίῳ εἰσκομιζέσθω.*

κη'. Περὶ δανείου ἐγγράφου καὶ ἀγράφου καὶ τῶν διδομένων ἐπ' αὐτοῖς ἐνεχύρων[2].

1. *Ἐάν τις ἐγγράφως ἢ καὶ ἀγράφως λογάριν ἢ ἀργύριον ἢ ἕτερον εἶδος τὸ οἱονοῦν ἐν τῇ γῇ ἢ καὶ ἐν τῇ θαλάσσῃ δανείσηται, κατὰ τὸ στοίχημα καὶ τὴν μεταξὺ αὐτῶν προθεσμίαν ἀπολαμβανέτω ὁ δανείσας τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐθνικὴν ἐπιδρομὴν ἢ ναυάγιον θαλάσσης ἢ καὶ ἑτέραν τὴν οἱανοῦν ἀφορμὴν πρὸς διαστροφὴν ἢ ἀναγωγὴν προστίθεσθαι τοῦ δανείσαντος.*

2. *Ἐὰν ὁ δανεισάμενος ἐνέχυρα τέθεικε, καὶ αὐτὸς μετὰ τὴν τοῦ χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀπολαμβανέτω τὰ ἴδια, μὴ δυναμένου τοῦ τὰ τοιαῦτα κατεσχηκότος ἐνέχυρα λέγειν τὶ κατὰ τοῦ δανεισαμένου, ἢ ὅτι ἀπώλεσεν αὐτὰ ἢ ἑτέραν τινὰ προφέρειν πρόφασιν, εἰ μήπως ἀποδειχθῇ τοιαύτην ὡς εἰκὸς ἐπελθεῖν συμφορὰν, καὶ σὺν τοῖς ἰδίοις ἀπολεσθῆναι καὶ τὰ ἀλλότρια, καὶ καθὼς λοιπὸν περὶ τούτου τηρήσωσιν οἱ ἀκροαταί.*

3. *Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολόγησιν*

---

[1] Eclogae tit. VI, 3—6. [2] Eclogae tit. X, 1—4.

ἐκπροθεσμήσας ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ δύο καὶ τρεῖς προτροπάς τε καὶ διαμαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παῤῥησιασθῆναι ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχυρα κατέχων ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν ἐγγράφως διὰ ταβουλλαρίου ἢ καὶ ἐκδίκου ἀποσημειουμένου ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ κεχρεωστημένα αὐτῷ παρακρατεῖν, καὶ τὸ ὡς εἰκὸς περισσεῦον ἀποκαθιστᾷν τῷ χρεωστοῦντι.

4. *Εἰ δὲ ἡ τῶν ἐνεχύρων δικαία διάπρασις οὐ σώζει τὴν ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτείτω τὸν χρεώστην τὸ λοιπαζόμενον.*

5. *Ὁ δανειστὴς ἐάν ἐνέχυρα λάβῃ καὶ ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν ἢ εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους καὶ ἄλλην τοσαύτην ποσότητα τῷ κρατηθέντι ἢ καὶ τοῖς τούτου γονεῦσι καταβαλλέτω.*

6. *Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος καὶ μὴ εὐπορῇ τὴν τούτων ποιῆσαι ἀπόδοσιν, ἀνέγκλητος ἔστω ἡ γυνὴ αὐτοῦ τοῦ ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρασχεῖν τῷ δανείσαντι, εἰ μὴ εὑρεθῇ ἑκουσίως ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς.*

κθ'. Περὶ ποινῆς ἀναρχούντων [1].

1. *Ὁ πρᾶγμα ἔχων μετά τινος καὶ μὴ τῇ ἀρχῇ προσφωνῶν, ἀλλ' αὐτοβούλως εἴτε κατ' ἐξουσίαν ἢ καί τινα δυναστείαν χειρὶ ἐπιβαίνων καὶ ἐπαίρων τὸ ὁτιοῦν, εἰ μὲν κατὰ ἀλήθειαν ἴδιον ζητῶν τοῦτο ἐποίησεν, ἐκπιπτέτω τοῦ ἰδίου πράγματος καὶ ἀναδιδότω αὐτό. εἰ δὲ καὶ ἀλλότριόν τι ἀπῆρεν, ὑπὸ μὲν τοῦ κατὰ τόπον ἄρχοντος δερέσθω ὡς μὴ ἀρχόμενος καὶ ἑαυτοῦ γενόμενος ἔκδικος, καὶ οὕτως τὴν ἀποκατάστασιν ποιείσθω οὗπερ ὀφείλετο.*

λ'. Περὶ νόννων, εἰδῶν καὶ καλανδῶν [2].

1. *Περὶ νόννων, εἰδῶν καὶ καλανδῶν διττὴ φέρεται διήγησις, ἀπὸ ἱστορίας καὶ σημασίας. καὶ ἀπὸ μὲν ἱστορίας οὕτως· κατὰ τὸν καιρὸν τῆς ἀντωνίνου βασιλείας ἥττης πολλῆς ἐν τῇ ῥωμαϊκῇ στρατοπεδαρχίᾳ γενομένης ὥστε καὶ συγκλεισμὸν αὐτοὺς κατὰ τὴν πόλιν ὑποστῆναι, διὰ τὸ φθείρεσθαι νόννος καὶ εἰ-*

---

[1] Alii simpliciter *π. ποινῆς*, alii *π. ποινῆς ἐπιόρκου*. — Est Ecl. XVII, 5. Similia his, quae parat. 30

δὺς καὶ κάλανδος εἰς ὑπατείαν προβληθέντες οἴκοθεν τούτους διέτρεφον, τὰς τοῦ μηνὸς ἡμέρας ἑαυτοῖς διανείμαντες. ἐξ ἂν νόννος μὲν ἡμέρας τέσσαρας, εἰδὺς δὲ ἡμέρας ὀκτώ, τὰς δὲ λοιπὰς κάλανδος. τῆς οὖν τοιαύτης πράξεως μνήμην διαμένειν ῥωμαῖοι βουλόμενοι τὰς τοῦ μηνὸς ἡμέρας οὕτως ὠνόμασαν. ἀπὸ δὲ τῆς σημασίας οὕτως φασίν· ὅτι κατὰ τὴν ῥωμαίων διάλεκτον αἱ μὲν νόνναι καιρὸν σημαίνουσιν, αἱ δὲ εἰδοὶ ἡμέρας, αἱ δὲ κάλανδαι ἑβδομάδας. διὰ γοῦν τὸ χρονικὰς εἶναι τὰς λέξεις κατὰ τὴν ῥωμαϊκὴν οὕτως αὗται ὠνομάσθησαν.

λα΄. Περὶ ἰνδικτιῶνος.

1. Ἰνδικτιὼν ἐκλήθη ἀπό τινος ἀκρωτηρίου καλουμένου ἀκτίου, ὡς ἡσύχιος ὁ ἰλλούστριος γράφει, δι᾿ αἰτίαν τοιαύτην. καῖσαρ ἐκεῖνος ὁ σεβαστὸς καὶ περιώνυμος αὔγουστος πόλεμον ἔσχε μετὰ κλεοπάτρας τῆς αἰγυπτίας καὶ ἀντωνίνου τοῦ ταύτης ἀνδρὸς, ὃς ἦν πρότερον ἐπ᾿ ἀδελφῇ τοῦ καίσαρος γαμβρὸς, ἀπέστη δὲ τῆς τῶν ῥωμαίων ἀρχῆς δι᾿ ἔρωτα τῆς κλεοπάτρας, καὶ τῆς αἰγυπτίων ἐκράτησε γῆς. ναυτικῷ οὖν στόλῳ ἐπὶ ναυσὶ ͵ασ΄ συνέβαλον μετὰ καίσαρος ἐν πολέμῳ ἐν αὐτῷ τῷ ἀκρωτηρίῳ τῷ καλουμένῳ ἀκτίῳ. καὶ νικήσαντος καίσαρος τὸν ἀντωνῖνον καὶ τὴν κλεοπάτραν ἐκτίσθη πόλις ἐν τῷ ἀκτίῳ κληθεῖσα νικόπολις, διὰ τὸ ἐκεῖσε ἡττηθῆναι ἀντωνῖνον, ἥτις χρηματίζει ἄρτι εἰς στρατηγίδα, καὶ παρὰ τοῦ τὰ ῥωμαίων σκῆπτρα διέποντος προβάλλεται στρατηγὸς, καὶ ἐστὶν ὄγδοον θέμα ὑπὸ τὴν εὐρώπην. ἀπὸ γοῦν τοῦ τοιούτου ἀκρωτηρίου τοῦ καλουμένου ἀκτίου ἐκλήθη ἰνδικτιὼν, τουτέστιν ἰνακτιὼν καὶ περὶ τὸ ἄκτιον νίκη. διὰ τοῦτο ἄρχεται μὲν ἰνδικτιὼν ἀπὸ πρώτης καὶ καταλήγει μέχρι τῆς πεντεκαιδεκάτης, καὶ πάλιν ὑποστρέφει καὶ ἄρχεται ἀπὸ πρώτης, διὰ τὸ τὸν ἀντωνῖνον συνάρχοντα γενέσθαι αὐγούστῳ καίσαρι μέχρι τοῦ πεντεκαιδεκάτου χρόνου, μετὰ δὲ ταῦτα μόνος ἐκράτησεν ὁ αὔγουστος.

λβ΄. Περὶ κινητῶν καὶ ἱερῶν σκευῶν[1].

1. Ὁ μὴ δι᾿ ἀνάῤῥυσιν αἰχμαλώτων ἀγοράζων ἱερὰ σκεύη ἢ ἁπλώματα ἢ λαμβάνων εἰς ὑποθήκην ἐνέχυρον καὶ τῶν τιμῶν καὶ τοῦ χρέους ἐκπίπτει, καὶ αὐτὰ ἐκδικοῦνται διὰ τῶν

---

[1] Coll. const. eccl. I, 2, 21 (Voelli et Justelli bibl. II p. 1247). [2] In Lipsiensi Codice jam sequuntur dispositio thronorum et *Λέξεις ῥωμαϊκαί*. — In plerisque tamen additur (passim tamquam parat. 33): *Περὶ τοῦ μὴ εἶναι*

ἐπισκόπων καὶ οἰκονόμων καὶ σκευοφυλάκων. εἰ δὲ καὶ ἐχωνεύθησαν, καὶ αἱ τιμαὶ αὐτῶν ἀπαιτοῦνται, εἰ μὴ φαίνονται, δι᾽ ἐναγωγῆς ἀζημίου[9].

ἰδιωτικὴν φυλακήν. [*ζήτει τὸν παρόντα τί. ἐν τῷ περὶ ποινῶν λθ′ τί. τοῦ προχείρου νόμου.*] — Subjiciuntur huic rubricae Basilicorum lib. LX tit. 35 cap. 11 th. 3, cap. 13, 21. 22 th. 1—4 et tit. 55 cap. 1. 2. — Praeterea in Codicibus Prochiri aucti modo haec modo illa accedunt, leges rusticae et navales, catalogi regum et patriarcharum, dispositiones thronorum, glossaria, fragmenta varia. Praeterea in plerisque reperiuntur Novella Athanasii patriarchae quam dicunt de anno 1306 (Coll. V Nov. 26), et *προστάγματα* illa et *ὁρκωμοτικὰ* iudicum universalium anno 1329 edita (Coll. V Nov. 41—43).

INDEX.

Αἱ ἀγωγαί XL, 101.
Αἱ ῥοπαί XL, 102.

Bardas Icanatus Curopalates et Protasecretis II, 20.
Bardas Patricius IX, 14.
Ὁ Γαγγρῶν XXXVIII, 77.

Constantinus Cabasilas archiepiscopus Dyrrchachiensis I, 28—31.
Cyritzes chartophylax VIII, 113.

Decapolites magister IX, 14.
Demetrius Chomatenus VIII, 77. 84. 85.
Demetrius Syncellus VIII, 86. 87.
Dorotheus Antecessor Parat. 24, 5. 6.

Elias metropolita Cretensis I, 32.

Gregorius Xerus VIII, 34.

Hagiotheodorita metrop. Athenarum VIII, 96.

Joannes Clidas filius Cyzici VIII, 115.
Joannes episcopus Citri I, 28—31.
Joannes Zonaras VIII, 88.
Joannes Hypatus philosophorum et diaconus VIII, 2 not.

ʽΟ *Κύρου* XXXVIII, 77.

Loci singulares III, 17—19. VII, 30. VIII, 28. IX, 14. XV, 51. XVII, 6. 19. 76. XXI, 17. 38. XXVII, 106. 229. XXVIII, 28. 65. XXXVIII, 43. 77. 136. XXXIX, 187. XL, 14. 19.

Nicolaus Patricius IX, 14.

Novellae constitutiones:

Justiniani de confugientibus XXXIX, 249.
Heraclii et Constantini XL, 6.
Jrenae XXVII, 284.
Leonis Philosophi I, 14. 26. VII, 29. XII, 13. 17. 37. XV, 6. not. XXVI, 29. XXVII, 190. 250 not. XXXVIII, 78. XXXIX, 79. 101. 223. 227. 237. 253. XL, 89—91. 100 not. 104.
Romani Senioris XL, 92, 100 not. 103. (Tomus unionis IV, 55).
Constantini Porphyrogeniti XXXIX, 221. XL, 93. Parat. 26.
Basilii Porphyrogeniti XL, 101.
Nicephori Botaniatae XXXIX, 253.
Alexii Comneni I, 8. 25. 33. II, 20. 21. VIII, 50. 108. XXXIV, 17. XL, 7. 8. 95.
Manuelis Comneni VIII, 103. XXXVI, 31. XXXIX, 222. XL, 49. 50. 96.
Athanasii Patriarchae s. Andronici XXXIX, 253 not. XL, 100 not. p. 436 not.
Andronici *ὁρκωμοτικὰ* et *προστάγματα* XL, 100 not. p. 436 not.

Patriarchae:

Sisinius (c. 996) VIII, 50. 59. 86. 92. 97. 104. 107. 122. 130.
Alexius (c. 1025) VIII, 103. XXVIII, 24. 25.
Joannes Xiphilinus (1063—1075) II, 20.
Nicolaus (1084—1111) II, 22. VIII, 34. 108.
Leo Styppa (1134—1143) VIII, 124. 125.
Nicolaus Muzalon (1147—1151) VIII, 91.
Lucas (1156—1169) VIII, 103.
Michael Anchiali (1169—1177) VIII, 114.
Germanus (1222—1240) VIII, 116.

Manuel (1242—1255) VIII, 115. 129.
Arsenius (1255—1266) VIII, 125.
Athanasius (1289—1311) XXXIX, 253 not. XL, 100 not. p. 436 not.
Scylitzes magnus drungarius Viglae VIII, 50.
Stephanus Antecessor VIII, 87.
Symeon metropol. Cyzici II, 22.

Thalelaeus Antecessor XXVII, 168. Parat. 24, 6.
Theodorus Hermopolita Parat. 24, 8.
Tractatus de causis in quibus unus testis sufficiat p. 427.
Tractatus de creditis p. 421.

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

Lipsiae, Typis J. B. Hirschfeld.

F. X. BEER
kgl: Hofbuchbinder
in
MÜNCHEN
Lederergaſse N° 25.